ΑΝΑΛΕΚΤΑ

ΙΕΡΟΣΟΛΥΜΙΤΙΚΗΣ ΣΤΑΧΥΟΛΟΓΙΑΣ

ἤ

ΣΥΛΛΟΓΗ ΑΝΕΚΔΟΤΩΝ

καὶ σπανίων ἑλληνικῶν συγγραφῶν περὶ τῶν κατὰ τὴν Ἑῴαν ὀρθοδόξων ἐκκλησιῶν καὶ μάλιστα τῆς τῶν Παλαιστινῶν

ΣΥΛΛΕΓΕΝΤΑ ΜΕΝ ΚΑΙ ΕΚΔΙΔΟΜΕΝΑ

ὑπὸ

Α. ΠΑΠΑΔΟΠΟΥΛΟΥ-ΚΕΡΑΜΕΩΣ

ἐκτυπούμενα δὲ ἀναλώμασι τοῦ

ΑΥΤΟΚΡΑΤΟΡΙΚΟΥ ΟΡΘΟΔΟΞΟΥ ΠΑΛΑΙΣΤΙΝΟΥ ΣΥΛΛΟΓΟΥ

ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ

ΕΝ ΠΕΤΡΟΥΠΟΛΕΙ
Ἐκ τοῦ τυπογραφείου Β. Κιρπάουμ.
1894

Bibliotheca universitatis Jurievensis.

ΑΝΑΛΕΚΤΑ

ΙΕΡΟΣΟΛΥΜΙΤΙΚΗΣ ΣΤΑΧΥΟΛΟΓΙΑΣ

ἤ

ΣΥΛΛΟΓΗ ΑΝΕΚΔΟΤΩΝ ΚΑΙ ΣΠΑΝΙΩΝ

ΕΛΛΗΝΙΚΩΝ ΣΥΓΓΡΑΦΩΝ

ΠΕΡΙ ΤΩΝ ΚΑΤΑ ΤΗΝ ΕΩΑΝ ΟΡΘΟΔΟΞΩΝ ΕΚΚΛΗΣΙΩΝ

ΚΑΙ ΜΑΛΙΣΤΑ ΤΗΣ ΤΩΝ ΠΑΛΑΙΣΤΙΝΩΝ.

ΠΡΟΛΟΓΟΣ.

Τῶν ἀναλέκτων ὁ τόμος οὑτοσί, τὸν ἀριθμὸν δεύτερος, ἐμπεριέλαβε γραπτὰ μνημεῖα πρὸς τὴν ἱστορίαν ἐξαιρέτως ἀφορῶντα τῆς ἐν Παλαιστίνῃ τῶν ὀρθοδόξων ἐκκλησίας· οὗ τὸ μὲν ἥμισύ που, τὸ μετὰ τὴν 254-ην σελίδα, κατ' ἐκλογὴν ἔγγραφά τινα περιεχώρησεν, ἐν τούτῳ τῷ προλόγῳ πολυπραγμοσύνης οὐ δεόμενα· ταῦτα γὰρ αὐτὰ τῷ διεξέρχεσθαι διδάσκει φανερώτατα τὸ πρός τίνα σκοπὸν ἐξ ἀρχῆς ἐγράφη, ταῖς δ' ὑποσημειώσεσι δείκνυται καὶ τὸ πόθεν ὁ ἐκδότης ἀντέγραψεν. Λόγος μὲν οὖν ἐνταῦθα βραχὺς ἔσται περὶ τοῦ πρώτου μέρους τοῦ τόμου. Τοῦτο τοίνυν ἀξιολογωτάτην ἐγκλείει διάταξιν, ἀκέφαλον μέντοι, τῶν ἱερῶν ἀσματικῶν ἀκολουθιῶν, αἳ τὸ παλαιὸν ἐν τῷ ναῷ τῆς Ἀναστάσεως ἐψάλλοντο κατά τε τὴν μεγάλην καὶ τὴν διακινήσιμον ἑβδομάδα, δι' ἀπογράφου τινὸς ἀποσωθεῖσαν ἔτει 1122-ῳ γραφέντος ἐν αὐτῷ τῷ ναῷ τῆς Ἀναστάσεως· ταύτης δὲ τῆς ἀκολουθίας περίληψιν ἐγὼ πρότερον ἐγίνωσκον, ἣν εἶδον ἐν τῇ Κωνσταντίνου πόλει ἔτει 1886-ῳ, ἐν τῷ μετοχίῳ τοῦ Παναγίου Τάφου· συγγραφεὺς δὲ τῆς περιλήψεως Μάξιμος ἦν ὁ Συμαῖος· περιείχετο γὰρ ἐν τῇ τούτου «Ἱερᾷ ἱστορίᾳ χρονολογικῇ τῆς πόλεως τοῦ θεοῦ Ἱερουσαλήμ», ἧς ἀντίγραφον ὅμοιον ὕστερον καὶ ἐν αὐτῇ τῇ πόλει τῶν Ἱεροσολύμων εἶδον, ἐν τῇ συλλογῇ τῶν ἐκεῖ μετακομισθέντων ἐκ τοῦ Σταυροῦ χειρογράφων· ἐκ τούτου δὲ τοῦ δευτέρου χειρογράφου, ἐν τῇ μονῇ προϋπάρχοντος ἔτι τοῦ Σταυροῦ, τὴν ἐπίτομον

ἐκείνην διάταξιν, ὡς ὁ Μάξιμος αὐτὴν ἔγραψε (1804-1805), λογιώτατος ἐκ Κιέβου καθηγητής, Ἀλέξιος ὁ Δημητριέβσκης, ἀντέγραψεν ἔτει 1887-ῳ, ὃς καὶ μηνὶ μαρτίῳ ἔτους 1888-ου τῆς τύποις ἐκδόσεως ἐν Καζανίῳ πόλει ρωσσικῇ κατήρξατο [1]. Ἐν ἐκείνῃ γοῦν τῇ ἱστορίᾳ Μάξιμος ὁ Σύμηθεν ἐμπεριέλαβε τὴν διάταξιν ἐν συνόψει τῇ ἐπιγραφῇ ταύτῃ· «Ἀνανέωσις τῆς ἱερᾶς ἀκολουθίας τῶν Ἱεροσολύμων κατὰ τὴν μεγάλην ἑβδομάδα καὶ διακινήσιμον, ἣν ἐν ἔτει ,αωδ' [1804-ῳ], μαρτίου ζ', ἐνέτυχον ἐν τῇ ἱερᾷ τοῦ ἡγιασμένου Σάββα βιβλιοθήκῃ, ἐν τῇ αὐτοῦ λαύρᾳ· ἡ ἀρχὴ λείπει»· μετὰ δὲ τὸν τύπον τῆς τοιαύτης ἑβδομάδος ἔγραψε ταῦτα· «Αὕτη ἡ διάταξις ἐπεκράτει τὸ πάλαι εἰς τὴν ἐν Ἱερουσαλὴμ ἁγίαν τοῦ Χριστοῦ ἐκκλησίαν, ἣν κατεστρώσαμεν καὶ αὐτὴν ἐνταῦθα πρὸς εὐδησιν τῶν φιλοίστόρων προσκυνητῶν τῶν θεοβαδίστων ἐν Ἱερουσαλὴμ καὶ κοσμοσωτηρίων τόπων, ἀντιγράψαντες αὐτὴν ἀπὸ χειρογράφου μεμβραΐνου παλαιοτάτου· ὅπερ εἰς τὸ τέλος περιεῖχεν οὕτως: Ἐκτίσθη ἡ δέλτος αὕτη - - [ὁρα σ. 254]. Ἀντεγράφη δὲ ἐν ἔτει Χ(ριστοῦ) γ(εννήσεως) ,αωδ' ὀκτωβρίου κα', ἐν τῇ Ἁγίᾳ Πόλει, ἔνθα προσετέθη καὶ ἡ ἐφεξῆς ἀκολουθία τῆς διακινησίμου ἐκ τῆς αὐτῆς ἱερᾶς βίβλου ἀπαραλλάκτως, ἄνευ τινος προσθέσεως ἢ ἐλλείψεως· ὅλη δηλαδὴ ἀντεγράφη, ἢ μᾶλλον ἀνεκαινίσθη ἐκεῖνο τὸ θεῖον τεῦχος διὰ ψυχικήν μου σωτηρίαν». Καὶ πάλιν ἔγραψε μετὰ τὴν προσθήκην τὸ «Εἴληφε τέλος καὶ αὕτη ἡ τῆς διακινησίμου χαρμόσυνος καὶ κοσμοσωτήριος ἀναστάσιμος ἀκολουθία ἐν ἔτει ,αωε' [1805] Ἰουλίου ις', ἡμέρα Κυριακῇ, ἐν τῇ ἁγία πόλει Ἱερουσαλήμ».

Πρῶτος οὖν ὁ Μάξιμος ἐγνώρισε διὰ συγγραφῆς ἀνεκδότου τύποις, ὅτι τῆς διατάξεως ἀπόγραφον ὑπῆρχε παλαιότατον ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Σάβα, ὃ καὶ περιέτεμε, τὰ κείμενα τῶν ἀσμάτων ὅλων παραλιπών—ἤρκει γὰρ αὐτῷ τῶν ἀρχῶν αὐτῶν ἡ φανέρωσις ἢ μέρους αὐτῶν ἱκανοῦ—, περιτρέψας ἅμα τοῦ τυπικοῦ τὸ ὕφος εἰς ὕφος ἑλληνιστικώτερον· μετὰ δὲ τοῦτον ἔτει 1877-ῳ

[1] Богослуженіе страстной и пасхальной седмицъ въ Іерусалимѣ по уставу IX—X вѣка, Казань 1888-1892.

Βενιαμὶν ἀρχιμανδρίτης ὁ Ἰωαννίδης ἐφανέρωσεν ἐκ τοῦ παλαιοῦ κώδικος τὸ πῶς ἡ τελετὴ τοῦ Ἁγίου Φωτὸς ἐγίγνετο τὸ παλαιὸν ἐν τῷ ναῷ τῆς Ἀναστάσεως· περὶ δὲ τοῦ κώδικος αὐτοῦ ταῦτα ἔλεξε· «τὸ χειρόγραφον τοῦτο, ὃν πρότερον ἐν τῇ βιβλιοθήκῃ τῆς λαύρας τοῦ ἁγίου Σάββα, καὶ ἐσχάτως μετενεχθὲν εἰς τὴν βιβλιοθήκην τοῦ ἐν Ἱεροσολύμοις ἡμετέρου μοναστηρίου [ὅ ἐστι τοῦ Κοινοῦ τοῦ Παναγίου Τάφου], δίδωσιν ἡμῖν ἀξιολόγους εἰδήσεις περί τε τῆς κατὰ τὴν ἐποχὴν ἐκείνην καταστάσεως τοῦ τότε ἐν Ἱεροσολύμοις ἑλληνικοῦ κλήρου καὶ τοῦ ἐκκλησιαστικοῦ ἐν γένει βίου. Τὸ χειρόγραφον τοῦτο εἶναι μεμβράνινον, καὶ ἡ μὲν ἀρχὴ αὐτοῦ λείπει, ἐν δὲ τῷ τέλει αὐτοῦ γέγραπται: Ἐκτίσθη ἡ δέλτος αὕτη» κτλ. Ἡρμήνευσε δὲ τὸ "ἐκτίσθη" τῷ "συνετάχθη", μὴ προσσχὼν τὸν νοῦν πρὸς τὴν ἔννοιαν αὐτοῦ τοῦ ῥήματος· δηλοῖ γὰρ αὐτὸ τὸ "κατεσκευάσθη"· καὶ διὰ τὴν ἡμαρτημένην ἐκείνην ἑρμηνείαν εἰκὸς ἦν ἡμαρτημένως ἑρμηνεῦσαι καὶ τὸν χρόνον, ἐν ᾧ τὸ χειρόγραφον ἐγέγραπτο· «ἐν μιᾷ δέ, φησί, τῶν ἐν αὐτῇ [τῇ βίβλῳ] εὐχῶν ἀναγινώσκεται: καὶ τὸν ἁγιώτατον καὶ θεοφύλακτον ἡμέτερον πατριάρχην Νικόλαον· ὁ Νικόλαος οὗτος ἐπατριάρχευσεν ἀπὸ τοῦ 932 - 947. Ἐπὶ τῶν σταυροφόρων ὑπῆρξαν δύο λατινοπατριάρχαι Νικόλαοι, ὧν ὁ μὲν ἐπατριάρχευσεν ἀπὸ τοῦ 1140 - 1141, ὁ δὲ ἀπὸ τοῦ 1160 - 1167· ὥστε ἡ ἐποχὴ τοῦ χειρογράφου, προστίθησιν ὁ Βενιαμίν, δύναται νἀναχθῇ, ἂν μὴ καὶ περαιτέρω, ἀναμφιβόλως ὅμως μέχρι τοῦ 932» [1], ὃ σφάλμα μέγιστον, ὅτι τὸν ζητούμενον χρόνον ὁρίζει τὸ χειρόγραφον ἔτει 1122-ῳ, ὅτε καὶ Γεώργιος ἦν ὁ «κριτὴς τῆς ἁγίας πόλεως», ὁ τὴν ἀντιγραφὴν ἐπιτάξας τῆς βίβλου, καὶ Νικόλαος πατριάρχης τῶν Ἱεροσολύμων ὀρθόδοξος, ὁ ἐν τῇ εὐχῇ μνημονευόμενος. Καὶ τοιαῦτα μὲν ὁ Βενιαμίν· μετὰ δὲ τοῦτον ἔτει 1881-ῳ Κύριλλος ἀρχιμανδρίτης ὁ Ἀθανασιάδης ἔγραψε ταῦτα· «Ἐκ τῶν σημειώσεων - - - Μαξίμου [τοῦ Συμαίου] ὁδηγούμενοι εὕρομεν ἐν τῇ σεβασμίᾳ λαύρᾳ τοῦ ἁγίου Σάβα καὶ τὸ τυπικὸν τῶν ἐν τῷ θείῳ

[1] Βενιαμιν Ἰωαννίδου τοῦ προσκυνηταρίου τῆς Ἁγίας Ἱης τευχος α'. Ἡ ἁγια πόλις Ἱερουσαλὴμ και τα περίχωρα αὐτῆς. Ἐν Ἱεροσολύμοις 1877, σ. 238-239.

ναῷ τῆς Ἀναστάσεως ἀκολουθιῶν τῆς μεγάλης καὶ τῆς διακαινησίμου ἑβδομάδος, γεγραμμένον ἐπὶ περγαμηνῆς, καὶ σώζεται ἤδη ἐν τῇ βιβλιοθήκῃ τῆς ἤδη κεκλεισμένης θεολογικῆς σχολῆς τῶν Ἱεροσολύμων», τῆς ἐν τῷ μοναστηρίῳ τοῦ Σταυροῦ [1]· αὐτῷ δὲ τούτῳ τῷ ἐνιαυτῷ τὴν οὕτως ἀρχαίου τυπικοῦ παρὰ κληρικῶν Ἑλλήνων ἀνακάλυψιν, διὰ τὴν ἀόριστον περιγραφὴν αὐτῶν, ὁ comte Riant ὑπώπτευεν ἀμφίβολον εἶναι· ἔγραφε γὰρ οὕτω φανερῶς· «ἔν τινι, φησί, προσφάτῳ βιβλίῳ περὶ τῆς Ἁγίας Γῆς, ἐν τῷ προσκυνηταρίῳ Βενιαμὶν Ἰωαννίδου τοῦ ἀρχιμανδρίτου - - -, περιέχεται μακρὸν ἀπόσπασμα τυπικοῦ χειρογράφου τοῦ ναοῦ τῆς Ἀναστάσεως, ἀντιγεγραμμένον μὲν ἔτει 1122-ῳ, συντεταγμένον δὲ περὶ τὸ 940-ὸν ἔτος· τοῦτο δὲ τὸ τεμάχιον ἐμπεριέχει πλήρη διάταξιν ἀκολουθίας τοῦ Ἁγίου Φωτός· οὐ μὴν ἀλλὰ προσθετέον, ὅτι τῆς τοιαύτης διατάξεως ὁ τύπος ὑποκινεῖ φιλολογικὰς ἀμφιβολίας ἱκανάς· ἄλλως δὲ τοιαύτην ἐγὼ διάταξιν οὐχ εὗρον ἐν τοῖς πολυαρίθμοις ἱεροσολυμιτικοῖς τυπικοῖς, τοῖς ἐν τῇ Bibliotheque Nationale» [2].

Δύο τοίνυν ἀγγέλματα διαφέροντα μέχρις ἔτους ὑπῆρχε 1881-ου περὶ τοῦ τόπου, ἐν ᾧ τὸ παλαιὸν ἐκεῖνο τυπικὸν ἔκειτο, τὸ μετενεχθέν, ὡς ἔλεγον οἱ Ἕλληνες ἀρχιμανδρῖται, ἐκ τῆς λαύρας εἰς Ἱεροσόλυμα, τὸ μὲν ὅτι περιελάμβανε τοῦτο τῶν Ἁγιοταφιτῶν ἡ βιβλιοθήκη, τὸ δ' ὅτι κατεῖχεν αὐτὸ ἡ τῆς θεολογικῆς σχολῆς· ἦν δὲ καὶ προβεβλημένη φανερὰ γαλλικὴ διαμφισβήτησις περὶ τῆς ὀντότητος αὐτοῦ τοῦ βιβλίου. Τύχῃ μέντοι ἀγαθῇ τὸ πρωτότυπον εὑρέθη ἔτει 1888-ῳ, ὅτε πατριαρχικῷ διατάγματι μετηνέχθη πρὸς τὴν κεντρικὴν ἐν Ἱεροσολύμοις βιβλιοθήκην ἅπαντα τὰ τῇ μονῇ τοῦ Σταυροῦ παραπεφυλαγμένα γραπτὰ βιβλία, τά τε ἑλληνικὰ καὶ τὰ συριακά, τὰ τ' αἰθιοπικὰ καὶ τὰ σλαβικά, μάλιστα δὲ τὰ γεγραμμένα γράμμασιν ἰβηρικοῖς· ἐν οἷς ὑπῆρχε σὺν ἄλλοις τισὶ κῶδιξ ἀκέφαλος ἀνεπίγραφος ἑλληνικός,

[1] Κυρίλλου Ἀθανασιάδου τὸ Καταμόνας, ἤτοι σύντομος περιγραφὴ τοπογραφικὴ τοῦ μονυδρίου Καταμόνας. Ἐν Ἱεροσολύμοις 1881, σ. 13.

[2] Archives de l' Orient Latin. Paris 1881, τ. I, σ. 719.

ὃν ἐξ ἀρχῆς ἐγὼ μέρος ὑπέλαβον εἶναι Τριωδίου· ὅτε δὲ περὶ τὴν ἀρχὴν τοῦ 1889-ου ἔτους ἀνέγραφον ἐν τῷ καταλόγῳ τὰ τῇ μονῇ τοῦ Σταυροῦ προσήκοντα τεύχη, τὰ συναποτελοῦντα τὸν τρίτον τόμον τῆς Ἱεροσολυμιτικῆς βιβλιοθήκης, τὸ ῥηθὲν τεῦχος αὖθις ἐν χερσὶ λαβὼν ἐπὶ τῷ περιγράψαι κατεφάνη περιλαμβανον αὐτὸ τὸ πολυθρύλητον ἐκεῖνο τυπικὸν τῆς Ἀναστάσεως. Τοῦτο μὲν δὴ καὶ μελέτης ἕνεκεν αὐτοχείρως ἀντεγραψάμην ἄχρι τέλους, ἀναντίγραφα τὰ πρῶτα τεσσαράκοντα μόνα φύλλα παραλιπών, ἅπερ ὕστερον, τῆς ἐκδόσεως ἄρχεσθαι μελλούσης, ἀντιγράψας ἀπέστειλέ μοι ζητήσαντι φιλικῶς ὁ σοφώτατος Ἐπιφάνιος, ἀρχιεπίσκοπος Ἰορδάνου· τετύπωται δὲ νῦν ὡς ἐν τῷ κώδικι γέγραπται, μηδεμιᾶς ἀλλοιώσεως γενομένης, πλὴν ὅτι τὰ κείμενα τῶν ἀναγνωσμάτων, οἷον εὐαγγελίων, ἀποστόλων, προφητειῶν καὶ τοιούτων, ἀφέθη κατὰ μέρος, τῆς τε ἀρχῆς καὶ τοῦ τέλους αὐτῶν ἁπλούστατα παρασημειωθέντων· παραδείγματος δὲ χάριν εὐαγγέλιον ἓν μόνον καὶ ἀπόστολος εἰς ἐξετυπώθη (σ. 2 καὶ 21). Γέγραπται δὲ τὸ τυπικὸν ἔτει 1122-ῳ, «κατὰ πρόσταξιν τοῦ εὐλαβοῦς Γεωργίου, ἄρχοντος καὶ κριτοῦ τῆς Ἁγίας Πόλεως, χαρτοφύλακος τε καὶ μεγάλου σκευοφύλακος τῆς ἁγίας Χριστοῦ τοῦ θεοῦ ἡμῶν Ἀναστάσεως» (σ. 252). Καὶ τίς μὲν ἦδη τοῦ κώδικος ἡ κατάστασις, ἐν ᾧ περιλαμβάνεται τὸ τυπικόν, ὁ τρίτος ἐκδηλώσει τόμος τῆς Ἱεροσολυμιτικῆς Βιβλιοθήκης· αὐτὸ δὲ τὸ κείμενον αὐτοῦ συνεξετυπώθη τῇ δυνατῇ μοι ἀκριβείᾳ· ἐν μὲν γὰρ ταῖς ὑποσημειώσεσι παρεδηλώθη τὰ τοῦ καλλιγράφου φανερὰ σφάλματα, ὅσα τούτων τὸ ἐμὸν ἀντίγραφον ἐδείκνυε, παρασημειωθέντων καὶ τῶν φωνητικῶν ἐν τῷ τυπικῷ φαινομένων διὰ τὴν γλωσσικὴν αὐτῶν ὠφέλειαν· ἐν αὐτῷ δὲ πάλιν τῷ κειμένῳ σεβασμίως ἐτήρησα τὰ συντακτικὰ τοῦ συντάκτου συστήματα· τὰ δὲ στιχηρὰ ποιήματα, καθὼς ἐν τῷ κώδικι συνυπῆρχεν, οὕτω κἀνταῦθα πάντ' ἀνεξαιρέτως ἐτυπώθη, ἵνα μὴ τὰ τούτων ἦδη γνωστὰ διεσπαρμένως ἀναζητῶσιν ἐν βιβλίοις οὐ κοινοῖς οἱ φιλόλογοι, οἷον ἔν τε τῷ Τριωδίῳ καὶ τῇ Παρακλητικῇ καὶ τῷ Πεντηκοσταρίῳ· διετήρησα δ' ὡς εἰκὸς ἀκριβέστατα καὶ τὴν τάξιν αὐτῶν τῶν ἀσμάτων, ἣ πάνυ διάφορός ἐστι τῆς νῦν

ἐν χρήσει κατὰ τὴν ἐκκλησίαν· ἀλλ' ὅσα τῶν γνωστῶν ἀσμάτων ἔν τισι πρὸς τὰ πρότερον ἐκτετυπωμένα καὶ κοινῇ παραδεδεγμένα κείμενα παραβληθέντα διάφορον ἐνεφάνιζεν ἀνάγνωσιν, τούτων ὡσαύτως ἐγὼ τὴν διαφορότητα πολλαχοῦ τῶν ὑποσημειώσεων ἐφανέρωσα πρὸς χρῆσιν τῶν διορθούντων ἑκάστοτε τὰ βιβλία τῆς ἑλληνικῆς ἐκκλησίας· διὰ δὲ τὴν μελικὴν αὐτῶν στίξιν, τὴν ὀρθῇ γραμμῇ παρ' ἐμοῦ δηλωθεῖσαν, ἠκολούθησα τῷ κώδικι πιστῶς, οὗπερ ὁ ἀντιγραφεὺς ἐξ ἔθους ἀντ' ἐκείνης ἐχρήσατο τῇ τε τελείᾳ στιγμῇ καὶ τῷ κόμματι· ἀλλ' ὅτε τὴν τοιαύτην στίξιν ἔβλεπον, ὅτι ἢ ὁ χρόνος ἐκ τοῦ κώδικος ἀπεσβεσμένην εἶχεν, ἢ καὶ αὐτὸς ὁ ἀντιγραφεὺς ἀμελείᾳ, καθὰ φαίνεται, παρελίμπανεν, τότε ταύτην ἐγώ. τῷ τε εἱρμῷ καθοδηγούμενος καὶ τοῖς ἄλλοις ἐν τῷ κώδικι τροπαρίοις τοῖς μεμελισμένοις αὐτῷ τούτῳ τῷ εἱρμῷ, τοῖς ἀσμασιν ἀπέδιδον, ὡς ἔδει· συνέβη μέντοι τοῦτο διὰ ποιήματα πάνυ ὀλίγα· διὰ δὲ τὴν ἐκτύπωσιν τῶν ἀγνώστων καὶ μὴ συνήθων ἀσματικῶν κανόνων, οὓς ἔψαλλον ἐν τῷ ναῷ τῆς Ἀναστάσεως τῇ διακινησίμῳ ἑβδομάδι, χρησιμωτάτη πάντως ἦν ἡ συμπαραβολὴ τοῦ Πεντηκοσταρίου, τοῦ τετυπωμένου ἐν Ῥώμῃ (ἔτει 1738-ῳ) κατ' ἀπόγραφον ἐν τῷ Βατικανῷ πεφυλαγμένον· ἐν τούτῳ γάρ, ὡς φησιν ὁ Πίτρας [1], τοιοῦτοι κανόνες ὑπάρχουσιν· ἀλλ' ἀτυχῶς οὐχ εὗρον αὐτοῦ μέχρι τοῦδε ζητήσας ἰσότυπον.

Καὶ ταῦτα μὲν ἱκανὰ περί τε τῆς ἀνευρέσεως καὶ τῆς ἐν τούτῳ τῷ τόμῳ περιχωρήσεως τοῦ πολυθρυλήτου τυπικοῦ τῆς Ἀναστάσεως· ὅτι δὲ τοῦτο χρησιμώτατον οἷς ἔργον ἡ τῶν ἐκκλησιαστικῶν ἐστι λειτουργιῶν, ἐῶ λέγειν, ἤδη τοῦ πράγματος γενομένου καταδηλοτάτου τοῖς ἐκτενέσι καὶ σοφωτάτοις ὑπομνήμασι τοῦ Δημητριέβσκη, τοῖς προστεθεῖσι τῇ παρ' αὐτοῦ δεδημοσιευμένῃ τῆς ἐπιτομῆς ἐκδόσει· ὅτι δὲ χρήσιμον ὡσαύτως οἷς μέλει περὶ τῶν ἐν τῇ πόλει τῶν Ἱεροσολύμων ἱερῶν τόπων, ἡ ποικίλη τῶν ὀνομάτων αὐτῶν ἀπαρίθμησις ἐν τῷ τυπικῷ σαφέστατα μαρτυρεῖ· ὅτι δὲ χρήσιμον καὶ τοῖς ἱστοροῦσι τὰ κατὰ τὴν κοινὴν τῶν Ἑλλήνων διάλεκτον, αὐταὶ τοῦ συντάκτου τοῦ τυπικοῦ μαρ-

[1] Hymnographie de l' eglise grecque, σ. 6.

τυροῦσιν αἱ φωνητικαὶ καὶ συντακτικαὶ συνήθειαι. Μνήμης δ' ὁμως ἰδίας ἄξιον, ὅτι τοῦτο φανεροῖ τὸ πρῶτον ἤδη πυκνότατα παλαιὰ στιχηρὰ τροπάρια, παντάπασιν ἡμῖν ἄγνωστ' ἀλλαχόθεν· ὀνομάζει δὲ καὶ τὸν ἁγιώτατον ἐν πατριάρχαις Φώτιον ποιητὴν τοῦ πολυθρυλήτου δοξαστικοῦ στιχηροῦ τῆς πόρνης (σ. 78 καὶ 489). ὁ παράδοσις ἀστήρικτος ἀπὸ τῆς τρίτης καὶ δεκάτης ἑκατονταετηρίδος Εἰκασία προσγράφει τῇ μοναχῇ [1]. Σημειώσεως δὲ ἄξιον καὶ τοῦτο. Θεόδωρος ὁ Πρόδρομος ἐδίδαξεν ὅτι Κοσμᾶς ὁ μελῳδὸς ἐποίησε τὸν κανόνα τοῦ μεγάλου Σαββάτου μετ' ἀκροστιχίδος τοιαύτης· "Σάββατον μέγα μέλπω", ἥπερ, ὡς νῦν ἔχει, συντάκτην ἐκεῖνον δείκνυσι τῆς ἕκτης καὶ τῶν μετ' αὐτὴν ὠδῶν [2]· τῆς δὲ πρώτης καὶ τῶν ἐπιλοίπων ἄχρι τῆς πέμπτης ὠδῆς ὠνόμασε ποιητὴν Μᾶρκον τὸν Ἰδροῦντος ἐπίσκοπον, οὐ τὰ τροπάρια, κατὰ τὸν αὐτὸν Θεόδωρον, ἀκροστιχίδα τοιαύτην ἀποτελεῖ· "Καὶ σήμερον δέ". Καὶ τοῦτο μεν ἤδη τὸ τυπικὸν ἐπιβεβαιοῖ τῆς Ἀναστάσεως (σ. 164), γνωρίζει δ' ὅμως τὸν κανόνα τοῦ Κοσμᾶ πληρέστερον, ἐμφανίζον πρώτην ὠδὴν αὐτοῦ, τὸ "Καὶ" συναποτελοῦσαν ἀκροστιχίδα, ἵνα τούτῳ συνδέσῃ προτέραν ἀκροστιχίδα, τὴν τῆς μεγάλης Παρασκευῆς. Ἐποίησε τοίνυν ὁ Κοσμᾶς οὐ τετραῴδιον, ὡς ἐπιστεύετο, τὸν τοῦ Σαββάτου κανόνα, πενταῴδιον δέ, καὶ τὴν πρώτην ὠδὴν αὐτοῦ τροπάρια συναπετέλουν, ἔξω τοῦ εἱρμοῦ, δύο, ἅπερ οἱ ἀντιγραφεῖς ἐκ τῶν Τριῳδίων ἀπέβαλον, ἐπιγράψαντες τὴν νῦν ἐν τῷ Τριῳδίῳ πρώτην ὠδὴν ἅπασαν τῷ Μάρκῳ, τῷ συμπληρώσαντι τὸν κανόνα τοῦ Κοσμᾶ· συνεπλήρωσε δὲ τοῦτον οὗτος, ὡς ἤδη διδασκόμεθα, τῇ προσθήκῃ τρίτης τετάρτης καὶ πέμπτης ὠδῆς· ἐπεὶ δὲ τὴν πρώτην εὗρε βραχεῖαν καὶ δυσανάλογον

[1] Ὥρα τὰ σημειώματα τοῦ Δημητριέβσκη. Богослуженіе страстной и пасхальной седмицъ въ св. Іерусалимѣ, σ. 320 324.

[2] Νικοδήμου Ἁγιορείτου ἑορτολόγιον, ἤτοι ἑρμηνεία εἰς τοὺς ασματικοὺς κανόνας τῶν δεσποτικῶν καὶ θεομητορικῶν ἑορτῶν, συνερανισθὲν ἐκ διαφόρων τῆς ἐκκλησίας πατέρων, πλουτισθὲν μὲ πολλὰς σημειώσεις καὶ συντεθὲν εἰς τὴν κοινὴν γλῶσσαν. Ἐν Βενετίᾳ 1836, σ. 372 κέ. Τριῴδιον κατανυκτικόν, περιέχον ἅπασαν τὴν ἀνήκουσαν αὐτῷ ἀκολουθίαν τῆς ἁγίας καὶ μεγάλης τεσσαρακοστῆς. Ἐν Ῥώμῃ 1879, σ. 728. Christ et Paranicas, Anthologia graeca carminum christianorum. Lipsiae 1871, σ. 196.

πρὸς τὰς λοιπὰς ᾠδάς, κατεμήκυνεν αὐτὴν τρισὶ μόνοις τροπαρίοις, ἃ τὸ τυπικὸν τῆς Ἀναστάσεως εὐδιάκριτα περιέχει (σ. 165)· προσέθετο δέ, καθὰ φαίνεται, καὶ θεοτοκία πάσαις ταῖς ᾠδαῖς, ἅπερ ἐλλείπει τοῖς ἐκδεδομένοις Τριῳδίοις. Σημειωτέον καὶ τοῦτο· ὅτι ὁ κῶδιξ, ἐν ᾧ τὸ τυπικὸν ὑπάρχει, γέγραπται καθ' ὃν χρόνον ἡ πόλις Ἱερουσαλὴμ βασιλέα λατῖνον εἶχε, πατριάρχην δ' ὡσαύτως λατῖνον. Τὸ τυπικὸν οὖν καταδείκνυσιν ἤδη, ὅτι τῷ χρόνῳ τούτῳ τῶν ὀρθοδόξων ὁ κλῆρος ἐκράτει τῆς ἀρχαίας αὐτοῦ μεγαλειότητος ἐν τῷ ναῷ τῆς Ἀναστάσεως, καὶ ὅτι καὶ τὸν πατριάρχην αὐτοῦ στερρότατον εἶχεν ἐν αὐτοῖς τοῖς Ἱεροσολύμοις· ὄνομα δὲ τούτῳ Νικόλαος, ὅστις, ὡς φαίνεται, τὸν αὐτοῦ θρόνον ἐκόσμησεν ἐπὶ πολλοὺς ἐνιαυτούς· καὶ γὰρ ἔτη τριάκοντα καὶ τέσσαρα μετὰ τοῦ τυπικοῦ τὴν ἀντιγραφὴν εὑρίσκομεν αὐτὸν ἐν τῇ Κωνσταντίνου πόλει, συμμετασχόντα τῶν ἐργασιῶν μεγάλης ἐκεῖ συνόδου (1156) [1]. Ὅτι δὲ τῶν ὀρθοδόξων ἡ ἰσχὺς μεγάλη, τῶν λατίνων κυριαρχούντων ἐν Ἱεροσολύμοις, ἦν ἐν τῷ ναῷ τῆς Ἀναστάσεως, βεβαιοῖ τὸ Δανιὴλ ἡγουμένου τοῦ Ῥως ὑπόμνημα· παρῆν γὰρ οὗτος ἔτει 1107-ῳ ἐν τούτῳ τῷ ναῷ, τελουμένης ἑορτῆς τοῦ Ἁγίου Φωτὸς ὑπὸ τῶν ὀρθοδόξων· καθὰ δὲ διηγεῖται, τὴν τελετὴν ἐτίμησεν ἡ παρουσία τοῦ λατίνου βασιλέως· αὐτοὺς δὲ τοὺς λατίνους ἱερεῖς εἶδε κατ' ἰδίαν ἐν ἑτέρῳ τόπῳ τοῦ ναοῦ τῆς ἑορτῆς μετασχόντας [2]. Πᾶσα μὲν οὖν ἡ διήγησις τοῦ Δανιὴλ παρίστησι τοὺς Ἕλληνας μοναχοὺς ἀπανταχοῦ τοῦ ναοῦ πρωτεύοντας· ὃ τὸ μετὰ πεντεκαίδεκα ἔτη γεγραμμένον ἐκεῖ τυπικὸν ἐπιβεβαιοῖ νῦν τρανότατα τῇ τε καταγραφῇ τῶν κληρικῶν καὶ τῷ πομπώδει τύπῳ τῶν ἑορταστικῶν ἱερουργιῶν· διδάσκει δὲ πάλιν ὁ Δανιήλ, ὅτι παρὰ τὸν ναὸν τῆς Ἀναστάσεως ὑπῆρχε μοναστήριον τῇ Θεοτόκῳ καθιερωμένον, ὅπερ ὠνομάζετο Спудп ἢ Спудій [3]· τοῦτο δ' ἐστὶν ἡ Θεοτόκος τῶν Σπουδαίων, ἧς τὸ τυπικὸν μέμνηται τετράκις (σ. 3, 7, 147,

[1] Mai, Spicilegium Romanum τ. X, σ. 16.

[2] Mme B. de Chitrowo, Itinéraires russes en Orient. Genève 1889, τ. I, σ. 75-83.

[3] Житіе и хожденье Даніила Русьскыя земли игумена. Ἐν Πετρουπόλει 1885, σ. 24.

161)· οὗτοι δ' οἱ Σπουδαῖοι μοναχοὶ τυπικὸν εἶχον ἴδιον, καὶ καθὰ φαίνεται τοῖς ὀρθοδόξοις ἠριθμοῦντο· διεχώριζε μέντοι τούτους ἐκείνων ἡ γλωσσικὴ διαφορά· ἦσαν γὰρ οὗτοι φράγκοι μοναχοὶ ἐξ Ἀμάλφης, τῷ τάγματι προσήκοντες τῶν Βενεδικτίνων καὶ τὸ μοναστήριον οἰκοῦντες τῆς Θεοτόκου τῶν Σπουδαίων, ὅπερ ἵδρυσε Κάρολος ὁ Μέγας, προσθέμενος αὐτῷ βιβλιοθήκην καὶ ξενῶνα, ἵνα ξενίζωνται ἐν τούτῳ οἱ ἐκ Φραγκίας προσκυνηταὶ τῶν ἁγίων τόπων· ὠνομάζετο δὲ λατινιστὶ Sancta Maria Latina [1]. Ἐν αὐτῷ καὶ Βερνάρδος ὁ μοναχὸς (ἔτει 870-ῷ) ἐξενίσθη, συγγραφεὺς ὑπομνήματος λατινικοῦ περὶ τῶν ἁγίων τόπων [2]· ἀντικαθίστησι δὲ νῦν τὸν τόπον τοῦ ξενῶνος ἐκείνου μοναστήριον τῶν ὀρθοδόξων, ὅπερ ἀφιέρωται Ἀβραὰμ τῷ δικαίῳ, καὶ τόπος εὐρὺς ὑπὸ μοναχῶν οἰκούμενος Ἀβησινῶν [3].

Ἐν Πετρουπόλει, τῇ ιβ' μηνὸς Ἰανουαρίου ἔτους ,αωϟδ'.

Α. ΠΑΠΑΔΟΠΟΥΛΟΣ-ΚΕΡΑΜΕΥΣ [4].

[1] Lievin de Hamme, Guide-Indicateur des sanctuaires et lieux historiques de la Terre-Sainte. 3me edition. Jerusalem 1877, τ. I, σ. 263.

[2] Bernardi monachi Franci itinerarium § X (T. Tobler et Aug. Molinier, Itinera Hierosolymitana. Genevae 1872, τ. I, σ. 314).

[3] Τὸ παρὰ τῷ Δανιὴλ Spoudi προεταύτιζετο τῷ μοναστηρίῳ, ὃ Μεγάλη Παναγία λέγεται νῦν. Abrhaam de Noroff, Pelerinage en Terre-Sainte de l'higoumene russe Daniel. St. Petersbourg 1864, σ. 26.

[4] Σημειωτέον, ὅτι ὁ τυπογράφος ἀνωτέρω, σελίδι ς', γραμμῇ 25-ῃ, παρέλιψε μίαν λέξιν· ἀνάγνωθι τοίνυν οὕτως ἐκεῖ· «λειτουργιῶν ἔρευναν».

I

ΤΥΠΙΚΟΝ ΤΗΣ ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ ΕΚΚΛΗΣΙΑΣ.

Διάταξις τῶν ἱερῶν ἀκολουθιῶν τῆς μεγάλης τῶν παθῶν ἑβδομάδος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, κατὰ τὸ ἀρχαῖον τῆς ἐν Ἱεροσολύμοις ἐκκλησίας ἔθος, ἤτοι τὸ ἐν τῷ ναῷ τῆς Ἀναστάσεως.

Ἐκδίδοται δὲ κατὰ κῶδικα τοῦ 1122-ου ἔτους.

(Cod. XLIII S. Crucis).

Ἀκέφαλος ἀκολουθία τῆς Κυριακῆς τῶν Βαΐων [1].

. . . . . .

Δεῦτε καὶ ἡμεῖς σήμερον | πᾶς ὁ νέος Ἰσραήλ,
ἡ ἐξ ἐθνῶν ἐκκλησία, | μετὰ τοῦ προφήτου Ζαχαρίου εὐφημήσωμεν.
"Χαῖρε σφόδρα, θύγατερ Σιών· | κήρυσσε, θύγατερ Ἱερουσαλήμ,
ὅτι ἰδοὺ ὁ βασιλεύς σου ἔρχεται σοι | πραὺς καὶ σῴζων,
καὶ ἐπιβεβηκὼς | ἐπὶ πῶλον ὄνου, | υἱὸν ὑποζυγίου.
Ἑόρταζε τὰ τῶν παίδων.
Κλάδους χερσὶ κατέχουσα εὐφήμησον·
"Ὡσαννὰ ἐν τοῖς ὑψίστοις· εὐλογημένος ὁ ἐρχόμενος
βασιλεὺς τοῦ Ἰσραήλ".

[1] Τὸ ἀπόγραφόν ἐστιν ἀκέφαλον· κατὰ γὰρ τὴν ἀρχὴν τούτου δύο καὶ ἥμισυ ἐλλείπει τετράδια. Καὶ τὰ μέχρι μὲν τοῦ 14 φύλλου περιεχόμενα ἐν τῷ κώδικι κατά τε τὰς ἐμὰς περιλήψεις καὶ τὸ τέλειον ἐκδίδοται ἀπόγραφον, ὃ εὐμενῶς σοφώτατος ἀπέστειλέ μοι ἀρχιερεύς, Ἐπιφάνιος ὁ ἀρχιεπίσκοπος Ἰορδάνου· τὰ δὲ λοιπὰ φύλλα τὰ μέχρι τέλους τοῦ κώδικος κατὰ τὸ ἐμὸν ἐκτυποῦται ἀντίγραφον. —2 εὐφημήσωμεν] αἱ ἐκδ. «ἐκβοήσωμεν». — 6 τὰ] κῶδ. «τοὺς».—8 ὁ κῶδιξ πανταχοῦ «ὡς ἀννά».

Εἰς τὸ «Δόξα καὶ νῦν» ἦχος πλάγιος β'.

Ὁ ἔχων θρόνον οὐρανὸν | καὶ ὑποπόδιον τὴν γῆν,
ὁ τοῦ Θεοῦ πατρὸς Λόγος | καὶ υἱὸς ὁμοούσιος,
ἐπὶ πῶλου ἀλόγου | ἐμετρίασεν σήμερον | ἐν Βηθανίᾳ ἐλθών·
ὅθεν παῖδες Ἑβραίων | κλάδους χερσὶ κατέχοντες
εὐφήμουν φωνῇ· | Ὡσαννὰ ἐν τοῖς ὑψίστοις·
εὐλογημένος ὁ ἐρχόμενος | βασιλεὺς τοῦ Ἰσραήλ".

Πληροῦται δὲ ὁ πατριάρχης ἐκ τοῦ Ἱεροῦ τοῦ θυμιᾶσαι καὶ εἰσελθὼν εἰς τὸ Βῆμα εὐθὺς ὁ διάκονος «Σοφία», ὁ ψάλτης προκείμενον ἦχου δ'. «Τὰ ὄρη ἀγαλλιάσονται ἀπὸ προσώπου Κυρίου, ὅτι ἔρχ(εται)». Στίχ. «Ἄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ». Καὶ εἶθ' οὕτως ὁ πατριάρχης λέγει τὸ εὐαγγέλιον.

Ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου Εὐαγγελίου (11, 45—12, 11).

Τῷ καιρῷ ἐκείνῳ πολλοὶ ἐκ τῶν Ἰουδαίων οἱ ἐλθόντες καὶ θεασάμενοι ἃ ἐποίησεν ὁ Ἰησοῦς, ἐπίστευσαν εἰς αὐτόν. Τινὲς δὲ ἐξ αὐτῶν ἀπῆλθον πρὸς τοὺς Φαρισαίους καὶ εἶπον αὐτοῖς ἃ ἐποίησεν ὁ Ἰησοῦς. Συνήγαγον οὖν οἱ Φαρισαῖοι καὶ οἱ ἀρχιερεῖς συνέδριον, καὶ ἔλεγον "Τί ποιοῦμεν, ὅτι οὗτος ὁ ἄνθρωπος πολλὰ σημεῖα ποιεῖ; Ἐὰν ἀφῶμεν αὐτὸν οὕτως, πάντες πιστεύουσιν εἰς αὐτόν· καὶ ἐλεύσονται οἱ Ῥωμαῖοι καὶ ἀροῦσιν ἡμῶν καὶ τὸν τόπον καὶ τὸ ἔθνος". Εἷς δέ τις ἐξ αὐτῶν Καϊάφας, ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου εἶπεν αὐτοῖς. "Ὑμεῖς οὐκ οἴδατε οὐδέν, οὐδὲ λογίζεσθε ὅτι συμφέρει ἡμῖν, ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ ὑπὲρ τοῦ λαοῦ, καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται". Τοῦτο δὲ ἀφ' ἑαυτοῦ οὐκ εἶπεν, ἀλλ' ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου προεφήτευσεν, ὅτι ἤμελλεν ὁ Ἰησοῦς ἀποθνήσκειν ὑπὲρ τοῦ ἔθνους· καὶ οὐχ ὑπὲρ τοῦ ἔθνους μόνον, ἀλλ' ἵνα καὶ τὰ τέκνα τοῦ Θεοῦ τὰ διεσκορπισμένα συναγάγῃ εἰς ἕν. Ἀπ' ἐκείνης οὖν τῆς ἡμέρας συνεβουλεύσαντο οἱ Ἰουδαῖοι ἵνα ἀποκτείνωσιν αὐτόν. Ἰησοῦς οὖν οὐκέτι παρρησίᾳ περιεπάτει ἐν τοῖς Ἰουδαίοις, ἀλλ' ἀπῆλθεν ἐκεῖθεν εἰς τὴν χώραν ἐγγὺς τῆς ἐρήμου, εἰς Ἐφραὶμ λεγομένην πόλιν, καὶ ἐκεῖ διέτριβεν μετὰ τῶν μαθητῶν αὐτοῦ. Ἦν δὲ ἐγγὺς τὸ πάσχα τῶν Ἰουδαίων· καὶ ἀνέβησαν πολλοὶ εἰς τὰ Ἱεροσόλυμα ἐκ τῆς χώρας πρὸ τοῦ πάσχα, ἵνα ἁγνίσωσιν ἑαυτούς. Ἐζήτουν οὖν τὸν Ἰησοῦν καὶ ἔλεγον μετ' ἀλλήλων ἑστηκότες ἐν τῷ ἱερῷ. "Τί ὑμῖν δοκεῖ, ὅτι οὐ μὴ ἔλθῃ εἰς τὴν ἑορτήν; Δεδώκεισαν δὲ οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι ἐντολάς, ἵνα ἐάν τις γνῶ ποῦ ἐστιν, μηνύσει, ὅπως πιάσωσιν αὐτόν. Ὁ οὖν Ἰησοῦς πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα ἦλθεν εἰς Βηθανίαν, ὅπου ἦν Λάζαρος ὁ τεθνηκώς, ὃν ἤγειρεν ἐκ νεκρῶν. Ἐποίησεν οὖν αὐτῷ δεῖπνον ἐκεῖ, καὶ ἡ Μάρθα διηκόνει· ὁ δὲ Λάζαρος εἷς ἦν τῶν ἀνακειμένων σὺν τῷ Ἰησοῦ. Ἡ οὖν Μαρία λαβοῦσα λίτραν μύρου νάρδου πιστικῆς πολυτίμου, ἤλειψε τοὺς πόδας τοῦ Ἰησοῦ, καὶ ταῖς θριξὶν αὐτῆς ἐξέμαξεν τοὺς πόδας

2 κ. «υποποδ. τ. γην».—3 ὁμοούσιος] αἱ ἐκδ. «συναΐδιος».—20 κ. «ουκοίδατε». — 21 ἀπώληται.—24 συναγαγει.—26 περιεπάτη.—27 πόλειν.—33 τεθνηκος.—35 λύτραν.—36 εἴλειψε.

αὐτοῦ· ἡ δὲ οἰκία ὅλη ἐπληρώθη ἐκ τῆς ὀσμῆς τοῦ μύρου. Λέγει οὖν εἷς ἐκ τῶν μαθητῶν αὐτοῦ, Ἰούδας Σίμωνος ὁ Ἰσκαριώτης, ὁ μέλλων αὐτὸν παραδιδόναι, "διὰ τί τοῦτο τὸ μύρον οὐκ ἐπράθη τριακοσίων δηναρίων καὶ ἐδόθη τοῖς πτωχοῖς. Εἶπεν δὲ τοῦτο, οὐχ ὅτι περὶ τῶν πτωχῶν ἔμελλεν αὐτῷ, ἀλλ' ὅτι κλέπτης ἦν καὶ τὸ γλωσσόκομον εἶχεν καὶ τὰ βαλλόμενα ἐβάσταζεν. Εἶπεν οὖν ὁ Ἰησοῦς· "Ἄφες αὐτήν· εἰς τὴν ἡμέραν τοῦ ἐνταφιασμοῦ μου τετήρηκεν αὐτό· τοὺς πτωχοὺς γὰρ ἔχετε πάντοτε μεθ' ἑαυτῶν, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε". Ἔγνω οὖν ὄχλος πολὺς ἐκ τῶν Ἰουδαίων ὅτι ἐκεῖ ἐστιν· καὶ ἦλθον οὐ διὰ τὸν Ἰησοῦν μόνον, ἀλλ' ἵνα καὶ τὸν Λάζαρον θεάσωνται, ὃν ἤγειρεν ἐκ νεκρῶν. Ἐβουλεύσαντο δὲ οἱ ἀρχιερεῖς, ἵνα καὶ τὸν Λάζαρον ἀποκτείνωσιν, ὅτι πολλοὶ δι' αὐτὸν ὑπῆγον τῶν Ἰουδαίων, καὶ ἐπίστευον εἰς τὸν Ἰησοῦν.

Καὶ εὐθὺς «Δόξα καὶ νῦν». Ἦχος πλάγιος δ'. Στιχηρὸν πρὸς τὸ «Ὁ ἐν Ἐδὲμ παράδεισος».

Ὁ Σεραφὶμ τοῖς ἄνω φοβερός, | Χριστέ, ἐποχούμενος
ὡς Θεός τε καὶ τῶν ὅλων αὐτουργός,
αὐτὸς ἐν πώλῳ ἐπὶ γῆς | καθεσθῆναι ἐπείγεται,
ὡς ὑπάρχων δι' ἡμᾶς ἀνθρωπικῶς.

Ἡ Βηθανία ἀγάλλεται | εἰσδεχομένη σε, Χριστέ.
Ἱερουσόλυμα χαίρεται ὡς προσδοκῶντά σε λαβεῖν·
θάνατος τέθηπεν | προαισθόμενος τὸν Λάζαρον φοιτᾶν ἐκ τῶν νεκρῶν
καὶ ἡμεῖς μελῳδίαις | προϋπαντὴν τελοῦντες ἐν χαρᾷ
ἀνυμνοῦμεν τὸ κράτος | τῆς ἀγαθότητός σου, | Κύριε.

Καὶ εὐθὺς «Νῦν ἀπολύεις». Κάθισμα ἀπολυτίκιον ἤχου δ'.

Συνταφέντες σοι | διὰ τοῦ βαπτίσματος, | Χριστὲ ὁ Θεὸς ἡμῶν,
τῆς ἀθανάτου ζωῆς ἠξιώθημεν | τῇ ἀναστάσει σου,
καὶ ἀνυμνοῦντες κράζομεν· | "Ὡσαννὰ ἐν τοῖς ὑψίστοις·
εὐλογημένος ὁ ἐρχόμενος | ἐν ὀνόματι Κυρίου".

Καὶ ἀπολύουσιν, καὶ εὐθὺς ἄρχεται ἀνάγνωσιν ὁ βασιλικάριος τοῦ ἁγίου Παύλου τὴν ἐπιστολὴν τὴν πρὸς Ἑβραίους, ἕως οὗ ἔρχονται οἱ Σπουδ(αῖοι) καὶ ἀπάρχονται τῆς ἀγρυπνίας εἰς τὴν ἁγίαν Βασιλικήν, καθὼς ὁ τύπος κατὰ Κυριακῆς ἀγρυπνίαν.

Κάθισμα εἰς τὸ "Θεὸς κύριος" ἤχου δ'. «Συνταφέντες σοι διὰ τοῦ βαπτίσματος». Στιχολογία· «Ἐξομολογήσομαί σοι Κύριε ἐν ὅλῃ». Κάθισμα ἤχου δ' πρὸς τὸ «Κατεπλάγη Ἰωσὴφ τὸ ὑπὲρ» κτλ.

3 δηναρίων. — 8 θεάσονται. — 13 ἐπωχούμενος. — 18 προσδοκόσα. — 19 προεσθόμενος. — 20 προϋπαντεῖν. — 29 ἀπάρξουνται. — 30 καθὼς | κατακ. — 33 κατεπλάγει.

*

Μετὰ κλάδων νοητῶν ! κεκαθαρμένοι τὴν ψυχήν,
ὡς οἱ παῖδες τον Χριστὸν | ανευφημήσωμεν πιστῶς,
μεγαλοφώνως κραυγάζοντες | τῳ δεσπότῃ·
Εὐλογημένος εἶ, Σωτήρ, | ὁ εις τὸν κόσμον ἐλθὼν
τοῦ σῶσαι τὸν Ἀδὰμ | ἐκ τῆς αρχαίας ἀρᾶς,
πνευματικῶς γενόμενος, | φιλάνθρωπε,
νέος Ἀδάμ, ὡς ηὐδόκησας· | ὁ πάντα, Λόγε,
πρὸς τὸ συμφέρον | οἰκονομήσας Θεὸς δόξα σοι.

Εἰς τὸ Δόξα ὅμοιον. "Κατεπλάγη".

Ἐπὶ φίλῳ σου, Χριστέ, | δάκρυα ραίνεις μυστικῶς
καὶ εγείρεις ἐκ νεκρῶν | Λάζαρον κείμενον θνητόν·
ἀλλὰ συμπάθειαν ἔδειξας | φιλανθρωπως.
Μανθάνοντα δὲ τὴν σὴν | παρουσίαν, Σωτήρ,
τὰ πλήθη τῶν βρεφῶν | ἐξῆλθον σήμερον.
Ἐν ταῖς χερσὶ κατέχοντα βαΐα | τὸ Ὡσαννά σοι ἐκραύγαζον.
Ὁ τότε τούτοις τὸ φῶς σου λάμψας | φώτισον τοὺς ὑμνοῦντάς σε.

Καὶ νῦν· ἦχος δ'.

Βασιλεῦ τῶν αἰώνων | ἐπουράνιε δυνατέ,
πρὸς σὲ καταφεύγομεν | πριν καταλάβῃ
καιρὸς τοῦ ἀπολέσθαι ἡμᾶς.
Τὴν ὀργὴν κατάπαυσον | καὶ ἡμᾶς ἐλέησον
ψάλλοντάς σοι, δέσποτα, | τὸν τρισάγιον ὕμνον·
Ἅγιος ὁ Θεὸς | ὁ ὑπ' ἀγγέλων ὑμνούμενος·
ἅγιος ἰσχυρὸς | ὁ λυτρούμενος ἡμᾶς ἐκ τῆς ὀργῆς·
ἅγιε ἀθάνατε, | ἐλέησον κόσμον κινδυνεύοντα
καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

Εὐθὺς ἀνάγνωσις εἰς τὰ βαΐα. Στιχολογία· «Ἀγαπήσω σε, Κύριε ἡ ἰσχύς μου». Κάθισμα ἤχου πλαγίου δ', πρὸς τὸ «Τὸ προσταχθέν μοι μυστικῶς».

Ὁ ἐπὶ θρόνου Χερουβὶμ | καὶ ἐπὶ πώλου
ἐπικαθίσας δι' ἡμᾶς | καὶ πρὸς τὸ πάθος
τὸ ἑκούσιον φθάσας | σήμερον ἀκούει
τῶν παίδων ανευφημούντων | τὸ Ὡσαννά.

1 αἱ ἐκδ. «τὰς ψυχάς». — 4 σωτὴρ sic] ἐλλείπει ταῖς ἐκδόσεσι.—8 θεὸς] ἐλλείπει ταῖς ἐκδ. — 11 κ. «ὁ ἐγείρας» || κ. «μένων τὸν». — 12 «ἀλλὰ» κατὰ τὸν κώδικα· αἱ ἐκδ. «ἐν ὡ» || κ. «φιλάνθρωπε» — 15 αἱ ἐκδ. «κραυγάζοντα· εὐλογημένος εἶ, ὅτι τὸν κόσμον εις τὸ σῶσαι ἐλήλυθας». —32 ανευφημούντων] αἱ ἐκδ. «ἀναβοώντων· υἱὲ Δαυὶδ σπεῦσον σῶσαι οὓς ἔπλασας» κτλ.

τῶν ὄχλων ἀναβοώντων | "υἱὲ Δαυίδ,
σπεῦσον σῶσαι οὓς ἔπλασας, | εὐλογημένε Ἰησοῦ·
εἰς τοῦτο γὰρ ἐλήλυθας, | ὅπως γνῶμεν τὴν δόξαν σου".

Εἰς τὸ «Δόξα καὶ νῦν» ἦχος πλ. δ'.

Μέγα καὶ ἀνέκφραστον θαῦμα· | ὁ ἐκ παρθένου προελθὼν Χριστός,
υἱὸς ὢν τοῦ πατρός, | τὴν ἄνω Ἱερουσαλὴμ μὴ λιπών,
εἰς τὴν ἐπὶ γῆς πρὸς τὸ ἑκούσιον πάθος παραγίνεται,
καὶ ἔχαιρον τὰ ὄρη βλέποντα τὸν ποιητὴν τῆς κτίσεως
ἐπὶ πώλου ἐποχούμενον | καὶ τοῖς κλάδοις
παῖδες τῶν Ἑβραίων | προφητικῶς τοῦτο ἐκραύγαζον·
"Ὡσαννὰ ἐν τοῖς ὑψίστοις· | εὐλογημένος ὁ ἐλθὼν
καὶ ἐρχόμενος· | Χριστὲ ὁ Θεος, δόξα σοι".

Εὐθὺς ἀνάγνωσιν καὶ τὸν πολυέλεον. Κάθισμα ἤχου πλαγίου δ'.

"Οτε παραγέγονας ἐν Βηθανίᾳ,
τότε ἐπεγνώσθης τῇ σῇ | δεσποτείᾳ
υἱὸς μονογενὴς | τοῦ Λαζάρου τὴν ἔγερσιν
Θεὸς ἀναδειχθεὶς τῇ ἐπιβάσει σου τῷ πώλῳ·
καὶ γὰρ οἱ παῖδες | μετὰ βαΐων ἐκραύγαζον
"Εὐλογημένος ὁ ἐρχόμενος | σωτὴρ ἡμῶν",
καὶ σὺν αὐτοῖς βοῶμέν σοι·
"Ὡσαννὰ τῷ υἱῷ | Δαυίδ· Κύριε, δόξα σοι".

Εἰς τὸ «Δόξα» ἦχος πλ. δ'.

Ὁ ἐν θρόνῳ χερουβικῷ | βασταζόμενος
καὶ ἀσιγήτοις χείλεσι | τῶν Σεραφὶμ δοξολογούμενος
ἐπὶ πώλου εὐτελοῦς | ἐδείχθης ἐποχούμενος·
ὅθεν παῖδες Ἑβραίων | μετὰ κλάδων ἐλαιῶν
τὸν ἐπινίκιον ὕμνον | ἐβόων σοι·
"Ὡσαννὰ ὁ Θεός· | εὐλογημένος ὁ ἐρχόμενος
ἐν ὀνόματι Κυρίου. | Ὡσαννὰ ἐν τοῖς ὑψίστοις".

«Καὶ νῦν». Ὁ αὐτός.

Σωτηρίας κρηπῖδα | ἀσφαλῆ καὶ βεβαίαν
τὴν πρεσβείαν σου ἔχοντες, | Θεοτόκε παρθένε,
τὰ μεγαλεῖα τῶν θαυμάτων σου | κηρύττομεν
καὶ τῇ σκέπῃ σου | διὰ παντὸς περίσωζε,
ὅτι σὺ εἶ καύχημα | τῆς δυνάμεως ἡμῶν,
μόνη εὐλογημένη.

24 κ. «ἀσυγείτοις» || σεραφείμ. — 31 κριπῖδα.

Εἶθ' οὕτως ἀνάγνωσις καὶ τὸν Ἄμωμον.

Τροπάρια τοῦ Ἀμώμου τῆς ἑορτῆς ἀναστάσιμα:

Τῶν ἀγγέλων ὁ δῆμος | κατεπλάγη ὁρῶν σε
ἐποχούμενον πώλῳ, | οἱ δὲ παῖδες λαβόντες
τῶν βαΐων τὰ κλάδη
σοὶ τὸ Ὡσαννὰ ἔκραζον, | υἱὲ Δαυίδ,
τοὺς χιτῶνας τοὺς ἑαυτῶν στρωννύοντες.

Τῶν ἀγγέλων ὁ δῆμος | κατεπλάγη ὁρῶν σε
τῷ πώλῳ ἐπιβάντα | καὶ βαΐοις καὶ κλάδοις
πᾶσιν εὐφημισθέντα
τὸν χερουβικοῖς ἅρμασιν | ὀχούμενον,
Ὡσαννὰ τῷ υἱῷ ! Δαυίδ ἀκούσαντα.

Ὁ ἐπ' ὤμων Χερουβὶμ καὶ Σεραφὶμ
ἐπιβεβηκὼς | ὡς παντοκράτωρ
ἐπὶ πώλου ἐπέβης ὑποτάσσων
καὶ τοὺς ἀπειθεῖς, δέσποτα, | γεννήτορας
διὰ παίδων πιστῶν | ἀνευφημούντων σε.

Λίαν πρωὶ μυροφόροι | ἔδραμον ἐν τῷ μνήματι
θρηνολογοῦσαι· | ἀλλ' ἐπέστη πρὸς αὐτὰς
ὁ ἄγγελος καὶ εἶπεν·
" Θρήνου ὁ καιρὸς πέπαυται· | μὴ κλαίετε,
τὴν ἀνάστασιν δὲ | ἀποστόλοις εἴπατε ".

"Τί τὰ μύρα συμπαθῶς | τοῖς δάκρυσιν, ὦ μαθήτριαι,
κιρνᾶτε" ὁ ἀστράπτων | ἐν τῷ τάφῳ ἄγγελος
προσεφθέγγετο ταῖς μυροφόροις;
"Ἴδετε ὑμεῖς τὸν τάφον καὶ ἤσθητε·
ὁ Σωτὴρ γὰρ | ἐξανέστη τοῦ μνήματος·

Μυροφόροι γυναῖκες | μετὰ μύρων ἐλθοῦσαι
πρὸς τὸ μνῆμα σου, Σῶτερ, | ἐνηχοῦντο Ἀγγέλου
πρὸς αὐτὰς φθεγγομένου

2 Τροπάρια κτλ.] παράβαλλε ταῦτα πρὸς τὰ ψαλλόμενα εἰς ἦχον α' τῷ ἁγίῳ Σαββάτῳ πρωί, μετὰ τὴν τρίτην στάσιν. Ἐκείνων οὖν τὴν ψαλτικὴν στίξιν, ὡς ταύτην ὁ Πίτρας διήρεσεν, παρεισήγηγον καὶ τοῖς εἰρημένοις τροπαρίοις· ὁ δὲ κῶδιξ οὕτω στίζει τὸ πρῶτον τροπάριον. «Τῶν ἀγγέλων ὁ δῆμος κατεπλάγη | ὁρῶν σε ἐποχ. πώλῳ, | οἱ δὲ παῖδες | λαβόντες τῶν β. τὰ κλάδη | σοὶ τὸ ὡσαννὰ ἔκραζον υἱὲ Δαυίδ | τοὺς χιτῶνας τοὺς ἑαυτῶν στρωννύοντες»—16 κ. «ἀπειθεῖς» — 23 μῦρα—26 ἴσθητε.—29 ἡ ρωμαϊκὴ ἐκδ. «ἄγγελος δὲ πρὸς αὐτὰς ἔφη λέγων»· ἡ ἔκδοσις Βενετίας 1856· «ἀγγέλου τρανῶς πρὸς αὐτὰς φθεγομένου»—30 κ. «αὐταῖς».

"τί μετὰ νεκρῶν | τὸν ζῶντα ἐλογίσασθε;
ὡς Θεὸς γὰρ | ἐξανέστη τοῦ μνήματος".

Προσκυνοῦμεν πατέρα | καὶ τὸν τούτου υἱόν τε
καὶ τὸ ἅγιον πνεῦμα, | τὴν ἁγίαν τριάδα
ἐν μια τῇ οὐσίᾳ, | σὺν τοῖς Σεραφὶμ κράζοντες
τὸ "ἅγιος | ἅγιος ἅγιος εἶ Κύριε".

Ζωοδότην τεκοῦσα | ἁμαρτίας, παρθένε,
τὸν Ἀδὰμ ἐλυτρώσω, | χαρμονὴν δὲ τῇ Εὔᾳ
ἀντὶ λύπης παρέσχες,
ῥεύσαντα ζωῆς· | ἴθυνε πρὸς ταύτην δὲ
ὁ ἐκ σοῦ σαρκωθεὶς Θεὸς καὶ ἄνθρωπος.

Εὐθὺς κάθισμα ἤχου πλαγίου δ', πρὸς τὸ "Ἀνέστης ἐκ νεκρῶν ἡ ζωὴ τῶν".

Δυὰς τῶν μαθητῶν | ἀποστέλλεται σήμερον
τὸν πῶλον ἀγαγεῖν | τῷ δεσπότῃ τῶν ἁπάντων.
Ἔρχεται ἐπιβῆναι | ὁ ὀχούμενος | Σεραφὶμ πλήθεσιν·
ἄρχεται δειματοῦσθαι | ὁ κοσμοκράτωρ | παμφάγος θάνατος
διὰ Λαζάρου πρῶτον σκυλευθεὶς | τῷ γένει τῶν ἀνθρώπων.

Καὶ νῦν· ἦχος πλάγιος δ'.

Ἐπὶ σοὶ χαίρει κεχαριτωμένη.

Καὶ εὐθὺς καταβαίνει ὁ πατριάρχης καὶ ἄρχεται τὸν κανόνα μετὰ τὸν κλῆρον (= τοῦ κλήρου), οἱ δὲ Σπουδαῖοι ἀναβαίνουσιν εἰς τὴν Θεοτόκον τῶν Σπουδαίων καὶ ψάλλουν ἐκεῖ τὸν κανόνα καὶ πᾶσαν τὴν ἀκολουθίαν καὶ ἀπολύ(ονται), καθὼς ἐστιν ὁ τύπος αὐτῶν.

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
"Ὡσαννὰ Χριστός, εὐλογημένος Θεός".

Ὠδὴ α'.

Ὤφθησαν | αἱ πηγαὶ τῆς ἀβύσσου | νοτίδος ἄμοιροι
καὶ ἀνεκαλύφθη θαλάσσης | κυμαινούσης τὰ θεμέλια

1 αἱ ἐκδ. «λογίζεσθε». — 14 Δυὰς κτλ.] ψάλλεται νῦν τῇ παρασκευῇ πρὸ τῶν Βαΐων, εἰς τὸν ὄρθρον· ἔστι δὲ κατὰ τὸ Τριῴδιον κάθισμα «τοῦ κυρίου Θεοδώρου». — 17 κ. «δηματοῦσθαι». — 18 αἱ ἐκδ. «τὸ γένος». — 23 κ. «τὸσπουδαῖ» || ψάλουν. — 24 καθὼς ἐστιν] κ. «καθῶς εἰς τὸ ὁ τύπ. αὐτῶν». — 29 ἄμυροι.

τῇ καταιγίδι· | νεύματι ταύτης γὰρ ἐπετίμησας,
περιούσιον λαὸν δὲ ἔσωσας, | ᾄδοντα | ἐπινίκιον ὕμνον σοι. Κύριε.

Στόματος | ἐκ νηπίων ἀκάκων | καὶ θηλαζόντων αἶνον
τῶν σῶν οἰκετῶν κατηρτίσω | καταλῦσαι τὸν ἀντίπαλον,
καὶ ἐκδικῆσαι | πάθει σταυροῦ τὴν πτῶσιν τοῦ πάλαι Ἀδάμ
διὰ ξύλου ἀναστῆσαι τοῦτον δέ,
ᾄδοντα | ἐπινίκιον ὕμνον σοι, Κύριε.

Αἴνεσιν | ἐκκλησία ὁσίων | τῷ ἐνοικοῦντι Σιὼν
σοί, Χριστέ, προσφέρει· ἐν σοὶ δὲ | Ἰσραὴλ τῷ ποιητῇ αὐτοῦ
χαίρει καὶ ὄρη· | ἔθνη ἀντίτυπα λιθοκάρδια
ἐκ προσώπου σου ἠγαλλιάσαντο
ᾄδοντα | ἐπινίκιον ὕμνον σοι, Κύριε.

Ὠδὴ γ'.

Νάουσαν ἀκρότομον προστάγματι σῷ
στερεὰν ἐθήλασε πέτραν | Ἰσραηλίτης λαός·
ἡ δὲ πέτρα σύ, Χριστέ, | ὑπάρχεις καὶ ζωή,
ἐν ᾗ | ἐστερεώθη | ἡ ἐκκλησία κράζουσα
Ὡσαννά, | εὐλογημένος εἶ ὁ ἐρχόμενος.

Νεκρὸν τετραήμερον προστάγματι σῷ
ἐκ νεκάδων σύντρομος ᾅδης | ἀφῆκε Λάζαρον
ἡ ἀνάστασις Χριστέ· | σὺ γὰρ (εἶ) καὶ ζωή,
ἐν ᾗ | ἐστερεώθη | ἡ ἐκκλησία κράζουσα
"Ὡσαννά, | εὐλογημένος εἶ ὁ ἐρχόμενος".

Ἄσατε, λαοί, θεοπρεπῶς ἐν Σιὼν
καὶ εὐχὴν ἀπόδοτε Χριστῷ | ἐν Ἱερουσαλήμ.
Αὐτὸς ἔρχεται ἐν δόξῃ | μετὰ κυρείας,
ἐν ᾧ | ἐστερεώθη | ἡ ἐκκλησία κράζουσα
"Ὡσαννά, | εὐλογημένος εἶ ὁ ἐρχόμενος".

Ὑπακοή. Ἦχος δ'.

Πρὸς τὸ πάθος ἐπισπεύδων, πολυέλεε,
προφητῶν τε τὰς προρρήσεις βεβαιούμενος
πῶλῳ, Χριστέ, ἐπιβέβηκας σωματικῶς·

2 διέσωσας || σοὶ. — 4 ἡ ρωμ. ἐκδ. «τὸν σὸν οἰκετῶν» || κ. «κατηρτήσω καταλύσαι».—8 ἐνοικούντι.—9 αὐτοῦ.—21 προσέθηκα τὸ «εἶ», ὃ ἐλλείπει τῇ ἑνετικῇ ἐκδόσει· ὁ Πίτρας ἔγραψεν «ὑπάρχεις καὶ ζωή», κατὰ τὸν εἰρμόν. — 22 αἱ ἐκδ. «ἐν ὧ».—26 «μετὰ κυρείας» κατὰ τὰς ἐκδόσεις· ἐν τῷ κώδικι «κύριος».

ὅθεν καὶ βαΐοις φοινίκων | οἱ παῖδες ὑπαντῶντες
ἐκραύγαζον· | "Ὡσαννὰ τῷ υἱῷ Δαυίδ,
Ὡσαννὰ τῷ τὸν θάνατον καταλύσαντι"·
ἀλλ' Ἰουδαῖοι οἱ φρενοβλαβεῖς
οὐχ εἵλοντο μὴ λέγειν Θεόν σε φιλάνθρωπον.

Ὠδὴ γ'.

Χριστὸς ὁ ἐρχόμενος | ἐμφανῶς Θεὸς ἡμῶν
ἥξει καὶ οὐ χρονιεῖ | ἐξ ὄρους | κατασκίου δασέος, κόρης
τικτούσης ἀπειράνδρως | προφήτης πάλαι φησί·
διὸ πάντες βοῶμεν | "δόξα τῇ δυνάμει σου, Κύριε".

Ῥηξάτω εὐφροσύνην | κραταιὰν ἐπ' ἔλεον
ὄρη καὶ πάντες βουνοὶ | καὶ ξύλα | τοῦ δρυμοῦ ἐπικροτησάτω.
Χριστὸν αἰνεῖτε, ἔθνη, | καὶ τοῦτον, πάντες λαοί,
ἐπαινοῦντες βοᾶτε | "δόξα τῇ δυνάμει σου, Κύριε".

Ἰσχὺν ὁ βασιλεύων | τῶν αἰώνων Κύριος
ἐνδεδυμένος ἥξει· | τῆς τούτου | ὡραιότητός τε καὶ δόξης
ἀσύγκριτος ὑπάρχει | εὐπρέπεια ἐν Σιών·
διὸ πάντες βοῶμεν | "δόξα τῇ δυνάμει σου, Κύριε".

Σπιθαμῇ ὁ μετρήσας | οὐρανόν, ὄρακι δὲ γῆν
Κύριος πάρεστι· | Σιὼν γὰρ | ἐξελέξατο, ἐν αὐτῇ δὲ
οἰκεῖν καὶ βασιλεύειν | ἠρέτισε τὸν λαὸν
τὸν ἐν πίστει βοῶντα | "δόξα τῇ δυνάμει σου, Κύριε".

Ὠδὴ ε'.

Τὴν Σιὼν ἐπ' ὄρους ἀνάβηθι | ὁ εὐαγγελιζόμενος
καὶ τὴν Ἱερουσαλὴμ | ὁ κηρύσσων ἐν ἰσχύι
ὕψωσον φωνήν. | Δεδοξασμένα ἐλαλήθη
περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ.
Εἰρήνη ἐπὶ τὸν Ἰσραὴλ | καὶ σωτήριον ἔθνεσιν.

Ὁ ἐν τοῖς ὑψίστοις καθήμενος | ἐπὶ τῶν Χερουβὶμ Θεὸς
καὶ ἐφορῶν ταπεινὰ | ἰδοὺ ἔρχεται ἐν δόξῃ
μετὰ κυρείας | καὶ πληρωθήσεται τὰ πάντα
θείκῆς αἰνέσεως αὐτοῦ.
Εἰρήνη ἐπὶ τὸν Ἰσραὴλ | καὶ σωτήριον ἔθνεσιν.

5 οὐχείλοντο.—9 ἀπειράνδρως] κ. «ἀπειράνδρος»· αἱ ἐκδ. «ἀπειράνδρου».—11 ἐπέλαιον.—13 τοῦτον] οὕτως ἐν τῷ κώδικι, κατὰ τὴν ρωμαϊκὴν ἔκδοσιν· ἡ δὲ ἑνετικὴ ἔκδοσις ἔχει «τούτω.—16 ἥξει.—21 ἠρέτισε] οὕτω κατὰ τὴν ρωμαϊκὴν ἔκδοσιν· ἐν δὲ τῷ κώδικι γέγραπται «ἠρέτησαι»· ἡ δὲ ἑνετ. ἔκδ. ἔχει «ἠρετίσατο λαῶν τῶν ἐν π. βοώντων». 25 ἰσχύει.—30 ἰδοὺ] οὕτως ἐν τῷ κώδικι· αἱ ἐκδ. «αὐτός»

Σιών, Θεοῦ ὄρος τὸ ἅγιον, | καὶ Ἱερουσαλήμ, κύκλω
τοὺς ὀφθαλμούς σου ἆρον | καὶ ἴδε τὰ συνηγμένα
τέκνα σου ἐν σοί· | ἰδοὺ γὰρ ἥκασι μακρόθεν
προσκυνῆσαι τῷ βασιλεῖ σου.
Εἰρήνη ἐπὶ τὸν Ἰσραὴλ | καὶ σωτήριον ἔθνεσιν.

Ὠδὴ ς΄.

Ἐβόησαν | ἐν εὐφροσύνῃ δικαίων τὰ πνεύματα·
" νῦν τῷ κόσμῳ | διαθήκη καινὴ διατίθεται
καὶ ῥαντίσματι | καινουργείσθω λαὸς | θείου αἵματος.
Ὑπόδεξαι, | Ἰσραήλ, τοῦ Θεοῦ τὸ βασίλειον
καὶ ὁ βαίνων | ἐν τῷ σκότει τὸ φῶς θεασάσθω μέγα
καὶ ῥαντίσματι | καινουργείσθω λαὸς | θείου αἵματος.
Λελυμένους | σοὺς δεσμίους, Σιών, ἐξαπόστειλον
καὶ ἐκ λάκκου | ἀγνωσίας ἀνύδρου ἐξάγαγε,
καὶ ῥαντίσματι καινουργείσθω λαὸς | θείου αἵματος ".

Εἶθ' οὕτω τὸ κονδάκιον· ἦχος πλ. β΄.

Τῷ θρόνῳ ἐν οὐρανῷ | τῷ πώλῳ ἐπὶ τῆς γῆς
ἐποχούμενος, Χριστέ ὁ Θεός, | τῶν ἀγγέλων | τὴν αἴνεσιν
καὶ τῶν παίδων | τὴν ὕμνησιν | προσεδέξω βοώντων σοι
" εὐλογημένος εἶ ὁ ἐρχόμενος | τὸν Ἀδὰμ ἀνακαλέσασθαι ".

Ὁ οἶκος.

Ἐπειδὴ ᾅδην ἔδησας, | ἀθάνατε, καὶ θάνατον ἐνέκρωσας
καὶ κόσμον ἀνέστησας, | βαΐοις τὰ νήπια
ἀνευφήμουν σε Χριστέ, ὡς νικητὴν
κραυγάζοντά σοι σήμερον
" Ὡσαννὰ τῷ υἱῷ Δαυίδ· | οὐκέτι γάρ φησι·
σφαγήσονται βρέφη | διὰ τὸ βρέφος Μαριάμ,
ἀλλ' ὑπὲρ πάντων νηπίων καὶ πρεσβυτῶν μόνος σταυροῦσαι.
Οὐκέτι καθ' ἡμῶν | χωρήσει τὸ ξίφος·
ἡ σὴ γὰρ πλευρὰ | νυγήσεται λόγχῃ.
Ὅθεν ἀγαλλόμενοι φαμέν·

Ἀντίφωνον α΄ " Εὐλογημένος ὁ ἐρχόμενος ". Καὶ πάλιν λέ(γομεν) " Τῷ θρόνῳ ". Καὶ εὐθὺς ψάλλομεν τὸ " Ἐξομολογεῖσθε τῷ

1 ἐν τῷ κώδ. ἐλλείπει τὸ «τὸ».—2 κ. «ἴδε» κατὰ τὴν ἐν. ἐκδ.—22 ἀθάνατε] ἐλλείπει τῷ κώδικι. — 24 νικητῆ. — 28 πρεσβυτέρων. — 33 ἐξομολογεῖσθαι.

Κυρίῳ" (εἰς) ἦχον δ'. Καὶ ὅταν ἄρξεται τὸ "Αὕτη ἡ πύλη τοῦ Κυρίου· δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ", τότε εἰσελεύσεται ὁ πατριάρχης καὶ οἱ ἐπίσκοποι καὶ οἱ πρεσβύτεροι εἰς τὴν Ἁγίαν Ἀνάστασιν καὶ εἰσέρχονται εἰς τοῦ Κυρίου τὸν Τάφον, οἱ δὲ διάκονοι (ἵστανται) ἔμπροσθεν τοῦ ζωηφόρου Τάφου καὶ συνάπτει ὁ ἀρχιδιάκονος. Εἶτα ψάλλουσι τὰ ἐπακουστὰ (εἰς) ἦχον γ'. "Εὐλογημένος ὁ ἐρχόμενος διὰ σταυροῦ λῦσαι τὴν κατάραν τῆς ἁμαρτίας καὶ τὸν αἶνον παρὰ παίδων προσδεχόμενος. Ὡσαννὰ ἐν τοῖς ὑψίστοις". Στίχ. α'· "Ἡ βασιλεία σου, Χριστέ, βασιλεία πάντων τῶν αἰώνων". Ἀντίφωνον β'· "Οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς Κύριε, καὶ οὐκ ἔστι κατὰ τὰ ἔργα σου· πάντα τὰ ἔθνη ὅσα ἐποίησας ἥξουσι, μετὰ βαΐων σοι βοῶντα Ὡσαννὰ ἐν τοῖς ὑψίστοις". Στίχ. "Ὁ Θεὸς παράνομοι ἐπανέστησαν ἐπ' ἐμὲ καὶ κραταιοὶ ἐζήτησαν τὴν ψυχήν μου". Καὶ ἀντὶ τοῦ "Πᾶσα πνοὴ" λέγεται "Θεὸς κύριος καὶ ἐπέφανεν". Στίχ. "Ἐξομολογ:" Εἶθ' οὕτως ἀναγινώσκεται εὐαγγέλιον ἀναστάσιμον, ὅτι ἡ Ἁγία Ἀνάστασις οὐ λείπει Κυριακὴ νὰ μὴ τὸ λέγῃ, ἀλλὰ πάντα λέγει.

Εὐαγγέλιον ια' ἐκ τοῦ κατὰ Ἰωάννην

(οὗ ἡ ἀρχή· «Τῷ καιρῷ ἐκείνῳ ἐφανέρωσεν ἑαυτὸν ὁ Ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ ἐγερθεὶς ἐκ νεκρῶν, καὶ λέγει τῷ Σίμωνι Πέτρῳ· Σίμων Ἰωνᾶ ἀγαπᾷς με» κτλ. Τέλος· «τὸν κόσμον χωρῆσαι τὰ γραφησόμενα βιβλία· ἀμήν». Ἰω. κα', 15—25).

Εἶτα λέ(γουσι) τὸ τροπάριον τοῦτο ἀντὶ τοῦ "Ἀνάστασιν Χριστοῦ θεασάμενοι".

Τὴν τῶν βαΐων ἁγίαν ἑορτὴν θεασάμενοι
προσκυνήσωμεν ἅγιον κύριον,
Ἰησοῦν τὸν μόνον ἀναμάρτητον.
Τὸ μετριοπαθές σου, Χριστέ, προσκυνοῦμεν
καὶ τὰ προοίμια τῆς σῆς ἀναστάσεως
ὑμνοῦμεν καὶ δοξάζομεν·
ἡ τοῦ Λαζάρου γὰρ τετραήμερος ἔγερσις
τὴν τριήμερόν σου ἀνάστασιν προετύπωσεν.
Δεῦτε πάντες πιστοὶ προσκυνήσωμεν
τὴν τοῦ Χριστοῦ συγκατάβασιν·

π υ ε΄

17 ἐν τῷ κώδικι οὕτως· «οὐ λι κ ναμὴτολγ».

ἰδοὺ γὰρ ἦλθεν δι' αὐτῆς χαρὰ ἐν ὅλῳ τῷ κοσμῳ.
Διὰ παντὸς εὐλογοῦμεν τὸν Κύριον,
ὑμνοῦμεν τὰ παθήματα αὐτοῦ·
σταυρὸν γὰρ ὑπομείνας | θανάτῳ θάνατον ὠλεσεν.

Εὐθὺς «Δόξα». Ἦχος πλάγιος δ'.

Φανερώσας ἑαυτὸν τοῖς μαθηταῖς ὁ Σωτὴρ
μετὰ τὴν ἀνάστασιν σοί, Σίμων, δεδωκε
τὴν τῶν προβάτων νομήν, εἰς ἀγάπης ἀντικτησιν
τὴν τοῦ ποιμαίνειν φροντίδα αἰτῶν·
διό σοι ἔλεγεν | "εἰ φιλεῖς, Πετρε,
ποίμαινε τὰ ἀρνία μου, | ποίμαινε τὰ πρόβατά μου".
Ὁ δὲ εὐθέως | ἐνδεικνύμενος τὸ φιλόστοργον
περὶ τοῦ ἄλλου μαθητοῦ | ἐπυνθάνετο·
ὧν ταῖς πρεσβείαις, | Χριστέ,
τὴν ποίμνην σου διαφύλαττε | ἐκ λύκων λυμαινομένων αὐτήν.

Καὶ εὐθὺς λιτὴ ἐπὶ τὸ Ἅγιον Κρανίον, ψάλλοντες στιχηρὸν ἤχου πλαγίου β'· "Σήμερον ἡ χάρις". Καὶ ἀναβαίνει ὁ πατριάρχης εἰς τὸν Ἅγιον Γολγοθᾶν τοῦ θυμιᾶσαι, καὶ μένει ὁ πρωτόπαπας κάτω σὺν τῷ κλήρῳ ψάλλειν "Ἐν ταῖς νυξὶν ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ Ἅγια καὶ εὐλογεῖτε τὸν Κύριον". Στίχ. "Εὐλογήσει σε Κύριος ἐκ Σιών". Καὶ εὐθέως καταβαίνει ὁ πατριάρχης καὶ ἄρχεται τὸ "Ἐλέησόν με ὁ Θεός", καὶ παραυτίκα λιτὴ ἐπὶ τὴν "Ἁγίαν Ἀνάστασιν". Οἱ ψάλται γυρίζοντ(αι) τὸν πανάγιον καὶ ζωοποιὸν Τάφον, ἕως οὗ ἐλεύσονται εἰς τὸν Χορόν, καὶ ἄρχονται ψάλλειν τὰς τρεῖς ᾠδάς· ὁ δὲ πατριάρχης καὶ ὁ κλῆρος ἀναβ(αίνει) εἰς τὰ Κατηχούμενα, ἕως οὗ ἀπολύει. Καὶ μετὰ τὸ ἀπολύ(σειν) ἐξέρχεται ὁ πατριάρχης μετὰ τοῦ λαοῦ εἰς τὴν Ἐλαίαν ἐν τῇ Βηθανίᾳ.

Ὠδὴ ζ'.

Ὁ διασώσας ἐν πυρὶ | τοὺς Ἀβραμιαίους σου παῖδας
καὶ τοὺς Χαλδαίους ἀνελών, | οἷς ἀδίκως δικαίους ἐνήδρευσαν,
ὑπερύμνητε Κύριε, | ὁ Θεὸς ὁ τῶν πατέρων, | εὐλογητὸς εἶ.

16 τὸν ἅγιον. — 17 ἀναβαίνη. — 20 ὑμῶν. — 22 παραυτίκα. — 23 γυρίζον τοπάγ να. — 24 ζωοποιῶν. — 25 ψάλλει || τρις.

Γονυπετοῦντες οἱ λαοὶ | καὶ συν μαθηταῖς γεγηθότες
μετὰ βαΐων "Ὡσαννὰ | τῷ υἱῷ Δαυὶδ" ἀνεκραύγαζον·
"ὑπερύμνητε Κύριε, | ὁ Θεὸς ὁ τῶν πατέρων, | εὐλογητὸς εἶ".

Ἡ ἀπειρόκακος πληθύς, | ἔτι νηπιάζουσα φύσις,
θεοπρεπῶς σε, βασιλεῦ | Ἰσραὴλ καὶ ἀγγέλων, ἀνύμνησεν·
"ὑπερύμνητε Κύριε, | ὁ Θεὸς ὁ τῶν πατέρων | εὐλογητὸς εἶ".

Μετὰ βαΐων σέ, Χριστέ, | κλάδοις ἐπεκρότει τὰ πλήθη·
"Εὐλογημένος ὁ ἐλθὼν | βασιλεὺς τῶν αἰώνων" ἐβόα δέ·
"ὑπερύμνητε Κύριε, | ὁ Θεὸς ὁ τῶν πατέρων, | εὐλογητὸς εἶ".

Ὠδὴ η΄.

Εὐφράνθητι, Ἱερουσαλήμ· | πανηγυρίσατε | οἱ ἀγαπῶντες Σιών·
ὁ βασιλεύων γὰρ | εἰς τοὺς αἰῶνας | Κύριος τῶν δυνάμεων ἦλθεν.
Εὐλαβείσθω | πᾶσα ἡ γῆ ἐκ προσώπου αὐτοῦ
καὶ βοάτω | "εὐλογεῖτε Κυρίου τον Κύριον".

Νέον πῶλον ἐπιβεβηκὼς | ὁ βασιλεύς σοι, Σιών, | ἐπέστη Χριστός·
τὴν γὰρ ἀλόγιστον | εἰδώλων πλάνην | λῦσαι καὶ τὴν ἀκάθαρτον ὁρμὴν
ἀναστεῖλαι | πάντων ἐθνῶν παραγέγονεν
εἰς τὸ μέλπειν | "εὐλογεῖτε Κυρίου τον Κύριον".

Ὁ Θεός σου—χαῖρε, Σιών, σφόδρα— | ἐβασίλευσεν | εἰς τὸν αἰῶνα Χριστός·
οὗτος, ὡς γέγραπται, | πραΰς καὶ σώζων | δίκαιος λυτρωτὴς ἡμῶν ἦλθεν
ἐπὶ πώλου | ἵππειον θράσος ὀλέσαι ἐχθροῦ
εἰς τὸ μέλπειν | "εὐλογεῖτε Κυρίου τον Κύριον".

Σπανίζεται θείων περιβόλων | τὸ παράνομον | συνέδριον ἀπειθῶν,
τὸν προσευχῆς Θεοῦ | ἐπείπερ οἶκον | σπήλαιον ἀπειργάσατο λῃστῶν,
ἐκ καρδίας | τὸν λυτρωτὴν ἀπωσάμενον·
ᾧ βοῶμεν | "εὐλογεῖτε Κυρίου τον Κύριον".

2 «ἀνεκραύγαζον» κατὰ τὴν ρωμ. ἔκδοσιν· ἐν τῷ κώδικι «ἐκραύγαζον»· ἡ ἑνετ. ἐκδ. «ἔκραζον». — 3 εἶ] κ. «σοι». — 5 ἀνύμνησαν. — 6 εἶ] σοι.—7 τὸ «σὲ» ἐλλείπει τῇ ἑνετ. ἐκδόσει. — 18 δὲ] κατὰ τὸν κώδικα καὶ τὴν ρωμ. ἔκδοσιν· ἡ ἑνετ. ἔκδοσις «τε».— 9 εἶ] κ. «σοι».—13 ἐκ] ἐν τῷ κώδ. «ἀπὸ».—14 εὐλογεῖτε Κυρίου τον Κύριον] οὕτως ἔχει ὁ κῶδιξ ἐν ἁπάσῃ τῇ ὠδῇ, αἱ δὲ ἐκδόσεις «πάντα τὰ ἔργα ὑμνεῖτε τὸν κύριον».—15 ὁ βασιλεύων σοι] ἑνετ. ἐκδ. «ὁ βασιλεύς σου» || ἐπέστη Χριστὸς] οὕτω κατὰ τὸν κώδικα καὶ τὴν ἑνετ. ἔκδοσιν, ἡ δὲ ρωμ. γράφει «Χριστὸς ἐπέστη ἐν σοί». — 16 λῦσαι] ἐλλείπει τῷ κώδ.—19 τὸν αἰῶνα] αἱ ἐκδ. «τοὺς αἰῶνας».—21 κ. «ἵππιον» || «ὀλέσαι» κατὰ τὸν κώδ. καὶ τὴν ρωμ. ἔκδοσιν· ἡ ἑνετ. ἐκδ. «ὀλέσων». — 22 εἰς τὸ μελπειν] οὕτως ὁ κῶδιξ· αἱ ἐκδ. «μὴ βοώντων» ἢ «τῶν βοώντων» κατὰ τὴν ρωμ. ἔκδοσιν.—23 κ. «περιβόλαιον».—24 ἀπειργάσαντο.

Ὠδὴ θ'.

Θεὸς Κύριος | καὶ ἐπέφανεν ἡμῖν·
συστήσασθε ἑορτὴν | καὶ ἀγαλλόμενοι
δεῦτε μεγαλύνωμεν Χριστὸν | μετὰ βαΐων καὶ κλάδων
ὕμνον κραυγάζοντες | "εὐλογημένος ὁ ἐρχόμενος
ἐν ὀνόματι Κυρίου, | σωτὴρ ἡμῶν".

Ἔθνη, ἵνα τί | ἐφρυάξατε; γραφεῖς
καὶ ἱερεῖς, τί κενὰ | ἐμελετήσατε
"τίς οὗτος" εἰπόντες, "ὦ παῖδες | μετὰ βαΐων καὶ κλάδων
ὑμνοις κραυγάζουσιν | εὐλογημένος ὁ ἐρχόμενος
ἐν ὀνόματι Κυρίου, | σωτὴρ ἡμῶν";

Οὗτος ὁ Θεός, | ὢ παρόμοιος οὐδείς·
δικαίαν πᾶσαν ὁδὸν | ἐξευρὼν δέδωκε
τῷ ἠγαπημένῳ Ἰσραήλ, | μετὰ δὲ ταῦτα ἀνθρωποις
συνανεστράφη ὀφθείς· | εὐλογημένος ὁ ἐρχομενος
ἐν ὀνόματι Κυρίου, | σωτὴρ ἡμῶν.

Σκάνδαλα τρίβου | τί ἐχόμενα ἡμῖν
τιθέατε ἀπειθεῖς; | πόδες ὀξεῖς ὑμῶν
αἷμα διεκχέαι δεσπότου· | ἀλλ' ἀναστήσεται πάντως
σῶσαι τοὺς κράζοντας | "εὐλογημένος ὁ ἐρχόμενος
ἐν ὀνόματι Κυρίου, | σωτὴρ ἡμῶν".

Ἐξαποστειλάριον πρὸς τὸ «Τοῖς μαθηταῖς συνελθωμεν».

Ἐπὶ πτερύγων Κύριος | τῶν ἀνέμων ὁ βαίνων,
ἐπ' ὤμων τε καθήμενος | Χερουβὶμ ἐν ὑψίστοις,
νῦν ἐποχούμενος πῶλῳ | ἔρχεται ἐπιβῆναι
πρὸς πάθος τὸ ἑκούσιον, | προφητῶν ὡς προρρήσεις
ἀποπλήρων | καὶ νηπίων αἴνεσιν | καὶ ἀγγέλων
ἀπαύστως προσδεχόμενος | ὡς Θεὸς καὶ δεσπότης.

Θεοτοκίον.

Ὁ οὐρανόν, πανάχραντε, | ὡσεὶ δέρριν ἐκτείνας,
ἐξ ἀχράντων λαγόνων σου | προελθὼν τε ἀφράστως
τοῖς κάτω συνανεστράφη | καὶ βροτοὺς ἐκ τῆς πλάνης
ῥυσάμενος ὡς εὔσπλαγχνος· | ὃν δυσώπει ἀπαύστως

9 κ. «ὦ».—10 κραυγάζοντες.—15 ὠφθείς. — 17 τρίβους ‖ ὑμεῖς. 18 τίθεατε ἀπιθεις.—19 δὲ ἐκχέε.

λύτρον ἡμῖν | δωρηθῆναι τῶν πολλῶν | ἐγκλημάτων,
ὡς παρρησίαν ἔχουσα | πρὸς τὸν πάντων δεσπότην.

Στιχηρὰ εἰς τοὺς αἴνους· ἦχος πλάγιος δ'.

Ἦλθεν ὁ Σωτὴρ σήμερον | ἐπὶ τὴν πόλιν Ἱερουσαλήμ
πληρῶσαι τὴν Γραφήν, | καὶ πάντες ἔλαβον
ἐν ταῖς χερσὶ βαΐα, | τοὺς δὲ χιτῶνας
ὑπεστρώννυον αὐτῷ, | γινώσκοντες
ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν, | ᾧ τὰ Χερουβὶμ
βοᾷ ἀπαύστως·
" ὡσαννὰ ἐν τοῖς ὑψίστοις· | εὐλογημένος εἰ ὁ ἔρχων
πλήθος οἰκτιρμῶν· | ἐλέησον ἡμᾶς ".

Δεῦτε καὶ ἡμεῖς σήμερον | ἐπὶ τὴν νέαν Ἱερουσαλήμ·
προσπέσωμεν Χριστῷ | —ἰδοὺ γὰρ κάθηται
οὐκ ἐπὶ πώλου νέου, | ἀλλ' ἐπὶ θρόνου
ὑψηλοῦ τῶν Σεραφίμ· | προσφέροντες αὐτῷ
ἀντὶ κλάδων ἐλαίας | καρπὸν ἐλεημοσύνης
καὶ βοῶμεν αὐτῷ
" ὡσαννὰ ἐν τοῖς ὑψίστοις· | εὐλογημένος εἰ ὁ ἔρχων
πλήθος οἰκτιρμῶν, | ἐλέησον ἡμᾶς ".

Προφητικῶς ἦλθες, ἀγαθέ, | ἐπὶ πώλου καθήμενος.
Εὐφραίνου ἡ πόλις τοῦ Θεοῦ,
ἀγάλλου δὲ ἡ θυγάτηρ Σιών.
Παῖδες Ἑβραίων βαΐοις ἐνεκρότουν κραυγάζοντες
" ὡσαννὰ ἐν τοῖς ὑψίστοις | τῷ υἱῷ Δαυὶδ καὶ κυρίῳ ".

Ἦχος πλάγιος δ'.

Ὁ τοῖς Χερουβὶμ ἐποχούμενος | καὶ ὑμνούμενος ὑπὸ τῶν Σεραφὶμ
ἐπέβης ἐπὶ πώλου | προφητικῶς, ἀγαθέ,
καὶ παῖδές σε ἀνύμνουν θεοπρεπῶς·
Ἰουδαῖοι ἐβλασφήμουν παρανόμως·
τὸ ἀκάθεκτον τῶν ἐθνῶν | ἡ καθέδρα τοῦ πώλου προετύπου
ἐξ ἀπιστίας εἰς πίστιν μεταβαλλόμενον.
Δόξα σοι, Χριστέ, | ὁ μόνος ἐλεήμων | καὶ φιλάνθρωπος.

27 προφητικῶς] αἱ ἐκδ. «δαυιτικῶς». — 31 κ. «ἀπιστείας» || αἱ ἐκδ. «μεταποιούμενον».

Εἰς τὸ «Δόξα»· ἦχος πλάγιος β'.

Πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα | ἦλθεν Ἰησοῦς εἰς Βηθανιαν
καὶ προσῆλθον αὐτῷ | οἱ μαθηταὶ αὐτοῦ | λεγοντες αὐτῷ
"Κύριε, ποῦ θέλεις | ἑτοιμάσωμέν σοι φαγεῖν τὸ πάσχα;
ὁ δὲ ἀπέστειλεν αὐτούς· | "ἀπέλθετε εἰς τὴν ἀπεναντι κώμην
καὶ εὑρήσετε ἄνθρωπον | κεράμιον ὕδατος βαστάζοντα·
ἀκολουθήσατε αὐτῷ | καὶ τῷ οἰκοδεσπότῃ | εἰπατε·
ὁ διδάσκαλος λέγει
πρὸς σὲ ποιῶ τὸ πάσχα μετὰ τῶν μαθητῶν μου".

Καὶ νῦν· ἦχος β' πρὸς τὸ «Σήμερον».

Σήμερον ταπεινώσεως ἡμῶν | τύπους Χριστὸς προϋπογράφει.
Σήμερον τῷ πώλῳ καθήμενος | τὴν πρόοδον ποιεῖται.
Αἱ δυνάμεις τῶν οὐρανῶν εὐφραίνονται
τὴν σήμερον ὁρῶσαι ταπείνωσιν·
νηπίων ἀγάλλονται στόματα
θεῖον αἶνον τῷ Χριστῷ καταρτίζοντα,
ἡμεῖς δὲ ἀκαταπαύστως βοῶμεν·
"δόξα ἐν ὑψίστοις Θεῷ
καὶ ἐπὶ γῆς εἰρήνη, | ἐν ἀνθρώποις εὐδοκία".

Εὐθὺς τὸ "Δόξα ἐν ὑψίστοις Θεῷ" εἰς τὴν λιτὴν ἔξω εἰς Βηθανίαν διὰ τὴν Ἐλαίαν.

Εὐχὴ λεγομένη ἐπάνω τῶν βαΐων καὶ κλάδων ὑπὸ τοῦ πατριάρχου.

«Συνάναρχε Λόγε τοῦ ἀκαταλήπτου σου πατρός, ὁ ὢν ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν σοὶ ἀχωρίστως, παρ' οὗ τὸ πνεῦμα τὸ ἅγιον ἐξεφάνη, ὁ ἐν τῇ ἐνσάρκῳ σου οἰκονομίᾳ τὸ τῆς ἡμετέρας σωτηρίας ἐκπληρῶν μυστήριον, πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα τὴν Βηθανίαν καταλαβών, ἑκούσιον δεικνύων τὸ πάθος, ὡ καὶ ὁ πλεῖστος ὄχλος ἐστρώννυον τὰ ἱμάτια ἐν τῇ ὁδῷ, ἄλλοι δὲ ἔκοπτον κλάδους ἐκ τῶν δένδρων καὶ ἐστρώννυον ἐν τῇ ὁδῷ, οἱ δὲ παῖδες ἐξεβόων πανευφήμοις φωναῖς "εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου", αἰνιγματίζων ἡμῖν τὰ ὄντα καὶ τὰ μέλλοντα· τῷ

23 κ. «ἀκαταλειπτου».—25 ἐξεφάνει.—26 σωτηρίας] διορθοῦται ἐν τῇ ὥα· ἐν δὲ τῷ κειμένῳ γέγραπται «οἰκονομίας». — 28 κ. «ἔκοπτων».—29 ἐστρωννυον. - 31 αἰνηγματίζων.

γὰρ πῶλῳ δηλοῦται ὁ νέος λαός, οἱ τὰ ἱμάτια δὲ στρωννύοντες εἰσὶν οἱ τὰς ἁμαρτίας ἀποδυόμενοι. Διὸ καὶ ἡμεῖς, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἀναλαβόντες τοὺς κλάδους βοῶμέν σοι "εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου", ὅπως ἀξιωθῶμεν καὶ ἐν τῇ δευτέρᾳ σου παρουσίᾳ χορεῦσαι ἔμπροσθέν σου μετὰ λαμπάδων φωτεινῶν, πρεσβείαις τῆς ὑπεραγίας δεσποίνης ἡμῶν μητρός σου καὶ τῶν ἁγίων σου καὶ ἐπουρανίων δυνάμεων καὶ τῶν ἐνδόξων σου ἀποστόλων καὶ πάντων σου τῶν ἁγίων, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων».

Καὶ εὐθὺς ῥογεύει τὰ βαΐα καὶ τοὺς κλάδους, ὁμοίως καὶ τὰ κερία καὶ βαστάζουν τὴν Ἐλαίαν ἐκ τὴν Βηθανίαν καὶ γίνεται λιτὴ καὶ ἀπέρχονται εἰς τὸ ἅγιον ὄρος τῶν Ἐλαιῶν ἐν τῇ Ἁγία Ἀναλήψει ψάλλοντες τροπάριον ἤχου πλαγίου δ'· "Ὡσαννὰ ἐν τοῖς ὑψίστοις | εὐλογημένος ὁ ἐρχόμενος | ἐν ὀνόματι Κυρίου. | Ὡσαννὰ ἐν τοῖς ὑψίστοις". Εἶτα προκείμενον ἤχου δ'· "Τὰ ὄρη ἀγαλλιάσονται | ἀπὸ προσώπου Κυρίου, | ὅτι ἔρχεται". Στίχ. "Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν". Καὶ ὁ πατριάρχης τὸ εὐαγγέλιον ἐκ τοῦ κατὰ Μᾶρκον,

(οὗ ἡ ἀρχή· "Καὶ ὅτε ἤγγισαν εἰς Ἱεροσόλυμα εἰς Βηθφαγὴ καὶ εἰς Βηθανίαν, πρὸς τὸ ὄρος τῶν Ἐλαιῶν, ἀποστέλλει ὁ Ἰησοῦς δύο τῶν μαθητῶν". Τέλος· "καὶ περιβλεψάμενος πάντας, ὀψίας ἤδη οὔσης τῆς ὥρας ἐξῆλθεν εἰς Βηθανίαν μετὰ τῶν δώδεκα". Μάρκ. ια', 1 11).

Καὶ εὐθὺς ὁ διάκονος· "Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου". Καὶ ὁ πατριάρχης

τὴν εὐχήν.

«Κύριε Χριστὲ ὁ Θεὸς ἡμῶν ὁ καθήμενος ἐπὶ τῶν Χερουβίμ, ὁ ἐγείρας τὴν δυναστείαν σου καὶ ἀποστείλας τὸν μονογενῆ σου υἱόν, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἵνα σώσῃ τὸν κόσμον διὰ σταυροῦ καὶ ταφῆς καὶ τῆς ἀναστάσεως αὐτοῦ—ὧ καὶ παραγενομένῳ ἐν Ἱερουσαλὴμ πρὸς τὸ ἑκούσιον πάθος, ὁ λαὸς ὁ καθήμενος ἐν σκότει καὶ σκιᾷ θανάτου λαβόντες τὰ τῆς νίκης σύμβολα, τοὺς κλάδους τῶν δένδρων καὶ βαΐα τῶν φοινίκων,

3 ἀναλαβῶντες || βωῶμεν.—6 φωτινῶν.

ὑπήντων—αὐτός, δέσποτα, καὶ ἡμᾶς τοὺς κατὰ μίμησιν ἐκείνων κατὰ τὴν προεόρτιον ταύτην ἡμέραν βαΐα καὶ κλάδους δένδρων ἐν χερσὶ φέροντας καὶ βοῶντας τὸ Ὡσαννὰ διαφύλαξον, ὅπως καὶ ἡμεῖς ἐν ὕμνοις καὶ ᾄσμασι καὶ ᾠδαῖς πνευματικαῖς αὐτῷ ὑπαντῆσαι καταξιωθῶμεν καὶ τῆς ζωοποιοῦ ἀναστάσεως αὐτοῦ, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ εὐλογητὸς εἶ καὶ δεδοξασμένος σὺν τῷ παναγίῳ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων».

Καὶ εὐθὺς λιτὴ ἐπὶ τὴν Γεθσημανῆν κάτωθεν, ψάλλοντες ἦχον πλάγιον δ'. "Χαῖρε καὶ εὐφραίνου". "Ὁ ἄναρχος υἱός". Εἶθ' οὕτω προκείμενον ἦχου δ'· "Ἀγαλλιάσονται πάντα τὰ ξύλα τοῦ δρυμοῦ ἀπὸ προσώπου Κυρίου, ὅτι ἔρχεται". Στίχ. "Ἄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ". Ὁ διάκονος· "Σοφία· ὀρθοὶ ἀκούσωμεν". Εὐαγγέλιον β' ὑπὸ τοῦ δευτεραρίου τοῦ ἁγίου τάφου τῆς Θεοτόκου τῆς Γεθσημανῆς.

Ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου εὐαγγελίου,

(οὗ ἡ ἀρχή· "Καὶ ὅτε ἐγγίζουσιν εἰς Βηθφαγὴ καὶ Βηθανίαν πρὸς τὸ ὄρος τὸ καλούμενον Ἐλαιών". Τέλος· "εἰρήνη ἐν οὐρανῷ καὶ δόξα ἐν ὑψίστοις").

Καὶ ὁ διάκονος "Ἐλέησον ἡμᾶς". Καὶ εὐθὺς εὐχὴ ὑπὸ τοῦ δευτεραρίου τῆς ἁγίας Γεθσημανῆς.

«Κύριε ὁ Θεὸς ἡμῶν ὁ παντοκράτωρ, ὁ διὰ τῆς κιβωτοῦ τὸν τύπον τῆς ἐκκλησίας ὑποδείξας ἐπὶ τοῦ δικαίου καὶ θεράποντός σου Νῶε καὶ τὴν τοῦ ἁγίου πνεύματος παρουσίαν διὰ τῆς περιστερᾶς καταμηνύσας, τὸ κάρφος τῆς ἐλαίας φερούσης, τοῦτον τὸν τρόπον Ἑβραίων παῖδες ἐπλήρωσαν καὶ μετὰ κλάδων καὶ ἐλαιῶν καὶ βαΐων ὑπήντησάν σοι κράζοντες καὶ λέγοντες "ὡσαννὰ εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· ὡσαννὰ ἐν τοῖς ὑψίστοις". Ταύτην τὴν φωνὴν καὶ ἡμεῖς οἱ δοῦλοί σου κράζομεν καὶ λέγομεν "ὡσαννὰ εὐλογημένος ὁ ἐρχόμενος" κρῖναι δικαιοσύνην σὺν πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων».

Καὶ εὐθὺς λιτὴ ἐκ τὴν Γεθσημανῆν εἰς τὴν Προβατικήν.

Ἀλλ' ἡμεῖς νῦν λιτανεύομεν ἐκ τὴν ἁγίαν Γεθσημανῆν εἰς τὸ Ἱερόν, ἤγουν εἰς τὰ Ἅγια τῶν Ἁγίων, ψάλλοντες "Ὁ τοῖς Χερουβὶμ ἐποχούμενος". Εὐθὺς προκείμενον ἦχου δ'· "Ἐκ στόματος νηπίων καὶ θηλαζόντων". Στίχ. "Κύριε ὁ κύριος ἡμῶν". Εὐθὺς ὁ διάκονος "Σοφία"· ὁ πρωτοπαπᾶς τὸ εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην,

(οὗ ἡ ἀρχή· "Τῇ ἐπαύριον ὄχλος πολὺς ὁ ἐλθὼν εἰς τὴν ἑορτήν". Τέλος· "ὅτι ἤκουσαν τοῦτο αὐτὸ πεποιηκέναι τὸ σημεῖον".

Ὁ διάκονος "Ἐλέησον ἡμᾶς"· Εὐχὴ τρίτη λεγομένη ὑπὸ τοῦ πρωτοπαπᾶ.

Εὐχή.

«Κύριε ὁ Θεὸς ἡμῶν ὁ ἐπὶ θρόνου Χερουβὶμ ἐποχούμενος καὶ ὑπὸ τῶν Σεραφὶμ καὶ πασῶν τῶν νοερῶν δυνάμεων ὑμνούμενος, ἐπὶ τὸ πάθος δὲ ἐπειγόμενος, τὴν τῶν ἐθνῶν ἀλογίαν προτυπῶν πώλῳ ἐπέβης· ὅθεν καὶ οἱ παῖδες τῶν Ἑβραίων μετὰ βαΐων ὑπήντησαν κράζοντές σοι "εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου". Καὶ ἡμᾶς τοὺς κατὰ μίμησιν ἐκείνων βαΐα φοινίκων ἀραμένους καὶ ὡς νικητῇ τοῦ θανάτου προσφωνοῦντας σοι "εὐλογημένος ὁ ἐρχόμενος ἐπὶ τὸ πάθος τὸ ἑκούσιον", εὐλόγησον ἡμᾶς καὶ ἀκατακρίτως ἀξίωσον τῆς ὁλοφώτου ἀναστάσεως, εἰς δόξαν σὴν καὶ τοῦ ἀνάρχου σου πατρὸς καὶ ὁμοδυνάμου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων».

Καὶ εὐθὺς ἐξέρχονται ἀπὸ τὴν Προβατικὴν λιτ(ανεύοντες), ψαλλο(μένου τοῦ) "Ὁ τοῖς Χερουβίμ", μέχρις οὗ ἔλθωσιν εἰς τὴν βασιλικὴν πύλην τοῦ ἁγίου Κωνσταντίνου καὶ εἰσελεύσονται εἰς τὸν ναόν· καὶ οὕτω πάλιν λιτανεύουσιν ἕως τοῦ Ἁγίου Κρανίου εἰς τὸν Ἅγιον Κῆπον. Εἶθ' ὁ ψάλτης προκείμενον ἦχου δ'· "Εὐλογημένος ὁ ἐρχόμενος". Στίχ. "Ἐξομολογεῖσθε τῷ Κυρίῳ". Εἶθ' οὕτως προφητείας Ζαχαρίου τὸ ἀνάγνωσμα· "Τάδε λέγει Κύριος· χαῖρε σφόδρα". Ζητεῖ εἰς τὸν ἑσπερινόν. Καὶ ὁ διάκονος ἵσταται ἔμπροσθεν τοῦ Ἁγίου Κρανίου· πρὶν λέγ(ειν) τὸ εὐαγγέλιον, λέγει οὕτως· "Εἴπωμεν πάντες ἐκτενῶς". Καὶ ἀποκρίνεται ὁ λαὸς τὸ "Κύριε ἐλέησον". (Ὁ διάκονος)· «Κύριε ὁ

Θεὸς ἡμῶν, ὁ βασιλεὺς τῶν βασιλευόντων καὶ κύριος τῶν κυριευόντων, ὁ ἐπὶ τῶν Χερουβὶμ φοβερῶς ἐποχούμενος, ἐπὶ πώλου ὄνου καθήμενος, πρὸς τὸ ἑκούσιον πάθος παραγενόμενος, δεόμεθά σου, Κύριε· ἐπάκουσον καὶ ἐλέησον. — Χριστὲ ὁ Θεὸς ἡμῶν ὁ ὑπὸ οὐρανίων δυνάμεων φόβῳ προσκυνούμενος, ὑπὸ νηπίων ἀπειροκάκων πόθῳ νῦν εὐφημούμενος καὶ δοξαζόμενος, δεόμεθά σου, Κύριε· ἐπάκουσον καὶ ἐλέησον. — Χριστὲ ὁ Θεὸς ἡμῶν ὁ ἐπαγγειλάμενος διὰ στόματος τῶν σῶν προφητῶν "χαῖρε σφόδρα θύγατερ Σιών, κήρυσσε Ἱερουσαλήμ, εὐφραίνου καὶ τέρπου ἐξ ὅλης τῆς καρδίας σου· ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι δίκαιος καὶ σώζων αὐτοὺς πρᾶος καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον", δεόμεθά σου Κύριε. — Κύριε ὁ Θεὸς ἡμῶν ὁ τὴν οἰκονομίαν σου πληρῶν, ἐπιβὰς ἐπὶ πώλῳ νέῳ, πρὸς τὴν θυγατέρα Σιὼν παραγενάμενος καὶ τὴν ἐξ ἐθνῶν ἐκκλησίαν μνηστευσάμενος· περίελε, Κύριε, τὰ ἀδικήματα ἡμῶν καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ὑπεναντίων καὶ ἐχθρῶν ἡμῶν· δεόμεθα, Κύριε. — Κύριε ὁ Θεὸς ἡμῶν ὁ τὰς τῶν ψελλιζόντων γλώσσας τρανώσας καὶ ῥητορεύειν κατὰ τῆς τῶν γεννησάντων ἀπιστίας διδάξας· σῶσον ἡμᾶς, κύριε ὁ Θεὸς ἡμῶν τῇ δυνάμει σου, καὶ ἐπάγαγε ἐφ' ἡμᾶς εὐφροσύνην καὶ εἰρήνην καὶ ἀγαλλίασιν· καὶ ἐγκαίνισον ἐν ἡμῖν τὴν ἀγάπην σου καὶ εὐφρανον ἡμᾶς τέρψει κατὰ τὸ ῥῆμά σου, ὡς ἐν ἡμέρᾳ ἑορτῆς σου, δεόμεθα. — Κύριε ὁ Θεὸς ἡμῶν ὁ προσδεξάμενος τὰ αἰτήματα τῶν ἁγίων σου, πρόσδεξαι ἡμῶν τὴν δέησιν, Κύριε, βασιλεῦ αἰώνιε· καὶ ὡς προσεδέξω τῆς πόρνης τὰ δάκρυα καὶ τὸν ὕμνον τῶν θηλαζόντων νηπίων, ἃ σε ἐδόξαζον μετὰ βαΐων καὶ κλάδων κραυγάζοντα "ὡσαννὰ ἐν τοῖς ὑψίστοις, ὡσαννὰ τῷ υἱῷ Δαυίδ", δεόμεθα Κύριε καὶ ἐλέησον. — Κύριε ὁ Θεὸς ἡμῶν ὁ πλούσιος ἐν ἐλέει καὶ ἀγαθὸς ἐν οἰκτιρμοῖς, ἱκετεύομέν σε, πολυέλεε· ἀνάδειξον σωτηρίαν καὶ ἀντίληψιν τοῦ ἁγίου πατρὸς ἡμῶν, τοῦ πατριάρχου, παντὸς τοῦ κλήρου καὶ τοῦ φιλοχρίστου λαοῦ, καὶ κατευόδωσον αὐτὸν ἐν πάσαις ταῖς περιόδοις αὐτοῦ· χάρισαι αὐτὸν ταῖς αὐτοῦ ἐκκλησίαις, σῶσον ἔντιμον καὶ μακροημέρευσον αὐτὸν ἐν εἰρήνῃ εἰς πολλὰς ἐτῶν περιόδους. δεόμεθα. — Χριστὲ ὁ Θεὸς ἡμῶν, ὑπὲρ τῶν θεοστέπτων καὶ εὐσε-

βεστάτων αὐτοκρατόρων καὶ ὀρθοδόξων ἀνάκτων ἡμῶν, παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτῶν ἐκτενῶς δεόμεθα, ἵνα, Κύριε παντοκράτορ ἐπουράνιε, ὑποταξῃς αὐτοῖς πάντα τὰ πολέμια φῦλα καὶ βάρβαρα ἔθνη τὰ τοὺς πολέμους θέλοντα, δεόμεθα.—Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ·—Σῶσον ὁ Θεὸς τὸν λαόν καὶ εὐλόγησον».

Εὐθὺς ὁ δευτεράριος τοῦ ἁγίου Γολγοθᾶ λέγει τὸ εὐαγγέλιον·

Ἐκ τοῦ κατὰ Ματθαῖον

(οὗ ἡ ἀρχή· «Καὶ ὅτε ἤγγισαν εἰς Ἱεροσόλυμα καὶ ἦλθον εἰς Βηθφαγῆ πρὸς τὸ ὄρος τῶν Ἐλαιῶν, τότε ὁ Ἰησοῦς ἀπέστειλε δύο τῶν μαθητῶν» κτλ. Τέλος· «κατηρτίσω αἶνον, καὶ καταλιπὼν αὐτοὺς ἐξῆλθεν ἔξω τῆς πόλεως εἰς Βηθανίαν καὶ ηὐλίσθη ἐκεῖ». Ματθ. κα΄ 1—17).

Μετὰ δὲ τὸ πληρωθῆναι τὸ εὐαγγέλιον ἁρπάζει ὁ λαὸς τὸ δένδρον, τὴν Ἐλαίαν, ἔμπροσθεν τοῦ Ἁγίου Κρανίου, κατὰ μίμησιν τῆς σταυρώσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ εὐθὺς ὁ διάκονος (λέγει) τὴν ἐκτενήν, εἶτα ὁ πατριάρχης τὴν εὐχήν.

«Δέσποτα κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὑμνοῦμεν καὶ δοξολογοῦμέν σου τὴν ἄφατον συγκατάβασιν, ὅτι θρόνον ἔχων τὸν οὐρανὸν καὶ τὴν γῆν ὑποπόδιον κατηξίωσας τὴν ἡμετέραν φυσικῶς ἀμφιάσασθαι φύσιν, καὶ ἐπὶ τὸ πάθος ἤδη μολὼν τὸ ἑκούσιον, νικητὴν ταύτην καὶ τροπαιοῦχον καὶ πρὸ τῆς τοῦ θανάτου ἀναδεῖξαι γεύσεως, νεκρὸν ἐγείρας τὸν τετραήμερον Λάζαρον δυνάμει τῆς σῆς παντεφόρου θεότητος. Ὁ συγκάθεδρος ὢν τοῦ πατρὸς καὶ τοῦ ἁγίου πνεύματος, σήμερον ἐπέβης ἐπὶ πῶλον ὄνου ὑπὸ πλήθους μαθητῶν δορυφορούμενος καὶ ταῖς ἐκκλησίαις τῶν ἐθνῶν προσδοκώμενος. Σήμερον ὁ τὸν οὐράνιον πόλον περικρατῶν καὶ τοῖς Χερουβὶμ ἐποχούμενος καὶ ἐπαναπαυόμενος πώλῳ ὑποζυγίου ἐπιβῆναι καὶ ἐπαναπαυθῆναι καὶ ἀνθρωπίνως περιγραφῆναι καὶ εἰς Ἱερουσαλὴμ εἰσιέναι καταδεξάμενος, ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν, ὁδοποίησαι τῷ γένει τῶν ἀνθρώπων τὴν εἰς τὴν ἄνω Ἱερουσαλὴμ εἴσοδον καὶ κατάπαυσιν· σήμερον γὰρ τὰ τῶν νηπίων στόματα ἀναφανδὸν ἠνέωκται, καθὼς τῷ προφήτῃ προκεκήρυκται· "ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον" καὶ ἀτελευτήτοις στόμασιν ἐκέκραγον ἕτερος πρὸς τὸν ἕτε-

ρον "Ὡσαννὰ τῷ υἱῷ Δαυίδ", μεθ' ὧν καὶ τῶν Ἑβραίων τὰ πλήθη συνεξεβόων "εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου", ὅς ἐστι Χριστὸς ὁ Θεὸς ἡμῶν ὁ ἐπὶ τὸ ἑκούσιον πάθος ἑκουσίως ἐπειγόμενος καὶ τῆς σωτηρίας τῶν ἀνθρώπων προνοούμενος, ἵνα διὰ πάθους σταυροῦ τὴν τοῦ κόσμου ἁμαρτίαν ἐξιάσῃ. Ὅθεν ἡμεῖς πλησθέντες τῆς χάριτος τοῦ παναγίου πνεύματος κλάδους ἐλαιῶν καὶ βαΐα φοινίκων ἐν ταῖς χερσὶ κρατοῦντες τὸ "Ὡσαννὰ ἐν τοῖς ὑψίστοις" κραυγάζομεν· "εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου". Αὐτὸς καὶ νῦν, Κύριε, ὁ καταξιώσας ἡμᾶς τοὺς ἀναξίους δούλους σου καταντῆσαι ἐν τῇ ἁγίᾳ ταύτῃ ἡμέρᾳ, ἐν ᾗ ἑκουσίως παρεγένου ἐπὶ ὑποζυγίου εἰς Ἱερουσαλήμ, τὸν ὑπὲρ ἡμῶν ὑπομεῖναι σαρκὶ σταυρὸν ἀνασχόμενος—διὸ ἱκετεύομέν σου τὴν τοσαύτην περὶ ἡμᾶς ἄφατον ἀγαθότητα—πρόσδεξαι καὶ ἡμᾶς ὑπαντοῦντάς σοι ἐν ἐκτενείᾳ καὶ εὐφροσύνῃ πνευματικῇ, δωρούμενος τῶν ἡμαρτημένων ἡμῖν τὴν συγχώρησιν, ἵνα ἄξιοι γενώμεθα ἰδεῖν καὶ προσκυνῆσαι καὶ τὴν ἁγίαν ἡμέραν τοῦ πάθους τοῦ σωτηρίου, Κύριε, καὶ χορεύσωμεν πάντες καὶ εὐφρανθῶμεν καὶ ἀσπάσασθαι ἀκατακρίτως τὴν παναγίαν σου καὶ ἔνδοξον ἀνάστασιν, ὅτι ἡμεῖς ἐσμὲν λαός σου καὶ πρόβατα νομῆς σου καὶ σὲ μόνον γινώσκομεν καὶ σὲ λατρεύομεν καὶ προσκυνοῦμεν, τὸν μόνον καὶ ἀληθινὸν Θεὸν ἡμῶν. Ἐπίβλεψον ἐξ οὐρανοῦ καὶ σπλαγχνίσθητι, Κύριε, ἐπὶ τὸν λαόν σου καὶ τὴν κληρονομίαν σου, καὶ λύτρωσαι ἡμᾶς τοὺς ταπεινοὺς δούλους σου ἐκ τῶν ἐχθρῶν σου καὶ τοὺς δούλους σου τοὺς πιστοτάτους ἡμῶν βασιλεῖς. Σὺ νίκας αὐτοῖς δώρησαι· ὑπόταξον ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον, πρεσβείαις καὶ ἱκεσίαις τῆς παναγίας δεσποίνης ἡμῶν μητρός σου καὶ Θεοτόκου καὶ τῶν ἁγίων καὶ ἐπουρανίων σου δυνάμεων, τῶν ἐνδόξων σου ἀποστόλων προφητῶν καὶ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων, ὅτι πρέπει σοι πᾶσα δόξα τιμὴ καὶ προσκύνησις σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων». Καὶ ἀπόλυσις.

Εἰς τὴν λειτουργίαν ψάλλ(ε)τ(ε) τὴν τριτέκτην εἰς τὸ σκευοφυλάκιον.

Οἱ μακαρισμοί· ἦχος πλ. δ' πρὸς τὸ "Μνήσθητι ἡμῶν, Χριστὲ σῶτερ τοῦ κόσμου".

Χαίρετε λαοί, | θαρσεῖτε καὶ σκιρτᾶτε·
ἦλθεν γὰρ Χριστὸς | παθεῖν ὑπὲρ τοῦ κόσμου,
ἵνα τῆς τούτου ζωῆς | τύχωμεν πάντες,
τῆς ἀθανάτου ἀναστάσεως.

Λάβωμεν, πιστοί, | βαΐα μετὰ κλάδων·
πάντες τῷ Χριστῷ | πιστῶς συναντηθῶμεν
πρὸς τὸ ἑκούσιον πάθος | εὐαρεστοῦντες
καὶ ἐκβοῶμεν τὰς τῶν παίδων φωνάς.

Σοὶ τὸ Ὡσαννὰ | βοῶμεν τῷ σωτῆρι,
σοὶ τὴν τοῦ Δαυὶδ | φωνὴν ἀναβοῶμεν,
"εὐλογημένος εἶ", κράζοντες | μετὰ βαΐων
ὥσπερ οἱ παῖδες, "ὁ ἐρχόμενος".

Πάντων, Ἰησοῦ, | προσδέχου τὰς δεήσεις·
πάντας τῆς φαυδρᾶς | ἀξίωσον, οἰκτίρμων,
τῆς ἀναστάσεως, ψάλλοντάς σοι τὸν ὕμνον
"αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν".

Τριαδικόν.

Ἄναρχε τριάς, | ἀμέριστε οὐσία,
σύνθρονε μονάς, | ὁμότιμε τῇ φύσει,
ἡ ὑπεράρχιος μία καὶ βασιλεία,
σῴζε τοὺς σοὺς πίστει ἀνυμνοῦντάς σε.

Θεοτοκίον.

Χαῖρε ἀληθῶς, | χαρὰ τῆς σωτηρίας·
χαῖρε ἡ ἀμνὰς | ἀμνοῦ τοῦ ὑπὲρ πάντων
ζωοτυθέντος ἀμώμως, | ἄμωμε νύμφη,
δι' ἧς τὸ πάσχα προσκυνεῖται Χριστός.

Ἡ σύναξις τῆς λειτουργίας τοῦ ἁγίου Ἰακώβου γίνεται εἰς τὸν ναὸν τοῦ ἁγίου Κωνσταντίνου, ἐν ᾧ εὑρέθη ὁ τίμιος καὶ ζωοποιὸς σταυρὸς τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

4 ἦλθεν.—8 συναντιθῶμεν.—16 φαιδρᾶς—17 σοὶ.—21 μονὰς || φύσει.—23 σῴζε.—26 ἀμνὰς || ἀμνοῦ.—27 ζωοτυθέντος ἀμώμως.—29 σύναξης.

Στιχηρὸν εἰς τὴν ἁγίαν εἴσοδον.

Ἦχος πλάγιος β΄.

Σήμερον | ἡ χάρις τοῦ ἁγίου πνεύματος
ἡμᾶς συνήγαγεν | καὶ πάντες αἴροντες
τὸν σταυρόν σου λέγομεν·
"εὐλογημένος ὁ ἐρχόμενος | ἐν ὀνόματι Κυρίου·
ὡσαννὰ ἐν τοῖς ὑψίστοις".

Ψαλλόντ(ων) τοῦτο, εἰσοδ(εύει) ὁ πατριάρχης καὶ ὁ κλῆρος, καὶ οἱ ψάλται ἐπὶ τὸν ἄμβωνα λέγουσι τὰ ἀντίφωνα.

Ἀντίφωνον α΄· «Ἠγάπησα, ὅτι εἰσακούσεται Κύριος τῆς φωνῆς τῆς δεήσεώς μου».—«Ταῖς πρεσβείαις». Στίχ. «Ὅτι ἔκλινε τὸ οὖς αὐτοῦ ἐμοί, καὶ ἐν ταῖς». Στίχ. «Περιέσχον με ὠδῖνες θανάτου».

Ἀντίφωνον β΄· «Ἐπίστευσα διʼ ὃ ἐλάλησα».—«Σῶσον ἡμᾶς, υἱὲ Θεοῦ». Στίχ. «Ἐγὼ δὲ εἶπα ἐν»: Στίχ. «Τί ἀνταποδώσω»: Εἰς τὸ Δόξα· «Ὁ μονογενὴς υἱὸς καὶ λόγος».

Ἀντίφωνον γ΄· ἦχος δ΄· «Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθὸ»:—«Συνταφέντες σοι διὰ τοῦ βαπτίσματος». Στίχ. «Εἰπάτω δὴ οἶκος Ἰσραήλ, ὅτι». Στίχ. «Εἰπάτω δὴ οἶκος Ἀαρών». Εἰς τὴν εἴσοδον· «Εὐλογημένος ὁ ἐρχόμενος». Δόξα· ἦχος πλάγιος β΄· «Τῷ θρόνῳ ἐν οὐρανῷ αὐτῷ». Προκείμενον ἦχου δ΄· «Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι». Στίχ. «Ἐξομολογεῖσθε τῳ». Ὁ ἀπόστολος.

Πρὸς Φιλιππησίους ἐπιστολῆς Παύλου (τὸ ἀνάγνωσμα).

«Ἀδελφοί, χαίρετε ἐν Κυρίῳ πάντοτε· πάλιν ἐρῶ, χαίρετε. Τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν ἀνθρώποις. Ὁ Κύριος ἐγγύς. Μηδὲν μεριμνᾶτε, ἀλλʼ ἐν παντὶ τῇ προσευχῇ καὶ τῇ δεήσει μετὰ εὐχαριστίας τὰ αἰτήματα ὑμῶν γνωριζέσθω πρὸς τὸν Θεόν· καὶ ἡ εἰρήνη τοῦ Θεοῦ, ἡ ὑπερέχουσα πάντα νοῦν, φρουρήσει τὰς καρδίας ὑμῶν καὶ τὰ νοήματα ὑμῶν ἐν Χριστῷ Ἰησοῦ. Τὸ λοιπόν, ἀδελφοί, ὅσα ἐστὶν ἀληθῆ, ὅσα σεμνά, ὅσα δίκαια, ὅσα ἁγνά, ὅσα προσφιλῆ, ὅσα εὔφημα, εἴ τις ἀρετὴ καὶ εἴ τις ἔπαινος, ταῦτα λογίζεσθε. Ἃ καὶ ἐμάθετε καὶ παρελάβετε καὶ ἠκούσατε καὶ εἴδετε ἐν ἐμοί, ταῦτα πράσσετε· καὶ ὁ Θεὸς τῆς εἰρήνης ἔσται μεθʼ ὑμῶν».

5 λέγωμεν. — 10 ἠγάπησα. —24 ἐν τῶι επιεικὲς.—26 προσευχὴ || εὐχαριστείας.— 28 πάντωνοῦν. — 30 εἴ τις] κ. «ἥτις... ἥτις».— 31 λογίζεσθε || ἐμάθατε || ακούσατε. — 32 ἐνεμοί.

Ἀλληλούια· ἦχος πλάγιος δ΄. Στίχος α΄· «Κύριε ὁ κύριος ἡμῶν, ὡς θαυμαστόν». Στίχος β΄· «Ἐκ στόματος νηπίων καὶ θηλαζόντων». Καὶ ὁ ἀρχιδιάκονος τὸ εὐαγγέλιον.

Ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου εὐαγγελίου,

(οὗ ἡ ἀρχή· «Πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα ἦλθεν ὁ Ἰησοῦς εἰς Βηθανίαν» κτλ. Τέλος· «καὶ ἐπίστευον εἰς τὸν Ἰησοῦν». Κεφ. ιβ΄ 1—11).

Καὶ μετὰ τὸ εὐαγγέλιον ὁ διάκονος τὴν αἴτησιν, ψάλλοντες στιχηρὸν ἦχου πλαγίου β΄.

Πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα | ἦλθεν ὁ Ἰησοῦς εἰς Βηθανίαν
καὶ προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ | λέγοντες αὐτῷ·
"Κύριε, ποῦ θέλεις | "ἑτοιμάσωμέν σοι φαγεῖν τὸ πάσχα";
Ὁ δὲ ἀπέστειλεν αὐτούς·
"Ἀπέλθετε εἰς τὴν ἀπέναντι κώμην | καὶ εὑρήσετε ἄνθρωπον
κεράμιον ὕδατος βαστάζοντα.
ἀκολουθήσατε αὐτῷ | καὶ τῷ οἰκοδεσπότῃ εἴπατε·
Ὁ διδάσκαλος λέγει· | πρός σε ποιῶ τὸ πάσχα μετὰ τῶν μαθητῶν μου".

Στίχος· «Ἐκ στόματος νηπίων καὶ θηλαζόντων». Καὶ ἀντὶ τοῦ χερουβικοῦ ψάλλομεν στιχηρὸν ἦχου πλαγίου δ΄· «Ὁ τοῖς Χερουβὶμ ἐποχούμενος».

Εὐχὴ ὑπὸ τοῦ διακόνου λεγομένη καρπ(ο)φ(όρως?) εἰς τ(ὸ) ὑψῶσαι τὰ ἅγια τῇ Κυριακῇ τῶν βαΐων.

«Ὑπὲρ τῆς φαιδροτάτης καὶ λαμπροφόρου θεϊκῆς καὶ κοσμικῆς πανηγύρεως ταύτης ἡμεῖς οἱ φιλέορτοι καὶ χριστώνυμοι καὶ θεοσεβεῖς ἀσμένως πάντες εὐφημοῦντες Χριστὸν τὸν παμβασιλέα καὶ παντεπόπτην, τὸν ὑπὸ τῶν οὐρανίων δυνάμεων δοξαζόμενον, συμφώνως κράζωμεν μετὰ βαΐων καὶ κλάδων τὸ "ὡσαννὰ ἐν τοῖς ὑψίστοις· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· ὡσαννὰ τῷ υἱῷ Δαυίδ", πνευματικῶς εὐφραινόμενοι καὶ τῆς μεταλήψεως τῶν θείων καὶ ἀχράντων αὐτοῦ μυστηρίων ἀξίως μετέχοντες καὶ τὴν

9 πάσχα.—11 πάσχα. — 13 ἀπέλθατε. — 15 οἰκοδεσπότῃ. — 16 ποιῶ.—20 Ἡ εὐχὴ αὕτη εὕρηται ἐν τῷ κώδικι πλήρης μεταγενεστέρων διορθώσεων, ἐξ ὧν ἐγὼ οὐδὲ μίαν ἐνταῦθα σημειῶ· παρατίθημι δὲ μόνον τὸ κείμενον ὡς οἷόν τε σαφές, τὴν πρώτην ἐκείνου φυλάττων σύνταξιν. — 25 παντεπόπτην.

ἀδιάδοχον καὶ ἀσάλευτον αὐτοῦ βασιλείαν ἀφράστως προσδοκῶντες. Καὶ ὑπὲρ τοῦ ἁγιωτάτου καὶ θεοφυλάκτου ἡμετέρου πατριάρχου Νικολάου ἅμα καὶ τῶν παρόντων ἀρχιεπισκόπων καὶ ἐπισκόπων σὺν κληρικοῖς καὶ εὐλαβεστάτοις μοναχοῖς καὶ ὀρθοδόξοις λαϊκοῖς ἀνδράσι τε καὶ γυναιξὶν εὐημερίαν καὶ γαλήνην [αὐτοῖς χαρίζειν] δυσωποῦντες, καὶ ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφρουρήτων ἡμῶν βασιλέων κατὰ πάντων πολεμίων ἐχθρῶν κραταιοτάτους καὶ τροπαιούχους ἀναδειχθῆναι [αὐτοὺς δεηθῶμεν. Καὶ τοῖς] καρποφορίαν ἐν τῇ σήμερον ἡμέρα προσενηνοχόσι, φρούρησιν καὶ συγχώρησιν καὶ ζωῆς ἀιδίου ἐπιτυχεῖν, (τοῖς) ἀλήκτως ἐκτελοῦσι ταύτην τὴν ἑορτὴν [εὐξώμεθα. Καὶ ὑπὲρ] πάντων τῶν μεταστάντων καὶ προτελευτησάντων προπατόρων πατέρων τε καὶ ἀδελφῶν ἡμῶν, πατριαρχῶν τε ἐπισκόπων καὶ κληρικῶν ταύτης τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν πόλεως, φίλων τε καὶ συγγενῶν καὶ γνωστῶν ἀνδρῶν τε καὶ γυναικῶν, ἐν τόπῳ φωτεινῷ μετὰ ἁγίων καὶ δικαίων σκηνωθῆναι. Καὶ [ὑπὲρ] πάντων τῶν ἐν πάσῃ τῇ οἰκουμένῃ ζώντων τε καὶ νεκρῶν [καὶ πάντων χριστιανῶν ὀρθοδόξων εἴπωμεν πάντες ἐκτενῶς] τὸ Κύριε ἐλέησον».

Κοινωνικόν· «Αἰνεῖτε τὸν Κύριον».

Ἄλλο· ἦχος πλάγιος δ'· «Εὐλογημένος ὁ ἐρχόμενος | μετὰ τῆς δόξης | καὶ τῶν ἀγγέλων | μετὰ δυνάμεως καὶ σωτηρίας | τοῦ σῶσαι πᾶσαν τὴν οἰκουμένην. | Χριστὲ ὁ Θεὸς ἡμῶν, δόξα σοι».

Ἄλλο· "Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω".

Εὐθὺς μετὰ τὸ κοινωνεῖν τὸν λαὸν καταβαίνομεν εἰς τὸν ἅγιον Κωνσταντῖνον ἐπὶ τὴν Ἁγίαν Ἀνάστασιν, ποιοῦντες λιτὴν (καὶ) ψάλλοντες στιχηρὸν ἤχου πλαγίου δ'· «Σήμερον ἡ χάρις τοῦ»: Καὶ οὕτως εἰσελευσόμεθα ἡμεῖς οἱ κληρικοὶ εἰς τοῦ Κυρίου τὸν Τάφον κατὰ τάξιν, ἀρχόμενοι ἀπὸ τοὺς ἐσχάτους ἕως τοὺς πρώτους· καὶ οὕτως ἀποτ(ελειοῦμεν). Ποιοῦμεν δὲ οὕτω πάλιν

1 προσδοκῶντες. και τὸν ἁγιώτατον κτλ. --5 μετὰ τὸ «γαλήνην» ἄγραφον ὑπάρχει μέρος, ὃ τῷ «αὐτοῖς χαρίζειν» ἀνεπλήρωσα.—7 κ. «πάντα δεηθῶμεν πολεμίων» κτλ.— 9 καρποφορίας—10 επιτυχίαν— 11 εορτὴν πάντων κτλ.—12 προπατέρων. — 15 φωτινῷ.—19 κοινονικόν.—21 μεταδυνάμεως καὶ σωτηρίαν.— 24 καταβαίνωμεν.—28 ἐσχάτ(ους).

τῇ ἁγία ἡμέρα τοῦ πάσχα καθότι καὶ σήμερον· οἱ δὲ ψάλται ψάλλουσι τὸ κοντάκιον εἰς τὸν ἄμβωνα, ἕως οὗ ἐξέλθῃ ὁ κλῆρος ὅλος ἐκ τὸν Ἅγιον Τάφον.

Εὐχὴ τῆς ἀπολύσεως

«Δέσποτα Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ τὴν ἡμετέραν φυσικῶς τε καὶ ὑπερφυῶς ἀμφιασάμενος φύσιν καὶ ἐπὶ τὸ πάθος ἦλθε μολὼν τὸ ἑκούσιον, νικητὴν καὶ τροπαιοῦχον καὶ πρὸ τῆς τοῦ θανάτου ἀναδείξας γεύσεως, (ὁ τὸν) νεκρὸν ἐγείρας τετραήμερον Λάζαρον δυνάμει τῆς σῆς παντεφόρου θεότητος, ὁ τὸν οὐράνιον πόλον περικρατῶν καὶ τοῖς Χερουβὶμ ἐποχούμενος καὶ ἐπαναπαυόμενος, (ὁ) πῶλῳ ὑποζυγίου ἐπιβῆναι καὶ ἐπαναπαυθῆναι καταδεξάμενος σήμερον, ὁ παντοχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν, ὁδοποιήσας τε τῷ γένει τῶν ἀνθρώπων τὴν εἰς τὴν ἄνω Ἰερουσαλὴμ εἴσοδον καὶ κατάπαυσιν·—δι' ὃν σήμερον τὰ τῶν νηπίων στόματα ἀναφανδὸν ἠνέῳκται, καθὼς τὸ προφητικὸν κεκήρυκται "ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον"· ἀτελέσι γὰρ στόμασι κέκραγεν ἕτερος πρὸς τὸν ἕτερον "ὡσαννὰ τῷ υἱῷ Δαυίδ", μεθ' ὧν καὶ τῶν Ἑβραίων τὰ πλήθη συνεξεβόων "εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου", ὅς ἐστιν Χριστὸς ὁ Θεὸς ἡμῶν,— ὁ ἐπὶ τὸ ἑκούσιον πάθος ἐρχόμενος καὶ τῆς σωτηρίας τῶν ἀνθρώπων προνοούμενος, ἵνα διὰ πάθους σταυροῦ τὴν τοῦ κόσμου ἁμαρτίαν ἐξελάσῃ — ὅθεν καὶ ἡμεῖς πλησθέντες τῆς χάριτος τοῦ παναγίου πνεύματος κλάδους ἐλαιῶν καὶ βαΐα φοινίκων ἐν ταῖς χερσὶ κρατοῦντες τὸ "ὡσαννὰ ἐν τοῖς ὑψίστοις" κράζομεν· "εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου"—αὐτὸς καὶ νῦν, Κύριε, ὁ καταξιώσας ἡμᾶς τοὺς ἀναξίους δούλους σου καταντῆσαι ἐν τῇ ἁγία ταύτῃ ἡμέρᾳ, ἐν ᾗ ἑκουσίως παρεγένου εἰς Ἰερουσαλὴμ σταυρὸν ἀνασχόμενος (ἱκετεύομέν σου τὴν τοσαύτην περὶ ἡμᾶς ἄφατον ἀγαθότητα), πρόσδεξαι καὶ ἡμᾶς ὑπαντῶντάς σοι ἐν ἐκ-

1 πασχα.—6 ἀφιασάμενος || ἦλθε.—8 προσέθηκα «ὁ τὸν».—11 προσέθηκα τὸ «ὁ» || ὑπὸ ζυγίου || ἐπαναπαῆναι. — 15 καθῶς.—16 κατηρτήσω.—18 ἑβραίων || συνεξεβόων.— 23 ελαίων.—28 ἱκετεύωμεν.

τενεία καὶ εὐφροσύνῃ πνευματικῇ, δωρούμενος ἡμῖν τῶν ἁμαρτημάτων τὴν συγχώρησιν, ἵνα σοὶ τὴν δόξαν διὰ παντὸς ἀναπέμπωμεν σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων». Καὶ ἀπόλυσις.

ΤΗΙ ΚΥΡΙΑΚΗΙ ΕΣΠΕΡΑΣ ΤΩΝ ΒΑΪΩΝ.

Στιχηρὸν εἰς τὸ «Κύριε ἐκέκραξα»· ἦχος γ'. Ὀφείλ(ομεν) κρατ(εῖν) ἀπὸ ἐκ βάθ(ους).

Φοβερὸν τὸ ἐμπεσεῖν | εἰς χεῖρας Θεοῦ ζῶντος!
Οὗτος κριτής ἐστιν | ἐνθυμήσεων | καὶ ἐννοιῶν καρδίας·
μηδεὶς εἰσέλθῃ πειράζων | τὴν πίστιν τὴν ἀμώμητον·
ἀλλ' ἐν πραότητι καὶ φόβῳ | Χριστῷ προσέλθωμεν,
ἵνα λάβωμεν ἔλεος | καὶ χάριν εὕρωμεν | εἰς εὔκαιρον βοήθειαν.

Τοῦτο ὀφείλ(ομεν) λέγ(ειν) δεύτερον.

Ἄλλο· ἦχος βαρύς· «Ἐὰν ἀνομ':»

Συναγωγὴ | πονηρὰ καὶ μοιχαλίς,
ἡ τῷ ἰδίῳ ἀνδρὶ | μὴ φυλάξασα πίστιν,
τί κατέχεις διαθήκην, | ἧς οὐκ ἦς κληρονόμος;
τί καυχᾶσαι ἐν πατρί, | τὸν υἱὸν ἀτιμάσασα;
τοὺς προφήτας οὐκ ἐδέξω | τοὺς αὐτὸν καταγγείλαντας·
κἂν τὰ ἴδια τέκνα | αἰδέσθητι οὕτως βοῶντα·
"Ὡσαννὰ τῷ υἱῷ Δαυίδ·
εὐλογημένος ὁ ἐρχόμενος | ἐν ὀνόματι Κυρίου".

Ὅμοια.

Ἡ ἐξ ἐθνῶν | ἐκκλησία τοῦ Θεοῦ,
ἡ τῷ νυμφίῳ Χριστῷ | συναφθεῖσα τῇ πίστει,
σὺ ἐγένου διαθήκης | πατρικῆς κληρονόμος·
σὺ καυχᾶσαι ἐν πατρὶ | τὸν υἱὸν ἀγαπήσασα·

2 διαπαντὸς.—12 ἔλεον || εὑρωμεν.—14 ἐὰν.—15 πονηρᾶ καὶ μιχαλις.—16 ἰδίωι.—17 ἧς] εἰς.—19 οὐκεδέξω || αυτὸν] κ. «αὐτῶν», αἱ ἐκδ. «τὸν υἱόν» || ἡ ρωμ., ἐκδ. «καταγγέλλοντας».—20 ἴδια || αἰδέσθητι] κ. «ἐδέσθητι», αἱ ἐκδ. «αἰσχύνθητι».

τοῖς προφήταις συναγάλλου | τον υἱὸν καταγγείλασι·
καὶ τὰ ἴδια τέκνα | ὑπόδεξαι οὕτως βοῶντα·
"Ὡσαννὰ τῷ υἱῷ Δαυίδ·
εὐλογημένος ὁ ἐρχόμενος | ἐν ὀνόματι Κυρίου".

Οἱ τῷ Χριστῷ | ὑπαντήσαντες, πιστοί,
ἐπὶ τοῦ νέου λαοῦ | μυστικῶς καθημένῳ,
καθαρθῶμεν εὐσεβῶς, | ἐκτενῶς ἱκετεύοντες
ἀνυμνῆσαι τὰ πάθη, | τὸν σταυρὸν καὶ τὸν κάλαμον,
τήν τε λόγχην συν τῷ σπόγγῳ, | ἃ Χριστὸς καθυπέμεινεν
τὴν ἀνάστασιν προφθάσαι | ἐν χαρᾷ οὕτως βοῶντες·
"Ὁ παθὼν ἐν σταυρῷ, Χριστέ,
διὰ τὸ σῶσαι ὡς φιλάνθρωπος | τὸν κόσμον σου, δόξα σοι".

Εἰς τὸ Δόξα· ἦχος δ'.

Ὦ πονηρὰ συναγωγή, | ὦ παράνομε μοιχαλίς,
ἡ τῷ ἰδίῳ ἀνδρὶ | μὴ φυλάξασα συνείδησιν,
τί προσφέρεις διαθήκην, | ἣν οὐκ ἐκληρονόμησας;
τί καυχᾶσαι ἐν πατρὶ | τὸν υἱὸν ἀθετήσασα;
τοὺς προφήτας οὐκ ᾐδέσθης | τοὺς εἰς αὐτὸν πιστεύσαντας,
ἀποστόλων τε παρήκουσας | τοὺς αὐτῷ μαθητεύσαντας.
Ὦ πονηρὰ συναγωγή, | ὦ παράνομε μοιχαλίς,
καὶ τὰ ἴδια τέκνα αἰσχύνθητι | οὕτως κραυγάζοντα·
"Ὡσαννὰ ἐν τοῖς ὑψίστοις, | ὡσαννὰ τῷ υἱῷ Δαυίδ·
εὐλογημένος ὁ ἐρχόμενος | ἐν ὀνόματι Κυρίου".

Εἶτα τὸ «Φῶς ἱλαρόν». Προκείμενον ἦχος βαρύς· «Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ, ὁ ποιῶν θαυμάσια μόνος, καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης αὐτοῦ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος». Στίχος· «Ἀναλαβέτωσαν τὰ ὄρη· εἰρήνη τῷ λαῷ καὶ οἱ βουνοὶ δικαιοσύνην». Εὐθὺς τὸ «Καταξίωσον Κύριε», καὶ μετὰ τοῦτο ψάλλουσι στιχηρὰ ἦχου πλαγίου δ', πρὸς τὸ «Ὁ ἐν Ἐδὲμ παράδεισος».

Τὸ ζωηφόρον πάθος τοῦ Χριστοῦ | ἀρχὴν ἄρτι λαμβάνει·
ὑπαντήσωμεν προθύμως οἱ λαοί· | καὶ γὰρ μετὰ τὴν ἑορτὴν

1 καταγγείλαντας.— 2 ἴδια. —6 καθημένω. — 9 καθυπέμεινεν. — 10 προφθᾶσαι || βοῶντας—11 παθὼν.—14 ὦ πονηρὰ || ὦι || μηχαλίς.—15 ἰδίωι || συνήδεισιν.—16 οὐκεκληρονόμησας.—19 αὐτὸν.—20 ὦ πονηρὰ || ὦι || μηχαλίς. 21 ἴδια.—23 μετὰ τὸ «Κυρίου» ὁ κῶδιξ προστίθησι «σωτῆρος ἡμῶν». - 25 ποιῶν. — 30 ενεδεμ. πά.— 31 λαμβάνη.

τῶν Ἱεροσολύμων | ἑτοιμάζουσιν Ἑβραῖοι τὸν σταυρόν
καὶ εἰς κριτήριον ἔρχεται | ὁ κριτὴς πάντων καὶ Θεός,
καὶ κατακρίνεται θάνατον | ὁ τῆς ζωῆς δημιουργός.
Ὦ ἀγαθότητος | τῆς ἀφάτου σου, Σωτήρ, | ὅτι ἑκὼν
ὑπήγαγες ὑπὲρ τοῦ κόσμου | ἀθανατίζων πάλιν τὸν Ἀδάμ.
Ἀλλ' ἀξίωσον ἡμᾶς | καὶ προσκυνῆσαι τῇ ἀναστάσει σου.

Ὅμοια.

Στίχ. «Ἵνα τί ἐφρύαξαν ἔθνη καὶ λαοὶ ἐμελέτησαν».

Τῶν μαθητῶν Ἰούδας ὁ σκαιὸς | τοὺς δόλους νῦν συρραπτων
μελετᾷ τῆς προδοσίας τὸν καιρόν· | φιλαργυρία γὰρ ἀλοὺς
ἀπιστίας νοσήματι | κατεπείγεται πιπράσαι σε, Χριστέ.
Τίς μὴ θρηνήσει τὸν ἄθλιον | ἀποστερούμενον φωτός;
τίς μὴ στενάξει ὁρῶν αὐτὸν | κινούμενον προδοτικῶς;
Οὗ τῆς πωρώσεως | ἀπολύτρωσαι ἡμᾶς ὡς ἀγαθός,
καὶ ἀξίωσον θείως | τοῖς ἡγουμένοις πείθεσθαι ἡμῖν,
ἵνα τύχωμεν ἐκεῖ | τῆς βασιλείας σου Κύριε.

Στίχ. «Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς καὶ».

Ὑπὲρ ἡμῶν Χριστῷ τῷ λυτρωτῇ | παθεῖν κατεπείγοντι
συναπίωμεν προθέσει ψυχικῇ | καὶ τὰ ἄτιμα αὐτοῦ
ὑπενέγκωμεν παθήματα, | ἐμπαιγμοὺς κολαφισμοὺς καὶ ὕβρισμούς,
καὶ καθ' ἡμέραν τοῖς πάθεσιν | συσταυρωθῶμεν, ἀδελφοί,
καὶ καθ' ἑκάστην τοῖς πράγμασιν | συναποθάνωμεν αὐτῷ,
ὥσπερ λογχεύματα | εἰσδεχόμενοι τὸν λόγον, τὰς πληγάς,
καὶ ὡς χολὴν μετὰ ὄξους | τὰ θλιβερὰ τῶν ὑπὲρ ἐντολῆς,
ἵνα συμμετασχῶμεν | τῆς οὐρανίου βασιλείου αὐτοῦ.

Εἰς τὸ Δόξα ἦχος β'.

Ἐκ βαΐων καὶ κλάδων | ὡς ἐκ θείας ἑορτῆς
εἰς θείαν μεταβάντες ἑορτήν, | πρὸς σεβασμίαν
τῶν Χριστοῦ παθημάτων, | πιστοί, συνδράμωμεν
τελετὴν σωτήριον, | καὶ τοῦτον ὑπὲρ ἡμῶν
πάθος ὑφιστάμενον | κατοπτεύσωμεν ἑκούσιον
καὶ τὴν ψυχὴν αὐτοῦ λύτρον | παρεχόμενον παγκόσμιον·

1 ἑβραῖοι.—4 ὦ.—6 ἀλλαξίωσον.—9 ἰούδας ‖ συράπτων.—10 ἀλλοὺς.—11 ἀπιστείας ‖ πιπράσσε.—12 ἀποστρούμενον.—15 ἡγουμένοις.—19 συναπείωμεν.—20 ὑπενεγκώμεν.—21 καθήμέραν.—22 καθέκάστην.—24 θλιβερά.—25 συμμετασχῶμεν.—31 καθοπτεύσωμεν ἑκούσιον.

αὐτῷ δὲ τὸν ὕμνον | εὐχαριστοῦντες ἀναμέλψωμεν,
ἁρμόδιον κράζοντες | "ἡ τῆς εὐσπλαγχνίας πηγὴ
καὶ τῆς σωτηρίας λιμήν, | Κύριε, δόξα σοι".

Καὶ εὐθὺς ὁ διάκονος συνάπτει, καὶ οὕτως ἐξελθόντες εἰς τὸ Ἅγιον Κρανίον ποιῶμεν λιτ(ήν), ψάλλοντες στιχηρὰ ἤχου πλαγίου β'.

Σήμερον | ἡ χάρις τοῦ ἁγίου πνεύματος ἡμᾶς συνήγαγεν,
καὶ πάντες αἴροντες τὸν σταυρόν σου λέγομεν
"εὐλογημένος ὁ ἐρχόμενος | ἐν ὀνόματι Κυρίου·
"ὡσαννὰ ἐν τοῖς ὑψίστοις".

Στίχ. «Εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσί μοι εἰς οἶκον Κυρίου πορευι».

Ἦχος β'.

Εἰσερχομένου σου, Κύριε, | εἰς τὴν ἁγίαν πόλιν
ἐπὶ πώλου καθήμενος | ἔσπευδες ἐλθεῖν ἐπὶ τὸ πάθος,
ἵνα πληρώσῃς νόμον καὶ προφήτας· | οἱ δὲ παῖδες τῶν Ἑβραίων
τῆς ἀναστάσεως τὴν νίκην προμηνύοντες | ὑπήντων σοι
μετὰ κλάδων καὶ βαΐων, λέγοντες
"εὐλογημένος εἶ, Σωτήρ· | ἐλέησον ἡμᾶς".

Εἰς τὸ Δόξα ἦχος β'.

Ἀναζητῆσαι θέλων | τὴν πεσοῦσαν εἰκόνα
τοῦ Ἀδὰμ ὁ Χριστός μου, | ἀῤῥήτῳ εὐσπλαγνίᾳ
ἐκὼν ἀμφιέννυται | καὶ σαρκοῦται καὶ τίκτεται
ἐκ κόρης ἀπειράνδρου, | σταυρόν τε καὶ μάστιγας
καὶ θάνατον ὁ κτίστης | ὑποφέρει δι' ἐμέ,
καὶ αὐτοῦ τὴν εἰκόνα ἀνιστορῶν
προσκυνῶ καὶ σέβομαι | καὶ ταύτην ἀσπάζομαι,
ὡς αὐτὸν τὸν κτίστην ὁρῶν ἐν τῇ εἰκόνι.

Εὐθὺς «Νῦν ἀπολύεις τὸν δοῦλόν σου».

Κάθισμα ἀπολυτίκιον· ἦχος δ'.

Συνταφέντες σοι διὰ τοῦ βαπτίσματος, Χριστὲ ὁ Θεὸς ἡμῶν,
τῆς ἀθανάτου ζωῆς ἠξιώθημεν τῇ ἀναστάσει σου,
καὶ ἀνυμνοῦντες κράζομεν· | "ὡσαννὰ ἐν τοῖς ὑψίστοις·
"εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου".

Καὶ ὁ διάκονος τὴν αἴτησιν, καὶ ὁ ἱερεὺς τὴν εὐχὴν καὶ ἀπολύει.

2 αἱ ἐκδ. «ἀνακράζοντες» || πηγῆ. — 8 ὁ ἐρχόμενος] ἐλλείπει τῷ κώδικι. — 15 προμενύοντες. — 19 ἀναζητήσαι. — 21 ἀμφιέννυται. — 23 ὁ || διεμέ. — 25 σέβομαι] σέβομεν. — 33 αἴτη(σιν).

† ΣΥΝ ΘΕΩΙ ΑΚΟΛΟΥΘΙΑ ΤΗΣ ΜΕΓΑΛΗΣ ΕΒΔΟΜΑΔΟΣ.

Τῇ ἁγίᾳ καὶ μεγάλῃ Δευτέρᾳ.

Εἰς τὸ "ἀλληλούια" κάθισμα ἦχου πλαγίου δ'· ψάλλεται δὲ καὶ εἰς τὴν Τρίτην καὶ τῇ Τετάρτῃ τὸ αὐτὸ τροπάριον.

Ἦχος πλάγιος δ'.

Ἰδοὺ ὁ νυμφίος ἔρχεται | ἐν τῷ μέσῳ τῆς νυκτός,
καὶ μακάριος ὁ δοῦλος, | ὃν εὑρήσει γρηγοροῦντα·
ἀνάξιος δὲ πάλιν, | ὃν εὑρήσει ῥαθυμοῦντα.
Βλέπε οὖν, ψυχή μου, | μὴ τῷ ὕπνῳ κατενεχθῇς,
ἵνα μὴ τῷ θανάτῳ παραδοθῇς | καὶ τῆς βασιλείας ἀποκλεισθῇς·
ἀλλὰ ἀνάνηψον κράζουσα | "Ἅγιος ἅγιος ἅγιος εἶ ὁ Θεός·
διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς".

Τὸ αὐτὸ καὶ εἰς τὸ Δόξα καὶ νῦν:—Δέον γινώσκειν, ὅτι ἡ στιχολογία οὕτω γίνεται εἰς τὸν ὄρθρον β', καὶ ἡ α' ὥρα οὐ στιχολο(γεῖται) οὐδὲ τῇ θ', εἰ μὴ τῇ γ' ὥρα καὶ τῇ ς'. Στιχολογοῦμεν δὲ καθημέραν εἰς τ(ὸ) "Ἑσπέρας τὸ προκεί(μενον)" καὶ τῇ ἁγία καὶ μεγάλῃ ε' εἰς τὸν ὄρθρον κάθισμα α' καὶ εἰς τὰς ὥρας β', καὶ οὕτω πληροῦ(ται) τὸ Ψαλτ(ήριον). Καὶ ἀπὸ τότε στιχολογία οὐ γίνεται, εἰ μὴ τῷ μεγάλῳ Σαββάτῳ διὰ τὴν ἀγρυπνίαν. Καὶ πάλιν ἕτε(ρος) τύπ(ος)· ψάλλου(σι) καθ(ίσ)ματ(α) τρία εἰς τὸν ὄρθρον καθ' ἡμέραν καὶ ἡ τριτέκτη ἄλλα β', καὶ πληροῦται τὸ Ψαλτ(ήριον) εἰς τὴν με(γάλην) δ' εἰς τὴν τριτέκτην. Τῇ μεγάλῃ β' στιχολογ(ία) "Πρὸς σέ, Κύριε, ἦρα τὴν ψυχήν".

Κάθισμα ἦχου α' πρὸς τὸ "Χορὸς ἀγγελικός".

Λόρατε κριτά, | ἐν σαρκὶ καθωράθης
καὶ ἔρχῃ ὑπ' ἀνδρῶν | παρανόμων κριθῆναι,
ἡμῶν τὸ κατάκριμα | κατακρίνων τῷ πάθει σου·
ὅθεν αἴνεσιν | μεγαλωσύνην καὶ δόξαν
ἀνυμνοῦντές σου | τὴν ἐξουσίαν, οἰκτίρμων,
συμφώνως προσφέρομεν.

6 ἰδού. — 8 ἀνάξιον. — 9 κατενεχθεὶς. — 10 παραδοθεὶς || ἀποκλησθεὶς. — 16 προκειμενον] προκ. — 24 ἀγγελικῶς. — 26 ὑπανδρῶν. — 29 ἀνυμνοῦντες] οὕτως ἔχει ὁ κῶδ. ξ, συμφωνων τῇ ρωμαϊκῇ ἐκδόσει· ἡ δὲ ἑνετικὴ ἔχει «ἀναπέμποντες» || σου] ἡ ρωμ. ἐκδ. «σε» || αἱ ἐκδ. «τῇ ἐξουσία σου, λόγε».

Εἰς τὸ Δόξα. Ὅμοιον.

Τὰ πάθη τὰ σεπτὰ | ἡ παροῦσα ἡμέρα
ὡς φῶτα σωστικὰ | ἀνατέλλει τῷ κόσμῳ·
Χριστὸς γὰρ ἐπείγεται | τοῦ παθεῖν ἀγαθότητι·
ὁ τὰ σύμπαντα | ἐν τῇ δρακὶ περιέχων
καταδέχεται | ἀναρτηθῆναι ἐν ξύλῳ
τοῦ σῶσαι τὰ σύμπαντα.

Εὐθὺς ἀνά(γνωσμα) τοῦ παγκάλου Ἰωσήφ. Στιχολογία· "Ἀγαλλιᾶσθε δίκαιοι".

Κάθισμα· ἦχος πλ. δ', πρὸς τὸ "Τὴν σοφίαν τοῦ Λόγου".

Τῶν παθῶν τοῦ Κυρίου | τὰς ἀπαρχὰς
ἡ παροῦσα ἡμέρα | λαμπροφορεῖ.
Δεῦτε οὖν, φιλέορτοι, | ὑπαντήσωμεν ἅσμασιν·
ὁ γὰρ κτίστης ἔρχεται | σταυρὸν καταδέξασθαι
ἑτασμοὺς καὶ μάστιγας, | Πιλάτῳ κρινόμενος·
ὅθεν καὶ ἐκ δούλου | ραπισθεὶς ἐπὶ κόρρης
πάντα ὑπέμεινεν, | ἵνα σώσῃ τὸν ἄνθρωπον.
Διὰ τοῦτο βοῶμεν αὐτῷ | "φιλάνθρωπε Χριστὲ ὁ Θεός,
τῶν πταισμάτων ἄφεσιν δώρησαι
τοῖς ἑορτάζουσι πίστει | τὸ ἄχραντον πάθος σου".

Εἰς τὸ Δόξα ἦχος πλ. δ'· ἰδιόμελον.

Ὁ ἐν σοὶ σκηνώσας, | Θεοτόκε, Λόγος καὶ Θεὸς
εἷς ἐστιν υἱός, | κἂν προσελάβετο σάρκα·
οὐσίᾳ, οὐ φαντασίᾳ, | εὐδοκήσει, οὐ δοκήσει
ἐσαρκώθη ἐκ σοῦ, | ὡς οἶδεν αὐτός·
αὐτοῦ τὰ θαυμάσια, | αὐτοῦ καὶ τὰ παθήματα·
οὐ γὰρ ἄλλος καὶ ἄλλος, | ἀλλ' εἷς ὁ Χριστός,
πάσχων μὲν ὡς ἄνθρωπος, | ἀπαθὴς δὲ ὡς Θεός·
ἑκατέρα δὲ μορφῇ ἐνήργησεν | μετὰ τῆς θατέρου κοινωνίας·
διό σε ὕμνοις, ἄχραντε, μακαρίζομεν.

Εὐθὺς ἀνάγ(νωσμα)· στιχολογία· "Κύριε μὴ τῷ θυμῷ σου".

4 ἐπήγεται. — 7 τὰ σύμπαντα] αἱ ἐκδ. «τὸν ἄνθρωπον». — 10 αἱ ἐκδ. «καὶ Λόγον».—12 λαμπροφορεῖ.—16 ἐπικόρης.— 17 πάντα ὑπέμεινεν] αἱ ἐκδ. «τὰ πάντα προσίεται» | σώσει.—18 διατούτω || βοῶμεν αὐτῷ] αἱ ἐκδ. «βοήσωμεν». — 19 αἱ ἐκδ. «δώρησαι τὴν ἄφεσιν». — 20 ἑορτάζουσι] αἱ ἐκδ. «προσκυνοῦσιν ἐν πίστει τὰ ἄχραντα πάθη σου».—23 κἂν.—30 μακαρίζωμεν.

Κάθισμα· ἦχος πλ. δ', πρὸς τὸ "Ἀνέστης ἐκ νε(κρῶν)".

Ἐπέστη ὁ καιρὸς | νῦν, Χριστέ μου, τοῦ πάθους σου
καὶ πάντες ἐν νυκτὶ | τῇ παρούσῃ ὑμνοῦμέν σε·
λάμψε σου τὴν ἐξ ὕψους | αἰτοῦμεν χάριν
καὶ θείαν δύναμιν, | ὅπως σε ἀνυστάκτως,
καθὼς οἰκέται | πιστοὶ προσνέμοντες
τῆς σῆς τροφῆς καὶ δόξης, | ἀγαθέ, ἐπάξιοι γενώμεθα.

Εἰς τὸ Δόξα.

Ἐκ πάσης ἀπειλῆς | καὶ κακίας ἀνθρώπων
διάσωσον ἡμᾶς, | παναγία παρθένε·
σὲ γὰρ ἔχομεν | σκέπην καὶ προστασίαν
οἱ καταφεύγοντες ἐπὶ σοί, | Θεομῆτορ,
καὶ τὸν τεχθέντα ἐκ σοῦ Θεὸν ἡμῶν,
ὃν ἐκδυσώπει ῥύσασθαι ἡμᾶς
κινδύνων καὶ θλίψεων.

Καὶ ἀνάγ(νωσμα)· καὶ εὐθὺς τὸ "Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεος".

Τροπ(άρια) ψαλλόμ(ενα) εἰς τὸν ν' (ψαλμόν).

Ἦχος πλ. β' πρὸς τὸ "Ἡμάρτομεν".

Ἐπίστρεψον, μετανόησον,
ἀνακάλυψον τὰ κεκρυμμένα·
λέγε Θεῷ τῷ πάντα εἰδότι
"σὺ γινώσκεις μου | τὰ κρύφια μόνε Σωτήρ·
ἀλλ' αὐτός με ἐλέησον, ὡς ψάλλει Δαυίδ,
κατὰ τὸ ἔλεός σου".

Ὅμοιον.

Αἰνοῦμέν σε, εὐλογοῦμέν σε,
προσκυνοῦμέν σε, Θεογεννῆτορ,
ὅτι τῆς ἀχωρίστου τριάδος
ἀπεκύησας | τὸν ἕνα Χριστὸν τὸν Θεὸν
καὶ αὐτῇ προανέωξας ἡμῖν τοῖς ἐν γῇ
τὰ ἐπουράνια.

Καὶ εὐθὺς τὸ τριῴδιον, φέρον ἀκροστιχίδα "Τῇ Δευτέρᾳ".

2 πάθουσου.—6 καθὼς.—11 ἔχωμεν.—12 θεομήτωρ.—14 ἐκδυσώπη.—27 ὑαινοῦμεν.—28 θεογεννήτορ.—33 τῶι τριῳδ(ιον).

Ὠδὴ α΄. Ἦχος β΄.

Τῷ τὴν ἄβατον | κυμαινομένην θάλασσαν
θείῳ αὐτοῦ προστάγματι | ἀναξηράναντι
καὶ πεζεῦσαι δι' αὐτῆς | τὸν Ἰσραηλίτην λαὸν
καθοδηγήσαντι | Κυρίῳ ἀσωμεν·
ἐνδόξως γὰρ δεδόξασται.

Ἡ ἀπόρρητος | Θεοῦ κατάβασις,
ὅπερ Χριστὸς αὐτός ἐστιν, | Θεὸς καὶ ἄνθρωπος
τῷ Θεῷ οὐχ ἁρπαγμὸν | εἶναι ἡγησάμενος
ἐν τῷ μορφοῦσθαι δοῦλον | δεικνύει τοῖς μαθηταῖς·
ἐνδόξως γὰρ δεδόξασται.

Διακονῆσαι | αὐτὸς ἐλήλυθα,
οὗ τὴν μορφὴν ὁ πλαστουργὸς | ἐκὼν περίκειμαι,
τῷ πτωχεύσαντι Ἀδὰμ | ὁ πλουτῶν θεότητι,
θήσων ἐμὴν ἑαυτοῦ | ψυχὴν ἀντίλυτρον
ὁ ἀπαθὴς θεότητι.

(Καταβασία) Τῷ τὴν ἄβατον".

Κοντάκιον· ἦχος α΄ πρὸς τὸ "Ὁ μήτραν παρθενικὴν ἁγιάσας"

Τὰ πάθη μυστικὰ | τοὺς ὑμνοῦντάς σε, δέσποτα,
φωτί σου τῷ ὑπὲρ νοῦν | ἡγίασας ὡς εὔσπλαγχνος·
παντοίων παθῶν λύτρωσαι ἡμᾶς, | Χριστὲ ὁ Θεός,
καὶ τῇ θεία σου δυναστείᾳ σκέπων, δέσποτα,
τῆς ἀχράντου σου βασιλείας | καταξίωσον
ὁ μόνος φιλάνθρωπος.

Ὁ οἶκος.

Ἀπεριγράπτως | τῇ θεότητι
ὁ ἀγώρητος | πανταχοῦ | καὶ ἀπρόσιτος,
ὁ ἀπαθὴς τῇ θεότητι, | ἔρχεται παθεῖν
καὶ ὑπομεῖναι ὡς ἄνθρωπος,
καὶ παθών, θέλων ῥύσασθαι
σπεύδει νῦν πρὸς ἑκούσιον σφαγὴν ὁ μακρόθυμος,
καὶ ἐβόα μαθηταῖς αὐτοῦ

2 κυμενομένην—3 αὐτοῦ.—4 πεζεύσας διαυτῆς. — 7 ἐλλείπει τω κώδικι τὸ «Λόγου»· παράβαλε τὸν πρῶτον στίχον τοῦ ἑπομένου τροπαρίου.—9 ἡγησάμενος.—13 μορφήν] κ. «μόρφωσιν». — 15 «θήσω» κατὰ τὴν ρωμ. ἐκδοσιν· ὁ κῶδιξ ἐχει «θήσον»· ἡ ἑνετικὴ ἔκδοσις «θεῖναι» || ἑνετ. ἐκδ. «ἐμὴν τε αὐτοῦ».—19 αἱ ἐκδ. «μυστικῶς». — 20 τω] το.—22 σκέπον.—31 σπεύδη || σφαγεῖν.—32 αὐτοῦ.

*

"Ἰδοὺ ἀνόμων | χερσὶν προθύμως
προδίδομαι καὶ θνήσκω·
τὴν ψυχὴν γὰρ ἐξουσίαν | τοῦ λαβεῖν καὶ θεῖναι
ἔχω· ταύτην ὑπὲρ πάντων
ἑτοίμως προσάγω χερσὶν πατρὸς
καὶ τίθημι πρὸς λύτρον | καὶ ἄφεσιν
τῶν πόθῳ τιμώντων με
α α
ν ν "ὁ μόνος φιλάνθρωπος".

Ὠδὴ η'.

Ἔφριξε | παίδων εὐαγῶν
τὸ ὁμόστολον ψυχῆς ἄσπιλον σῶμα
καὶ εἶξε τὸ τραφὲν | ἐν ἀπείρῳ ὕλῃ ἀκάματον πῦρ·
ἀειζώου δὲ | ἐκμαρανθείσης φλογός,
διαιωνίζων ὕμνος ἀνεμέλπετο·
"τὸν Κύριον πάντα τὰ ἔργα ὑμνεῖτε
καὶ ὑπερυψοῦτε | εἰς πάντας τοὺς αἰῶνας".

"Ὑμᾶς μου | τότε μαθητὰς
πάντες γνώσονται, εἰ τὰς ἐμὰς ἐντολὰς
τηρήσετε", φησίν, | ὁ Σωτὴρ τοῖς φίλοις πρὸς πάθος μολῶν·
"εἰρηνεύετε | ἐν ἑαυτοῖς καὶ πᾶσιν,
καὶ ταπεινὰ φρονοῦντες ἀνυψώθητε
καὶ κύριον γινώσκοντές με ὑμνεῖτε
καὶ ὑπερυψοῦτε | εἰς πάντας τοὺς αἰῶνας.

Τάξεως | ἔμπαλιν ὑμῖν
ἐθνικῆς ἔστω τὸ κράτος ὁμογενῶν·
οὐ κλῆρος γὰρ ἐμός, | τυραννὶς δὲ γνώμη αὐθαίρετος·
ὁ οὖν πρόκριτος | ἐν ὑμῖν εἶναι θέλων
τῶν ἄλλων ἔστω πάντων ἐσχατώτερος,
καὶ κύριον γινώσκοντές με ὑμνεῖτε
καὶ ὑπερυψοῦτε | εἰς πάντας τοὺς αἰῶνας".

Θέσις· "Τῷ δόγματι τῷ":—Καὶ εὐθὺς κονδάκιον· ἦχος πλάγιος δ' πρὸς τὸ "Ὡς ἀπαρχὰς τῆς φύσεως".

1 ἰδοὺ. — 2 προδίδωμι. — 3 θῆναι. — 6 τίθημι. — 7 τιμόντων. — 11 ἄσπηλον. — 12 ἠξετοτραφὲν || ἀκαύματον. — 13 ἐκμαρανθήσης. — 14 διαιωνίζον. — 19 τηρήσεται. — 24 ἐμπαλλινυμῖν. — 25 ἐθνηκῆς. — 28 ἐσχατότερος. — 29 ὑμνεῖ. — 31 θέσης. — 32 ἀπαρχὰς.

Ὁ Ἰακὼβ ὠδύρετο | τοῦ Ἰωσὴφ τὴν στέρησιν,
καὶ ὁ γενναῖος ἐκάθητο | ὡς βασιλεὺς τιμώμενος·
τῆς Αἰγυπτίας γὰρ τότε | ταῖς ἡδοναῖς μὴ δουλεύσας
ἐδοξάζετο | παρὰ τοῦ βλέποντος | τὰς τῶν ἀνθρώπων καρδίας
καὶ πέμποντος | στέφος ἄφθαρτον.

Ὁ οἶκος.

Ἐπὶ τὸν ὁδυρμὸν νῦν προσθήσωμεν | ὁδυρμὸν | καὶ ἐκχέωμεν δάκρυα,
μετὰ τοῦ Ἰακὼβ συγκοπτόμενοι | Ἰωσὴφ τὸν ἀοίδιμον σώφρονα
τὸν δουλωθέντα μὲν τῷ σώματι, | τὴν ψυχὴν δὲ ἀδούλωτον κεκτημένον
κ' Αἰγύπτου παντὸς βασιλεύσαντα· | ὁ Θεὸς γὰρ παρέχει τοῖς φίλοις αὐτοῦ
ἀ ἀ
Ν Ν στέφος ἄφθαρτον.

Ὠδὴ θ'.

Ἐμεγάλυνας, Χριστέ, | τὴν τεκοῦσάν σε Θεοτόκον,
ἀφ' ἧς ὁ πλάστης ἡμῶν | ὁμοιοπαθὲς περιέθου σῶμα,
τὸ τῶν ἡμετέρων | λυτήριον ἀγνοημάτων·
ταύτην μακαρίζοντες | πᾶσαι γενεαὶ σὲ μεγαλύνομεν.

"Ῥύπον πάντα ἐμπαθῆ | ἀπωσάμενοι, ἐπαξίαν
τῆς θείας βασιλείας | γνώμην ἀναλάβετε ἔμφρονα"
τοῖς σοῖς ἀποστόλοις προέφης | ἡ ὄντως σοφία τοῦ Θεοῦ,
"ἐν ᾗ δοξασθήσεσθε, | λάμποντες ἡλίου τηλαυγέστερον".

"Ἀφορῶντες εἰς ἐμέ", | εἶπας Κύριε τοῖς μαθηταῖς,
"μὴ φρονεῖτε ὑψηλά, | ἀλλὰ συναπάχθητε τοῖς ταπεινοῖς,
ἐμόν, ὅπερ πίνω, | πίεσθε ποτήριον ὅτι·
ἐν τῇ βασιλείᾳ δὲ | τοῦ πατρός μου συνδοξασθήσεσθε".

Θέσις· "Ἡ τὸν ἀχώρητον Θεόν".

1 ὁδύρετο.—4 ἐδοξάζετο] αἱ ἐκδ. «ἀντεδοξάζετο».—6 κατὰ τὸ τριῴδιον ὁ οἶκος οὗτος ψάλλεται πρὸς τὸ «Αὐτὸς μόνος ὑπάρχεις ἀθάνατος». — 7 ὁδυρμὸν. — 8 αἱ ἐκδ. «καὶ σώφρονα».—9 κεκτημένον] οὕτως ὁ κῶδιξ, αἱ δὲ ἐκδ. «συντηροῦντα» —10 «καὶ γύπτου»· οὕτως ἐν τῳ κώδικι· αἱ ἐκδ. «καὶ Αἰγύπτου» || βασιλεύσαντα] κ. «βασιλεύσαντος»· αἱ ἐκδ. «κυριεύσαντα».—13 τεκοῦσαν. 14 ἡ ρωμ. ἔκδ. «ἡμῖν».—15 «ἀγνοημάτων» κατὰ τὴν ρωμ. ἔκδοσιν· κ. «ἀγνωημάτων»· ἑνετ. ἔκδ. «ἀμπλακημάτων».—16 μακαρίζοντες] ρωμ. ἔκδ. «μακαρίζουσαι». — 17 «ἐπαξίως» κατὰ τὴν ρωμ. ἔκδοσιν· κῶδιξ «ἐπαξίαν»· ἑνετ. ἔκδ. «ἐπάξιον». — 19 ὄντως] κ. «ὄντως»· αἱ ἐκδ. «πάντων». — 21 ἀφορῶτες || κῶδ. «τοῖς εαυτοῦ μαθηταῖς»· ἑνετ. ἔκδ. «τοῖς σεαυτοῦ μαθηταῖς»· ρωμ. ἔκδ. «κύριε, μαθηταῖς σου».—23 πίεσθε] οὕτως ἔχει ὁ κῶδιξ· αἱ ἐκδ. «πίεστε».—25 θέσις.

Ἐξαποστειλάριον· ἦχος πλάγιος δ'· ἰδιόμελον.

Τὸν νυμφῶνα σου βλέπω, | Σωτήρ μου, κεκοσμημένον
καὶ ἔνδυμα οὐκ ἔχω, | ἵνα εἰσέλθω·
λάμπρυνόν μου τὴν στολὴν | τῆς ψυχῆς, φωτοδότα, καὶ σῶσόν με.

Ἄλλο πρὸς τὸ "Τοῖς μαθηταῖς συνέλθωμεν".

Ἐρχόμενος ὁ Κύριος | πρὸς ἑκούσιον πάθος
ἐν τῇ ὁδῷ προέλεγε | μαθηταῖς τοῖς οἰκείοις·
"τῶν γεγραμμένων τὸ πέρας | νῦν ὁράτε, ὦ φίλοι·
εἰς χεῖρας παραδίδοται | ὁ υἱὸς τοῦ ἀνθρώπου
ἁμαρτωλῶν,
οἱ σταυρῷ (με) προσπήξοντες· | ἀλλ' ἐκ τάφου
τριήμερος ἐγείρομαι | μετὰ δόξης· θαρσεῖτε".

Ὅμοιον· Θεοτοκίον.

Βεβαρυμένον ὄντα με | ὑπὸ πλήθους πταισμάτων
ἐλάφρωσον, πανάχραντε· | ἔχεις γὰρ παρρησίαν
πρὸς τὸν ἐκ σοῦ σαρκωθέντα | ἀπορρήτως, ὡς οἶδεν,
διὰ σταυροῦ λυτρούμενος | γένος (τὸ) τῶν ἀνθρώπων
ἐκ τῆς φθορᾶς | ὑπὲρ λόγον, πάναγνε | Θεοτόκε,
ὃν ἐκδυσώπει δέομαι | τοῦ σωθῆναί με, κόρη.

Καὶ εὐθὺς "Αἰνεῖτε τὸν Κύριον" εἰς ἦχον α'.

Στιχηρὰ εἰς τοὺς αἴνους· ἦχος β', πρὸς τὸ "Ἄγγελος μὲν τὸ χαῖρε".

Χθές σε μετὰ βαΐων | Ἰουδαίων παῖδες ἀνύμνησαν
νικήσαντα τὸν Ἅδην καὶ Θάνατον·
σήμερον μελετῶσιν | ἐπὶ ξύλου ὑψῶσαί σε
τὸν ῥάβδῳ Ἐρυθρὰν διαρρήξαντα
καὶ τούτων τοὺς προγόνους | ἐκ δουλείας λύσαντα βιαίας,
ἀχάριστοι ὀφθέντες | περὶ τὸν εὐεργέτην οἱ τάλανες·
ἡμεῖς δὲ κράζομεν·
"ὁ ἐρχόμενος πρὸς τὸ πάθος, | Κύριε, δόξα σοι".

3 οὐκέχω || μετὰ τὸ «εἰσέλθω» αἱ ἐκδόσεις ἔχουσιν «ἐν αὐτῷ». — 9 χείρας.—11 προσπήξαντες.—14 βεβαρύμενον ὄντα. — 17 προσέθηκα «τὸ»· ἐν δὲ τῷ κώδικι μεταγενεστέρα τις χειρ διορθοῖ ὧδε· «γένος ἅπαν ἀνθρώπων». — 19 ἐκδυσώπη. — 24 ὑψώσαισε.—26 δουλίας.—27 ὕπερι.

Ὅμοιον.

Ἐγγίζει ὁ νυμφίος· | τὰς λαμπάδας πάντες ἀνάψωμεν
ἐλαίῳ συμπαθείας ἀρδεύοντες,
ὅπως εἰς τὸν νυμφῶνα | τὸν οὐράνιον χαίροντες
εἰσέλθωμεν καὶ κόλασιν φύγωμεν,
φωνὰς χαριστηρίους | τῷ Θεῷ τῶν ὅλων ἐκβοῶντες,
ἡμᾶς λυτρωσαμένῳ | ἀρχαίας καταδίκης τοῖς πάθεσιν·
υἱῷ κατεδέξατο | ὁμιλήσας ἑκουσίως | ὁ ὑπεράγαθος.

Ὅμοιον.

Προσοῦναι μελετᾷ σε | μαθητής, φιλάνθρωπε, δόλιος
πάθει φιλαργυρίας κρατούμενος,
καὶ συγκεινεῖται σπεῖρα | κατὰ σοῦ παράνομος ἅπασα
ἐμπτῦσαί σε χλευάσαι καὶ σταυρῶσαί σε
καὶ δόλῳ καταπαῖξαι | καὶ χολὴν συν ὄξει σε ποτίσαι
καὶ στέφος ἀναδῆσαι ἀκάνθινον | θελήσει, μακρόθυμε·
διὸ βοῶμεν σοι
" ὁ ἐρχόμενος πρὸς τὸ πάθος, | Κύριε, δόξα σοι ".

Ἄλλα στιχηρὰ· ἦχος πλάγιος β',
πρὸς τὸ " Τὰς ἀνομίας μου πάριδε, Κύριε, ὁ ἐκ παρθένου ".

Τῇ εὐπλαγχνίᾳ σου οἰκτειρον, Κύριε, | τὴν ἀκαρπίαν μου
καὶ τῇ ὀργῇ σου μὴ ξηράνῃς με·
ἀλλά μοι δώρησαι μετανοίας καρπόν, ἀγαθέ·
μή με ἐξουδενώσῃς | ἀπὸ τοῦ σοῦ προσώπου
ὁ ἀμέτρητον ἔχων τὸ μέγα ἔλεος.

Ὅμοιον.

Τὴν ὑψηλόφρονα γνώμην ἀπέλασον ἡμῶν, | φιλάνθρωπε,
καὶ μιμητὰς ἡμᾶς ἀνάδειξον
τῆς ταπεινώσεως | τῆς σῆς μέχρι θανάτου, Χριστέ,
καὶ τῆς σεπτῆς σου δόξης | ἀξίωσον μετόχους
χρηματίσαι ὁ ἔχων τὸ μέγα ἔλεος.

Ὅμοιον.

Πρὸς τὸ ἑκούσιον πάθος σου, Κύριε, | παραγενόμενος
τοὺς μαθητὰς ἐμυσταγώγησας

6 φωνᾶς. — 8 υἱῷ] τοῦτο δυσνόητον ἴσως· ὁ κῶδιξ ἔχει «υἱόν». — 10 μελετᾷ σε] μελετᾶσαι. — 12 κατασοῦ. — 13 ἐμπύσαισε χλευᾶσαι. — 14 καταπαῖξαι || χολὴ συνὄξησε ποτῆσαι. — 15 ἀναδήσαι. — 23 ἐξουδενώσεις. — 26 ὁ κῶδιξ στίζει οὕτως· «γνώμην· ἀπέλασον». — 28 κῶδ. «ταπεινώσεως τῆς σῆς· μέχρι».

ὑψοποιῶν, Χριστέ, | δι' ἀγάπης ταπεινωσιν,
δι' ἧς τὴν τῶν ἀνθρώπων | ἐδόξασας οὐσίαν
ὁ ἀμέτρητον ἔχων τὸ μεγα ἔλεος.

Εἰς τὸ Δόξα ἦχος πλ. δ'.

Τῆς ξηρανθείσης συκῆς | διὰ τὴν ἀκαρπίαν
τὸ ἐπιτίμιον φοβηθέντες, ἀδελφοί,
καρποὺς ἀξίους τῆς μετανοίας | προσάξωμεν Χριστῷ
τῷ παρέχοντι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν.

Δευτέραν Εὔαν τὴν Λιγυπτίαν | εὑρὼν ὁ δράκων διὰ ῥημάτων
ἔσπευδε κολακείαις | ὑποσκελίσαι τὸν Ἰωσήφ·
ἀλλ' αὐτὸς καταλιπὼν τὸν χιτῶνα | ἔφυγε τὴν ἁμαρτίαν
καὶ γυμνὸς οὐκ ἠσχύνετο, | ὡς ὁ πρωτόπλαστος πρὸ τῆς παρακοῆς·
αὐτοῦ ταῖς ἱκεσίαις, Χριστέ, | ἐλέησον ἡμᾶς.

Εὐθὺς τὸ "Δόξα ἐν ὑψίστοις" ἕως "τοῖς γινώσκουσί σε". Ὁ διάκονος "Σοφία". Ὁ ψάλτης· Ψαλμ(ὸς) τῷ Δαυὶδ, προκείμενον ἦχου δ'. "Εἰσάκουσον τῆς προσευχῆς μου, Κύριε, καὶ τῆς δεήσεως". Στίχ. "Εἶπα φυλάξω τὰς ὁδούς μου τοῦ"· Γενέσεως τὸ ἀνάγνωσμα (οὗ ἡ ἀρχή· "Ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανόν". Τέλος· "ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωὶ ἡμέρα τρίτη"). Παροιμιῶν τὸ ἀνάγνωσμα (οὗ ἡ ἀρχή· "Σοφία ἐν ἐξόδοις ὑμνεῖται, ἐν δὲ πλατείαις παρρησίαν ἄγει". Τέλος· "καὶ ἡσυχάσει ἀφόβως ἀπὸ παντὸς κακοῦ"). Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα (ἧς ἡ ἀρχή· "Ἄσω δὴ τῷ ἠγαπημένῳ ἆσμα τοῦ ἀγαπητοῦ μου, τῷ ἀμπελῶνί μου". Τέλος· "ἐποίησεν δὲ ἀνομίαν καὶ οὐ δικαιοσύνην, ἀλλὰ κραυγήν"). Εἶτα προκείμενον ἦχου δ'· "Ἐξομολογήσομαί σοι, ὅτι ἐπήκουσάς μου καὶ ἐγενόμην εἰς σωτηρίαν. Λίθον, ὃν ἀπ[ε]- Στίχ. "Παρὰ Κυρίου ἐγένετο αὕτη". Καὶ ὁ διάκονος "Σοφία". Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου εὐαγγελίου. Ὁ ἀρχιδιάκονος· "Πρωΐας ἐπανάγων ὁ Ἰησοῦς εἰς τὴν πόλιν ἐπείνασεν, καὶ ἰδὼν συκῆν μίαν" κτλ. (Τέλος· "πολλοὶ γάρ εἰσιν κλητοί, ὀλίγοι δὲ

1 ὑψοποιῶν || διαγάπης.—3 ἀμέτριτον.—10 διαρημάτων. — 11 κολακίαις. — 13 αἰ σχύνετο.—19 ἐναρχή.— 24 ἄσμα || ἀμπελώνι.

ἐκλεκτοί"). Καὶ εὐθὺς "Καταξίωσον, Κύριε". Καὶ ὁ διάκονος τὴν αἴτησιν, καὶ ἀνέλθ(ωμεν) εἰς τὸ "Αγιον Κρανίον ψάλλοντες τοῦ στιχ(ηρ)οῦ ἦχον πλάγιον α'· "Φθάσαντες, πιστοί, | τὸ σωτήριον πάθος Χριστοῦ τοῦ Θεοῦ, | τὴν ἄφατον μακροθυμίαν δοξάσωμεν, | ὅπως τῇ αὐτοῦ εὐσπλαγχνίᾳ | συναγείρῃ καὶ ἡμᾶς | νεκρωθέντας τῇ ἁμαρτίᾳ, | ὡς ἀγαθὸς καὶ φιλάνθρωπος". Στίχ. "Ἐνεπλήσθημεν τῷ πρωὶ τοῦ ἐλέους":—Καὶ δεύτ(ε)ρ(ον τὸ) αὐτό.

Εἰς τὸ "Δόξα καὶ νῦν" θεοτοκίον δογματικόν.

Ἦχος πλάγιος α'.

Μονάδα τρισυπόστατον καὶ τριάδα ὁμοούσιον
ἐν τρισὶν ἁγιάσμοις | εἰς μίαν συνιοῦσι
κυριότητα δοξάζομεν.
"Ἅγιος ἅγιος ἅγιος, | Κύριος τῶν δυνάμεων".
Μοναδικῶς μὲν ἑκάστην τῶν θεαρχικωτάτων
ὑποστάσεων κυρύττομεν, | ἐν τῇ συναριθμήσει δὲ
οὐ δεῖ ἡμᾶς πολύθεον τὴν μοναρχικωτάτην
καταγγέλλειν θεότητα.
οὐ γὰρ τρισάγιον τὴν μίαν,
οὐδὲ τρισυπόστατον φαμὲν ὑπόστασιν,
οὐδὲ πάθος προσάπτομεν τῇ ἀπαθεῖ
καὶ τρισαγίῳ θεότητι·
ἐσταυρῶσθαι δὲ λέγομεν | τὸν ἐκ πατρὸς ἀμήτορα
μονογενῆ υἱὸν καὶ Θεὸν | καὶ ἐκ σοῦ ἀπάτορα μονογενῆ
σεσαρκωμένον Κύριον ἀπαθῆ
καὶ παθητὸν κτιστὸν καὶ ἄκτιστον,
τὸν αὐτὸν ὡς Θεὸν ὁμοῦ καὶ ἄνθρωπον
ἐν δύο ταῖς φύσεσιν
αὐτεξουσίως θέλοντα καὶ ἐνεργοῦντα σαφῶς
καθ' ἑκατέραν τῶν αὐτοῦ | ἀδιαιρέτων φύσεων.
Αὐτὸν ἱκέτευε, | σεμνὴ παμμακαριστε,
σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εὐθὺς τὸ "Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι". Εἶτα ψάλλεται ἡ α' ὥρα· ἄνευ στιχολογίας τρίψαλμος. Εὐθὺς ἀλληλούια, ἦχος βαρύς·

4 μετὰ τὸ «ἄφατον» αἱ ἐκδόσεις ἔχουσιν «αὐτοῦ».—ῦ αὐτοῦ] αἱ ἐκδ. «ἑαυτοῦ».—15 κηρύττωμεν. — 16 δεῖ ἡμᾶς] οὕτως ἔγραψα ἀντὶ τοῦ ἐν τῷ κώδικι ἀκατανοήτου μοι «ὀῆμος».—17 καταγγέλλειν?] κῶδ. «καταγγέλοντες».—20 ἀπαθῆ. — 30 ἱκέτευε.

γ' στάσεις. Στίχ. α' «Κύριε εἰσάκουσον τῆς προσευχῆς». Στίχ. β' «Ἀκουστὸν ποίησόν μοι». Στίχ. γ' «Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει»: — «Χριστέ, τὸ φῶς τὸ ἀληθινὸν τὸ φωτίζον».

Εἰς τὸ «Δόξα» πρὸς τὸ «Ὡς ἔχων [illegible]».

Ἱλάσθητι, ἀγαθὲ | καὶ ἐλεήμων πλαστουργέ,
λαῷ σου τῷ ἁμαρτωλῷ, | ὃν ἐξηγόρασας,
Χριστέ, σταυρούμενος ἐνθάδε τῷ Κρανίῳ
τῷ σῷ αἵματι,
καὶ πρόφθασον καὶ οἰκτειρον | καταπονούμενον δεινῶς,
πρεσβείαις τῆς τεκούσης σε | καὶ τῶν ἀγγέλων, ὡς Θεός·
ἡμεῖς γὰρ ἡμεῖς λαός σου | καὶ πρόβατα νομῆς σου·
Κύριε, δόξα σοι.

Καὶ οἱ ψάλται λέγουσι "Καὶ κατεύθυνον τὰ διαβήματα μου". Καὶ εὐθὺς τροπάριον· ἦχος β'.

Ἐν ψυχῇ συντετριμμένῃ προσπίπτομέν σοι
καὶ δεόμεθά σου, Σωτὴρ τοῦ κόσμου·
σὺ γὰρ εἶ Θεὸς τῶν μετανοούντων.

Προκείμενον ἦχος δ'. Ψαλμὸς τῷ Δαυὶδ ρκε'. Ἦχος δ'. «Ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν Σιών· ἐγενήθημεν ὡσεὶ παρακ:» Στίχ. «Τότε ἐπλήσθη χαρᾶς τὸ στόμα ἡμῶν καὶ ἡ γλῶσσα ἡμῶν ἀγαλλιάσεως». Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα (ἧς ἡ ἀρχή· «Ἐγένετο ἐν τῷ τριακοστῷ ἔτει, ἐν τῷ τετάρτῳ μηνί, πέμπτῃ τοῦ μηνός, καὶ ἐγὼ ἤμην ἐν μέσῳ τῆς αἰχμαλωσίας». Τέλος· «ἐπορεύοντο τὰ ζῶα καὶ οἱ τροχοὶ ἐξήροντο σὺν αὐτοῖς, διότι πνεῦμα ζωῆς ἦν ἐν τοῖς τροχοῖς»). Προκείμενον, ἦχος πλάγιος β'. Ψαλμὸς τῷ Δαυὶδ ρκς'. «Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες». Στίχ. «Ἐὰν μὴ Κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων». Εὐθὺς «Τὰ διαβήματά μου κατεύθυνον», τὸ τρισάγιον καὶ ἀπόλυσις.

1 στάσης. — 15 προσπίπτωμεν. — 17 μετανοούντων. — 22 ἔτη. — 23 μηνῇ. — 27 οἰκωδομ(ήσῃ).

Καὶ εἰς τὴν β' ὥραν ἵσταται ὁ πρωτοπαπᾶς ἀλλαγμένος μετὰ τοῦ ἀρχιδιακόνου εἰς τ(ὸ) μέ(σον) τὴν σολέαν μετ(ὰ) δύο μανουάλια καὶ δύο κηροὺς καὶ θυμιατόν. Καὶ ὁ ἀρχιδιάκονος «Σοφία ὀρθοί», καὶ ἀναγινώσκει ὁ πρωτοπαπᾶς τὸ κατὰ Ματθαῖον εὐαγγέλιον ὅλον. Καὶ εὐθὺς σημ(αίνει) καὶ ψάλλομεν τὴν τριτέκτην· κατὰ ὥραν ἀπὸ ἑνὸς καθίσματος.

Τῇ ἁγία καὶ μεγάλῃ Δευτέρᾳ ἑσπέρας ψάλλομεν τὴν θ' ὥραν ἐν τῷ ναῷ τοῦ ἁγίου Κωνσταντίνου. Ἐν αὐτῷ καὶ τὸ ἑσπέρας καὶ τὸ ἅγιον εὐαγγέλιον ἐπιτελεῖται. Στιχολογία εἰς τὴν θ' ὥραν οὐ γίνεται, εἰμὴ μόνον λέγωσιν τὸ «Κρῖνον Κύριε»· ἦχος πλάγιος δ'.—Ἀσματικῶς οὕτως ἄρξεται ὁ διάκονος· «Εὐλόγησον δέσποτα», Ὁ ἱερεύς· «Εὐλογημένη ἡ βασιλεία». Εὐθὺς ὁ βασιλικ(άριος) τὸ «Κλῖνον Κύριε τὸ οὖς σου. Δόξα σοι ὁ Θεός». Καὶ ἐν τῷ λέγειν ὅλον τὸν ψαλμόν, ὁ διάκονος συνάπτει, καὶ εὐθὺς "Ὁ ἐν τῇ ἐνάτῃ" καὶ τὸ θεοτοκίον "Ὁ δι' ἡμᾶς";- Καὶ εὐθὺς προκείμενον· ἦχος πλάγιος β'. Ψαλμὸς τῷ Δαυὶδ ρκζ'. «Εὐλογήσαι σε Κύριος ἐκ Σιών». Στίχ. «Μακάριοι πάντες οἱ φοβούμενοι τὸν Κύριον· οἱ πορευόμενοι ἐν ταῖς ὁδαῖς». Τῆς Ἐξόδου τὸ ἀνάγνωσμα (οὗ ἡ ἀρχή· «Ταῦτα τὰ ὀνόματα τῶν υἱῶν Ἰσραήλ, τῶν εἰσπορευομένων εἰς Αἴγυπτον ἅμα Ἰακὼβ τῷ πατρὶ αὐτῶν». Τέλος· «εὖ δὲ ἐποίει ὁ Θεὸς ταῖς μαίαις καὶ ἐπληθύνετο ὁ λαὸς καὶ ἴσχυεν σφόδρα»). Προκείμενον. Ψαλμὸς τῷ Δαυὶδ ρκη'. Ἦχος πλάγιος β'. «Εὐλογήκαμεν ὑμᾶς ἐν ὀνόματι Κυρίου». Στίχ. «Πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου». Ἰὼβ τὸ ἀνάγνωσμα (οὗ ἡ ἀρχή· «Ἄνθρωπός τις ἦν ἐν χώρᾳ τῇ Αὐσίτιδι, ᾧ ὄνομα Ἰώβ· καὶ ἦν ὁ ἄνθρωπος ἐκεῖνος ἄμεμπτος δίκαιος ἀληθινὸς θεοσεβής». Τέλος· «ἐν τῇ χειρί σου δέδωκα, ἀλλ' αὐτοῦ μὴ ἅψῃ. Καὶ ἐξῆλθεν ὁ διάβολος ἀπὸ προσώπου Κυρίου»). Εἶτα λέ(γουσι) «Μὴ δὴ παραδώῃς ἡμᾶς εἰς τον:» Καὶ εὐθὺς τὸν ἑσπ(ερινόν)· στιχολόγ(ει) τὰ Προσκ(ρια). Στιχηρὰ εἰς τὸ "Κύριε ἐκέκραξα"· ἦχος πλάγιος α'.

1 ἀλαγμέ(νος). — 4 ματθαῖον. — 12 ἱερεύ. — 14 ἐννάτ(ῃ). — 15 ὀθιγμ(ᾶς). — 23 ἡμας.—25 χῶρα τῆι αὐσίτηδι.—28 μηδή.

Κοσμᾶ μοναχοῦ.

Κύριε, | ἐρχόμενος πρὸς τὸ πάθος,
τοὺς ἰδίους στηρίζων μαθητὰς ἔλεγες
κατ' ἰδίαν παραλαβὼν αὐτούς·
"πῶς τῶν ῥημάτων μου ἀμνημονεῖτε,
ὧν πάλαι εἶπον ὑμῖν,
ὅτι προφήτην πάντα οὐ γέγραπται,
εἰ μὴ ἐν Ἱερουσαλὴμ ἀποκτανθῆναι;
νῦν οὖν καιρὸς ἐφέστηκεν, | ὃν εἶπον ὑμῖν·
ἰδοὺ γὰρ παραδίδομαι | ἁμαρτωλῶν χερσὶν ἐμπαιχθῆναι,
οἳ καὶ σταυρὸν προσπήξαντες | ταφῇ παραδόντες
ἐβδελυγμένον λογιοῦνται ὡς νεκρόν·
ὅμως θαρσεῖτε· | τριήμερος γὰρ ἐγείρομαι
εἰς ἀγαλλίασιν πιστῶν | καὶ ζωὴν αἰώνιον".

Ἦχος πλάγιος α΄.

Κύριε, | πρὸς τὸ μυστήριον τὸ ἀπόρρητον
τῆς σῆς οἰκονομίας
οὐκ ἐξαρκοῦσα | ἡ τῶν ἐκ Ζεβεδαίου μήτηρ
ἠτεῖτό σε προσκαίρου βασιλείας τιμὴν
τοῖς ἑαυτῆς δωρήσασθαι τέκνοις·
ἀλλ' ἀντὶ ταύτης | ποτήριον θανάτου
ἐπηγγείλω πιεῖν τοῖς φίλοις σου,
ὃ ποτήριον | προ τοῦτο πιεῖν
ὁ αὐτὸς ἔλεγες | ἁμαρτημάτων καθαρτήριον·
διό σοι βοῶμεν
"ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν, δόξα σοι".

Ἦχος πλάγιος α΄.

Κύριε, | τὰ τελεώτατα φρονεῖν
τοὺς οἰκείους παιδεύων μαθητάς,
"μὴ ὁμοιοῦσθε | τοῖς ἔθνεσιν" ἔλεγες,
"εἰς τὸ κατάρχειν τῶν ἐλαχιστοτέρων·
οὐχ οὕτως γὰρ ἔστιν ὑμῖν | τοῖς ἐμοῖς μαθηταῖς,
ὅτι πτωχὸς θέλων ὑπάρχω·
ὁ πρῶτος οὖν ὑμῶν ἔστω πάντων διάκονος,

10 ἐμπεχθῆναι. – 11 ταφῆ. — 16 τηρῶ τὰ μουσικὰ τοῦ κώδικος κῶλα.—19 ἠτη-τωσε.—23 ὃ] ὧ | τοῦτο] αἱ ἐκδ. «τούτων».—30 ὁμοιοῦσθε] οὕτως ἔχει ὁ κῶδιξ κατὰ τὴν ρωμ. ἔκδοσιν, ἡ δὲ ἑνετικὴ ἔκδ. ἔχει «ὁμοιοῦσθαι».—32 ἐκδ. «ἔσται».

ὁ δὲ ἄρχων ὡς ὁ ἀρχόμενος,
ὁ προκριθεὶς δὲ ὡς ὁ ἔσχατος·
καὶ γὰρ ἐλήλυθα αὐτὸς
τῷ πτωχεύσαντι Ἀδὰμ διακονῆσαι
καὶ λύτρον δοῦναι | ἀντὶ πολλῶν τὴν ψυχήν,
τῶν βοώντων μοι· δόξα σοι".

Εἰς τὸ Δόξα ἦχος α'.

Ἐρχόμενος ὁ Κύριος | πρὸς τὸ ἑκούσιον πάθος
τοῖς ἀποστόλοις ἔλεγεν ἐν τῇ ὁδῷ·
"ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα
καὶ παραδοθήσεται | ὁ υἱὸς τοῦ ἀνθρώπου",
καθὼς γέγραπται περὶ αὐτοῦ·
δεῦτε οὖν καὶ ἡμεῖς | κεκαθαρμέναις διανοίαις
συμπορευθῶμεν αὐτῷ | καὶ συσταυρωθῶμεν
καὶ νεκρωθῶμεν δι' αὐτοῦ | ταῖς τοῦ βίου ἡδοναῖς,
ἵνα καὶ συζήσωμεν αὐτῷ | καὶ ἀκούσωμεν βοῶντος αὐτοῦ
"οὐκέτι εἰς τὴν ἐπίγειον Ἱερουσαλὴμ | διὰ τὸ παθεῖν,
ἀλλ' ἀναβαίνω πρὸς τὸν πατέρα μου | καὶ πατέρα ὑμῶν
καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν, | καὶ συνανυψῶν ὑμᾶς
εἰς τὴν ἄνω Ἱερουσαλήμ, | ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν".

Καὶ νῦν καὶ ἀεί. Θεοτοκίον.

Τῶν οὐρανίων ταγμάτων | τὸ ἀγαλλίαμα,
τῶν ἐπὶ γῆς ἀνθρώπων | κραταιὰ προστασία,
ἄχραντε παρθένε, σῶσον ἡμᾶς,
τοὺς εἰς σὲ καταφεύγοντας, ὅτι ἐν σοὶ τὰς ἐλπίδας
μετὰ Θεόν, Θεοτόκε, ἀνεθέμεθα.

Εὐθὺς ὁ διάκονος «Σοφία ὀρθοί», καὶ γίνεται εἴσοδος. Στιχηρὸν ψαλλόμενον εἰς τὴν εἴσοδον· ἦχος α'.

Ἐν ταῖς λαμπρότησιν τῶν ἁγίων σου
πῶς εἰσελεύσομαι ὁ ἀνάξιος;
ἐὰν γὰρ τολμήσω συνεισελθεῖν εἰς τὸν νυμφῶνα,
ὁ χιτὼν με ἐλέγχει, | ὅτι οὐκ ἔστιν τοῦ γάμου,
καὶ δέσμιος ἐκβάλλομαι ὑπὸ τῶν ἀγγέλων·

7 βοῶντων. — 10 ἰδοὺ ἀναβαίνωμεν. — 12 καθὼς. — 15 αὐτοῦ] αἱ ἐκδ. «αὐτόν». — 16 σὺν ζήσωμεν. — 18 καὶ πατέρα ὑμῶν] ἐλλείπουσι τῷ κώδικι. — 19 ἡμῶν || ἡμᾶς. — 23 κραταιὰ. — 32 χιτὼν.

καθάρισον, Κύριε, | τὸν ῥύπον τῆς ψυχῆς μου
καὶ σῶσόν με, | ὡς φιλάνθρωπος.

Καὶ μετὰ τοῦτο γίνεται καθέδρα, καὶ εὐθὺς προκείμενον. Ἦχος πλάγιος β'. «Εὐλογήσω τὸν Κύριον τὸν συνετίσαντά με». Στίχ. «Φύλαξόν με, Κύριε, ὅτι ἐπὶ σοὶ ἤλπισα· εἶπα:». Εὐθὺς Γενέσεως τὸ ἀνάγνωσμα (οὗ ἡ ἀρχή· «Αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ τε καὶ γῆς. Ὅτε ἐγένετο ἡ ἡμέρα, ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ πᾶν χλωρὸν ἀγροῦ πρὸ τοῦ γενέσθαι ἐπὶ τῆς γῆς». Τέλος· «καὶ πᾶν ὃ ἐὰν ἐκάλεσεν αὐτὰ Ἀδὰμ ψυχὴν ζῶσαν, τοῦτο ὄνομα αὐτοῖς»). Προφητεία Ἡσαΐου (ἧς ἡ ἀρχή· «Παρακαλεῖτε, παρακαλεῖτε τὸν λαόν μου λέγει ὁ Θεός· ἱερεῖς λαλήσατε εἰς τὴν καρδίαν Ἰερουσαλήμ, ὅτι ἐπλάσθη ἡ ταπείνωσις αὐτῆς». Τέλος· «Καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσεν, τὸ δὲ ῥῆμα τοῦ Θεοῦ μένει εἰς τὸν αἰῶνα»). Παροιμιῶν τὸ ἀνάγνωσμα (ὧν ἡ ἀρχή· «Παροιμία Σολομῶντος υἱοῦ Δαυίδ, ὃς ἐβασίλευσεν ἐν Ἰσραὴλ γνῶναι σοφίαν καὶ παιδείαν καὶ νοῆσαι λόγους φρονήσεως»· Τέλος· «τῇ γὰρ ἀσεβείᾳ τὴν ἑαυτῶν ψυχὴν ἀφαιροῦνται, ἐν δὲ πλατείαις παρρησίαν ἄγει»). Καὶ εὐθ(ὺς) τὸ «Φῶς ἱλαρόν», καὶ ὁ ψάλτης προκείμενον, ἦχος δ'. «Θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως καὶ ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς μου, καὶ ἐπικαλέσομαι ἐν ἡμέραις θλίψεώς μου καὶ ἐξελοῦμαί σε καὶ δοξάσεις με». Στίχ. «Θεὸς θεῶν, Κύριος, ἐλάλησε». Καὶ ὁ διάκονος συναπτὴν τοῦ εὐαγγελίου, καὶ ὁ ἀρχιδιάκονος ἀναγινώσκει τὸ εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου εὐαγγελίου τὸ ἀνάγνωσμα (οὗ ἡ ἀρχή· «Ἀναβαίνων ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα παρέλαβεν τοὺς δώδεκα κατ' ἰδίαν ἐν τῇ ὁδῷ». Τέλος· «ἀλλὰ διακονῆσαι καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν». Ματθ. κ', 17-28). Καὶ εὐθὺς «Καταξίωσον Κύριε ἐν τῇ ἑσπέρα ταύτῃ».

Στιχηρὰ ἦχος δ', πρὸς τὸ «Ἔδωκας σημείωσιν».

Ἔρχεται ὁ Κύριος, | ὁ μηδαμοῦ χωριζόμενος
καὶ ἀεὶ ευρισκόμενος | τοῖς αὐτῷ ἐγγίζουσι,
καθαρᾷ καρδίᾳ | πάθη ὑπομεῖναι

4 συνετήσαντα. — 9 ἐὰν. — 19 θῦσον. — 22 συνάπτει. — 27 κατιδίαν. — 31 εὑρησκόμενος.

καὶ τὴν ἀπάθειαν ἡμῖν | δι' εὐσπλαγχνίαν | πᾶσι δωρήσασθαι·
αὐτοῦ δοξολογήσωμεν | τὴν ὑπὲρ νοῦν συγκατάβασιν
καὶ τὸ ἄφατον ἔλεος, | δι' οὗ ὁ κόσμος συνίσταται.

Στίχ. «Δίκασον, Κύριε, τοὺς ἀδικοῦντάς με· πολέμει»

Ὅμοιον.

Πάθος πρὸς ἐκούσιον | ὁ ἀπαθὴς τῇ θεότητι
συμπαθῶς ἀγαθότητα | τοῖς φίλοις προέλεγες·
"εἷς ἐξ ὑμῶν | δόλῳ τέτοκε καρδίαν
καὶ φονευταῖς με μελετᾷ | ἀπεμπολῆσαι ἐξαγοράζοντα
ἐν αἵματι τιμίῳ μου | τοὺς δουλωθέντας τῷ δράκοντι
καὶ τὴν πρώτην εὐγένειαν | παντελῶς ἀπολέσαντα.

Εἰς τὸ Δόξα ἦχος πλάγιος δ',
πρὸς τὸ «Ὦ τοῦ παραδόξου».

Ὦ τοῦ παραδόξου θαύματος!
ὁ τῆς ζωῆς ἀρχηγὸς | διὰ ἅμετρον ἔλεος
πιεῖν τὸ ποτήριον | τοῦ θανάτου ἐλήλυθας·
ἐκ μαθητοῦ σου | φέρεις προδίδοσθαι,
ἐξ Ἰουδαίων | δέχει κατάκριμα·
ὢ τίς ἡ ἄπειρος | ἀνοχή σου, δέσποτα,
δι' ἣς ἡμᾶς | σῶσαι παραγέγονας, | ὡς μόνος εὔσπλαγχνος.

Καὶ νῦν καὶ ἀεί.

Ὦ τῆς θερμῆς προστασίας σου!
ὢ τῆς ἀμέτρου ὄντως | συμπαθείας σου, δέσποινα!
ὢ τῆς μεσιτείας σου, | ὢ καὶ τῆς εὐσπλαγχνίας σου!
σὺ γὰρ πρεσβεύεις | ὑπὲρ ἡμῶν πρὸς Θεόν
παντὸς κινδύνου ἐλευθερῶσαι ἡμᾶς
καὶ περιστάσεως | πειρασμῶν καὶ θλίψεων | καὶ συμφορῶν
τὴν κληρονομίαν σου | τῇ φυσικῇ σου στοργῇ.

Εὐθὺς ὁ διάκονος τὴν αἴτησιν, καὶ μετὰ τὴν αἴτησιν ὁ ἱερεὺς ἐκφώνως «Ὅτι πρέπει σοι πᾶσα δόξα». Καὶ ὁ διάκονος ὁ ἐπὶ τοῦ Ἄμβωνος λέγει «Οἱ κατηχούμενοι τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε», καὶ ὁ ἱερεὺς τὴν εὐχὴν ταύτην.

11 ευγενειαν.—14 ὦ.—17 φέρῃς. 24 ὦ || προστασίασου.—22 συμπαθείασου.—24 ὦ τῆς μεσιτείασου· ὦ καὶ τῆς εὐσπλαγχνίασου.—29 ἱερεύς.

«Εὐλόγησον νῦν, Κύριε, τοὺς δούλους σου τούτους τοὺς κατηχουμένους, οὓς προσεκαλέσω κλήσει ἁγία ἐπὶ τὸ θαυμαστὸν φῶς τῆς σῆς ἐπιγνώσεως, καὶ δὸς αὐτοῖς ἐπιγνῶναι περὶ ὧν κατήχηνται λόγων τὴν ἀσφάλειαν. Ἔμπλησον αὐτοὺς πνεύματος ἁγίου, εἰς τὸ γενέσθαι καὶ αὐτοὺς πρόβατα σοῦ τοῦ ἀληθινοῦ ποιμένος, ἐσφραγισμένα τῇ σφραγῖδι τοῦ ἁγίου σου πνεύματος, ὅπως μέλη τίμια γένωνται τοῦ σώματος τῆς ἐκκλησίας σου καὶ καταξιωθῶσιν καὶ ἐν τῷ μέλλοντι αἰῶνι τῆς μακαρίας ὄντως ἐλπίδος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν».

Ἐκφώνως· «Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξ»: Καὶ ὁ ἀρχιδιάκονος λέγει· «Ἐν εἰρήνῃ πορεύεσθε οἱ κατηχούμενοι: — Καὶ ὑμεῖς οἱ πρὸς τὸ φώτισμα τῇ χειροθεσίᾳ προσέλθετε». Εἶτα ὁ διάκονος ὁ κάτ(ω)θ(εν) λέγει· «Κλίνατε»: Ὁ ἱερεὺς εὐχ(ὴν) τῶν φ(ωτιζομένων).

«Κύριε ἅγιε, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τῷ παντεφόρῳ σου ὄμματι ἐπιβλέπων ἐπὶ πᾶσαν τὴν κτίσιν, σοὶ ἐκλίναμεν τὸν αὐχένα τῆς καρδίας καὶ τοῦ σώματος, καὶ δεόμεθά σου. Ἔκτεινον τὴν ἁγίαν σου χεῖρα τὴν ἀόρατον ἐξ ἁγίου κατοικητηρίου σου, καὶ εὐλόγησον πάντας ἡμᾶς· καὶ εἴ τι ἡμάρτομεν ἑκουσίως ἢ ἀκουσίως, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς συγχώρησον, δωρούμενος ἡμῖν καὶ τὰ ἐγκόσμια ἀγαθά σου».

Ἐκφώνως· «Ὅτι Θεὸς ἐλέους καὶ οἰκτιρμῶν ὑπάρχεις». Εἶτα ὁ διάκονος· «Ἐγείρεσθε». Εἶτα πάλιν ὁ ἐπὶ τοῦ ἄμβωνος διάκονος λέγει· «Ἐν εἰρήνῃ πορεύεσθε: — Καὶ ὑμεῖς οἱ πρὸς τὸ φώτισμα τῶν κατηχήσεων μνημονεύοντες, σπουδαίως συνάγεσθε». Ὁ κάτ(ωθεν) διάκονος· «Προσέλθετε». Ὁ ἱερεὺς ἐκφώνως· «Ὅτι πρέπει σοι πᾶσα δόξα τιμή»: Καὶ ὁ διάκονος· «Ἐν εἰρήνῃ Χριστοῦ ψάλλετε»: Εἶτα λιτ(ὴ) ἐπ(ὶ) τὴν Ἁγίαν Ἀνάστασιν διὰ τὴν κοινωνίαν, ὅτι προηγιασμ(ένα) τότε οὐ τελεῖται, εἰ μὴ θέτουν τὰ ἅγια δῶρα εἰς τὴν ἁγίαν τράπεζαν, ὁμοίως καὶ τὰ ἅγια ποτήρια.

2 οὓς.— 4 κατήχηντε || ἀσφάλιαν.—5 ποιμαίνος.— 7 γένονται.— 8 ὄντως. — 10 αὐτοὶς συνήμῖν. — 12 προσέλθατε. — 16 σοι] σὺ. — 19 ἡμάρτωμεν. — 26 προσέλθατε. 28 ψάλετ.

Καὶ τοῦ ναοῦ κλειδ(ω)μ(ένου), ἕως καταβαίνομεν εἰς τὸν Ἅγιον Κωνσταντῖνον μετὰ τοῦ εὐαγγελίου (καὶ οὕτως ποιοῦμεν τῇ ἁγία γ′ καὶ δ′, ἐν δὲ τῇ ἁγία καὶ μεγάλῃ παρασκευῇ οὐδόλως), ψάλλοντ(ες) τροπάριον ἦχου πλαγίου α′.

Φθάσαντες, πιστοί, | τὸ σωτήριον πάθος τοῦ Χριστοῦ τοῦ Θεοῦ
τὴν ἄφατον αὐτοῦ μακροθυμίαν δοξάσωμεν,
ὅπως τῇ αὐτοῦ εὐσπλαγχνίᾳ
συνεγείρῃ καὶ ἡμᾶς | νεκρωθέντας τῇ ἁμαρτίᾳ,
ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Καὶ εὐθὺς κρούει ὁ ἀρχιδιάκονος τὴν πύλην τοῦ ναοῦ (καὶ) ἀνοίγοντες εἰσέλθωμεν εἰς τὸ Βῆμα.

Εἶτα «Δόξα· ἦχος α′.

Κοντάκιον.

Τὰ πάθη μυστικὰ | τοὺς ὑμνοῦντάς σε, δέσποτα,
φωτί σου τῷ ὑπὲρ νοῦν | ἡγίασας ὡς εὐσπλαγχνος·
παντοίων παθῶν λύτρωσαι ἡμᾶς, Χριστὲ ὁ Θεός,
καὶ τῇ θεία σου δυναστείᾳ | σκέπων, δέσποτα,
τῆς ἀχράντου σου βασιλείας | καταξίωσον
ὁ μόνος φιλάνθρωπος.

Εὐθὺς «Κατευθυνθήτω ἡ προσευχή μου». Εἶτα «Νῦν ἀπολύεις», τὸ «Κύριε ἐλέησον» μ′, καὶ ὁ ἀρχιδιάκονος «Μή τις τῶν κατηχουμένων». Οἱ ψάλται «Νῦν αἱ δυνάμεις». Καὶ μετὰ τοῦτο λέγει ὁ διάκονος «Ἐν σοφίᾳ Θεοῦ πρόσχωμεν», καὶ ὁ ἱερεὺς «Πιστεύω εἰς ἕνα Θεὸν πατέρα», καὶ μετέπειτα ὁ διάκονος «Στῶμεν καλῶς· ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν». Ὁ λαὸς τὸ «Κύριε ἐλέησον» καὶ ὁ ἱερεὺς λέγει ἐκφώνως «Καὶ δὸς ἡμῖν, Κύριε, εὐπρόσδεκτον γενέσθαι». Ὁ λαὸς «Πάτερ ἡμῶν ὁ ἐν τοῖς». Ὁ ἱερεὺς «Ὅτι σοῦ ἐστιν ἡ βασιλεία». Ὁ διάκονος «Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ». Ὁ λαὸς «Σοι Κύριε». Ὁ ἱερεὺς ἐκφώ-

δρ′

1 ναοῦ κλη, ἕως. — 3 «οὐδόλως»· μετὰ τοῦτο ὑπάρχει ἐν τῷ κώδικι τόδε· «εἰμὴ μεταλάβομ(εν) τὴν ἁγίαν ζύμην καὶ μόνον, ἀντὶ τὴν ἁγίαν δω(ρεὰν)»· ἀλλὰ τὰ ῥήματα ταῦτα διέγραψεν ὁ καλλιγράφος, ἐρυθρὰν ἐπιχαράξας γραμμήν.—5 αἱ ἐκδόσεις· «πάθος Χριστοῦ». 6 δοξάσωμεν. — 8 συνεγείρει. — 14 μυστικᾶ.—15 τὸ ὑπὲρ ‖ ἡγίασας.— 17 σκέπον.—21 τὶς.

νως «Σὺ γὰρ προσκυνητὲ καὶ»: Ὁ λαὸς «Ἀμήν». Ὁ ἱερεὺς «Καὶ ἔσται ἡ χάρις». Ὁ λαὸς «Καὶ μετὰ τοῦ πνεύματός σου». Ὁ διάκονος «Μετὰ φόβου Θεοῦ πρόσχωμεν». Ὁ ἱερεὺς ὑψοῖ τὰ ἅγια λέγων «Τὰ προηγιασμένα δῶρα τὰ ἅγια τοῖς ἁγίοις», καὶ ὁ διάκονος τὴν ἐκτενήν. Ὁ λαὸς «Κύριε ἐλέησον». Κοινωνικόν· «Γεύσασθε καὶ ἴδετε».

Εὐχὴ ὀπισθάμβωνος.

«Βασιλεῦ τῶν αἰώνων καὶ πάσης κτίσεως ὁρατῆς τε καὶ ἀοράτου, δημιουργὲ Χριστὲ ὁ Θεὸς ἡμῶν ὁ ἁφάτῳ οἴκτῳ τῷ πρὸς ἡμᾶς ἑκουσίως ἑαυτὸν κενώσας ἐν τῷ γενέσθαι καθ' ἡμᾶς ἄνευ ἁμαρτίας ἄνθρωπος. μὴ ἐκστὰς δὲ τῶν κόλπων τῶν πατρικῶν, ἀλλ' ἐν τῇ ἀνεκφοιτήτῳ ἰδρύσει τῆς ἰδίας θεότητος καὶ βασιλείας μεμενηκώς, τῆς πτωχῆς ἡμῶν ἐπιλαβόμενος φύσεως ἐφέσει τοῦ ὑπὲρ ἡμῶν παθεῖν καὶ θανεῖν, ἵνα παθῶν τε καὶ θανάτου ἐλευθερώσῃς τὸ γένος ἡμῶν, γεγονὸς ἐξ οἰκείας ἀπροσεξίας κατάκριτον — ἀνέφικτος γὰρ πάθεσιν ὑπῆρχες διὰ θειότητα φύσεως, εἰ μὴ τὸ παθητὸν ἡμῶν ἡμφιάσω καὶ θνητὸν φύραμα ἐθελουσίως— τοιγαροῦν τὸ ἴδιον ἀποφῆναι βουληθεὶς πάθος, ὦ δέσποτα, πρὸς αὐτὸ παραγενόμενος, ῥήματι δυνάμεως τὴν ἄκαρπον συκῆν ἐξήρανας, ἅμα τε καὶ τὴν τῶν Ἰουδαίων ὑπαινιττόμενος ἐξ ἀπιστίας καὶ ἀκαρπίας ἀπώλειαν. Ἀλλ' ἡμᾶς τοὺς προσκυνητὰς καὶ ἐπιγνώμονας τῆς σῆς δεσποτείας ἀξίωσον, Κύριε, πίστιν εἰλικρινῆ καὶ ἀμώμητον ἀψόγοις ἔργοις καὶ ἀρετῆς κατορθώμασιν κομῶσάν σοι καρποφορῆσαι τὴν ὁσμὴν τῶν παθημάτων σου, τοῖς ἡμετέροις ἐντιθεὶς μέλεσιν, ἵνα καὶ κοινωνοὺς παραλάβῃς τῆς δόξης τῆς ἀναστάσεώς σου· ὕψωσον δὲ καὶ τὸ τῶν χριστιανῶν κέρας, καὶ τοῦ συνέχοντος δουλικοῦ ζυγοῦ ἐλευθέρωσον. Εὐλόγησον τὸν σὸν λαὸν τὸν εἰς προσκύνησιν τοῦ σωτηρίου σου σταυροῦ καὶ τῆς ζωοποιοῦ ἐληλυθότα ἐγέρσεως, καὶ τῇ σῇ πάντας ἡμᾶς βασιλείας μετόχους ἀπέργασαι, πρεσβείαις τῆς εὐλογημένης σου μητρός, ἡμετέρας δὲ δεσποίνης, καὶ τῶν ἁγίων ἁπάντων ἐντεύξε-

1 συγαρ. — 3 υψοι. — 10 καθήμας — 12 ιδιας. — 13 μεμενικως. — 14 ὑπερήμων. — 15 οικίας. — 17 εθελουσιον τοιγάρ οὖν. — 18 ἴδιον. 20 ὑπενιττόμενος.

σιν, ὅτι σοῦ ἐστιν ἡ δόξα καὶ ἡ αἰώνιος βασιλεία σὺν τῷ ἀνάρχῳ σου πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς»: —

Καὶ εὐθὺς μετὰ τὴν κοινωνίαν καταβαίνει ὁ πατριάρχης καὶ ψάλλει τὴν παννυχίδα οὕτως. Πρῶτον· "Πρὸς Κύριον ἐν τῷ θλίβεσθαί με" καὶ τροπάρια ἦχου πλαγίου α'· «Ὡς οἰκτίρμων, Κύριε, σπλαγχνίσθητι· Ὡς μακρόθυμος διαλάγηθι καὶ ἐλέησον». Δεύτερον· «Ἦρα τοὺς ὀφθαλμούς μου»: Τροπ. «Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς»: Τρίτον· «Εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι»: Τροπ. «Τὰ πλήθη τῶν πεπραγμένων μοι»: — Καὶ μετὰ τὰ ἀντίφωνα ταῦτα ἄρχονται τὸν ν'· «Ἐλέησον ὁ Θεὸς»: καὶ θυμιάζει τὸν Ἅγιον Τάφον καὶ ὅλον τὸν ναόν, καὶ εὐθὺς προκείμενον ἦχος δ'· «Ἐπάκουσον ἡμᾶς ὁ Θεὸς ὁ σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων». Στίχ. «Σοὶ πρέπει ὕμνος ὁ Θεὸς ἐν Σιών». Τὸ «Πᾶσα πνοή». Εὐθὺς ὁ πατριάρχης τὸ εὐαγγέλιον εἰς τὴν παννυχίδα ταύτην. Ἐκ τοῦ κατὰ Μᾶρκον ἁγίου εὐαγγελίου τὸ (ἀνάγνωσμα, οὗ ἡ ἀρχή· «Καὶ τῇ ἐπαύριον ἐξελθόντων αὐτῶν ἀπὸ Βηθανίας, ἐπείνασεν· καὶ ἰδὼν συκὴν μακρόθεν ἔχουσαν φύλλα» κτλ. Τέλος· «οὐδὲ ὁ πατὴρ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς ἀφήσει ὑμῖν τὰ παραπτώματα ὑμῶν").

Εὐθὺς τροπάριον· ἦχος βαρύς.

Ὡς τὴν συκῆν τὴν ἄκαρπον
μὴ ἐκκόψῃς με, Χριστέ, τὸν ἁμαρτωλόν·
ἀλλ' ἐπὶ πολλῷ τῷ ἔτει | συγχώρησίν μοι δώρησαι,
ἀρδεύων μου τὴν ψυχὴν | τοῖς δάκρυσιν τῆς μετανοίας,
ἵνα καρπὸν προσενέγκω σοι ἐλεημοσύνης.

Δόξα.

Εἰρήνευσον πρεσβείαις τῆς Θεοτόκου
τὴν ζωὴν ἡμῶν | τῶν βοώντων σοι
"ἐλεήμων, Κύριε, δόξα σοι".

Ὁ διάκονος τὸ «Κύριε ἐλέησον» δωδεκάκις καὶ ἀπολύει.

8 ἦρα. — 11 θυμιάζῃ. — 15 πνοὴ. — 16 καταμάρκου. — 24 πολῷ. — 29 βοῶντων. — 31 τὸ] τὴν || ἀπωλύει.

*

ΤΗΙ ΜΕΓΑΛΗΙ ΤΡΙΤΗΙ.

Εἰς τὸν ὄρθρον.

Κάθισμα· τὸ "Ἀλληλούια"· ἦχος πλάγιος δ' εἰς τὸ "Οὕτ(ως) ἐγενήθ(η)μ(εν)".

Ἰδοὺ ὁ νυμφίος ἔρχεται | ἐν τῷ μέσῳ τῆς νυκτός,
καὶ μακάριος ὁ δοῦλος | ὃν εὑρήσει γρηγοροῦντα,
ἀνάξιος δὲ πάλιν | ὃν εὑρήσει ῥαθυμοῦντα·
βλέπε οὖν, ψυχή μου, | μὴ τῷ ὕπνῳ κατενεχθῇς,
ἵνα μὴ τῷ θανάτῳ παραδοθῇς | καὶ τῆς βασιλείας ἀποκλεισθῇς·
ἀλλὰ ἀνάνηψον κράζουσα | "Ἅγιος ἅγιος ἅγιος εἶ ὁ Θεός·
διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς".

Στιχολογία· "Σοὶ πρέπει ὕμνος ὁ Θεὸς ἐν Σιών".

Κάθισμα· ἦχος α' πρὸς τὸ «Τὸν τάφον σου Σωτήρ».

Τὸ βῆμά σου φρικτὸν | καὶ ἡ κρίσις δικαία·
τὰ ἔργα μου δεινά, | ἀλλ' αὐτὸς ἐλεήμων
προφθάσας με διάσωσον | καὶ κολάσεως λύτρωσαι·
ῥῦσαι, δέσποτα· | τῆς τῶν ἐρίφων μερίδος
συναρίθμησον, | τῇ τῶν προβάτων σου ποίμνῃ,
Σωτήρ μου εὐδιάλλακτε.

Εἰς τὸ Δόξα κάθισμα· ἦχος πλ. α'
πρὸς τὸ «Τὸν συνάναρχον λόγον πατρὶ καὶ πνεύματι».

Συντελείας τῶν χρόνων | σήμερον λέγων Σωτὴρ
τοῖς μαθηταῖς διαγράφων | ὡς οὐρανὸς καὶ ἡ γῆ
σαλευθήσονται φησὶν | ἐν τῇ ἐλεύσει σου,
καὶ ἐν θρόνῳ ὡς κριτὴς | πάντων ἐλεύσει φοβερός·
διό σοι πίστει βοῶμεν | "ἐλέησον, ἐλεήμων,
καὶ ῥῦσαι πάντας | πυρὸς γεέννης".

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς. Ὅμοιον.

Τὴν ἀνείκαστον χάριν καὶ εὐσπλαγχνίαν σου
καὶ τὸ ἔνθεον κράτος τῆς δυναστείας σου,

5 μέσον. — 7 ἀνάξιον. — 8 ψυχῆ || κατενεχθεῖς. — 9 παραδοθεὶς || ἀποκληθεὶς. — 14 βήμα. — 17 «ῥῦσαι»· οὕτω πανταχοῦ. — 19 εὐδιάλακτε.

παρθενομῆτορ ἀγαθή, ἐπιστάμενοι
σοὶ βοῶμεν ἐκτενῶς ἐκ πάσης θλίψεως ἡμᾶς
ἐξάρπασον, Θεοτόκε, καὶ ἔμπλησον θυμηδίας
καὶ σωτηρίου ἀπολαύσεως.

Εὐθὺς ἀνάγνωσις τοῦ ἁγίου Ἐφραὶμ περὶ τῆς δευτέρας παρουσίας, καὶ στιχολογία "Ἐπὶ σοί, Κύριε, ἤλπισα".

Κάθισμα· ἦχος δ' πρὸς τὸ « Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ »

Τὸν νυμφίον, ἀδελφοί, | ἀγαπήσωμεν·
τὰς λαμπάδας ἑαυτῶν | εὐτρεπίσωμεν
ἐν ἀρεταῖς ἐκλάμποντες | καὶ πίστει ὀρθῇ,
ἵνα ὡς αἱ φρόνιμοι | τοῦ Κυρίου παρθένοι
ἕτοιμοι εἰσέλθωμεν | σὺν αὐτῷ εἰς τὸν γάμον·
ὁ γὰρ νυμφίος δῶρον ὡς Θεὸς | πᾶσι παρέχει
τὸν ἄφθαρτον στέφανον.

Εἰς τὸ Δόξα ἦχος πλάγιος δ' πρὸς τὸ « Τὴν σοφίαν ».

Τὴν ἡμέραν ἐκείνην | τὴν φοβερὰν
ἐννοοῦσα, | ψυχή μου, γρηγόρησον
ἀνάπτουσα λαμπάδας σου, | ἐν ἐλαίῳ φαιδρύνουσα·
οὐ γὰρ οἶδας πότε | πρὸς σὲ ἐπελεύσεται
ἡ φωνὴ ἡ λέγουσα | "ἰδοὺ ὁ νυμφίος"·
βλέπε οὖν, ψυχή μου, | μὴ νυστάξῃς καὶ μείνῃς
ἔξωθεν κραυγάζουσα ὡς αἱ πέντε παρθένοι·
ἀλλὰ ἄγρυπνος καρτέρησον,
ἵνα ὑπαντήσῃς Χριστῷ ἐν ἐλαίῳ πίονι
καὶ δώῃ σοι τὸν νυμφῶνα τὸν θεῖον τῆς δόξης αὐτοῦ.

Καὶ νῦν. Σὲ καὶ τεῖχος καὶ λιμένα.

Εὐθὺς ἀνάγνωσις τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου περὶ τῶν δέκα παρθένων. Στιχολογία· "Προσέχετε λαός μου".

Κάθισμα· ἦχος πλάγιος δ'· ἰδιόμελον.

Πρὸ τῆς ἀποφάσεως, Κύριε,
συγχώρησίν μοι δώρησαι ὧν ἔπραξα
ἵνα κἀγὼ συνεισέλθω εἰς τὸν νυμφῶνα

1 παρθενομῆτωρ ἀγαθῇ.—3 ἐξ ἅρπασον || θυμηδίας.—8 νυμφίον] νυμφῶνα.—9 εὐτρεπήσωμεν. — 11 φρόνημοι.—12 αἱ ἐκδ. «τοὺς γάμους».—13 παρέχων. — 18 λαμπάδασου· ἐνελαίω. — 20 φωνῇ || ἰδοὺ. — 21 ψυχῇ. — 24 πίωνι.

μετὰ τῶν πιστῶν καὶ φρονίμων παρθένων
καὶ εὕρω τὸ μέγα ἔλεος
καὶ τῶν ἀγγέλων ψάλλω σοι τὸν ὕμνον
" ἀλληλούϊα ".

Εἰς τὸ Δόξα... καὶ νῦν.

Ἡ νοητὴ πύλη τῆς ζωῆς, ἄχραντε Θεοτόκε,
τοὺς προστρεχοντάς σοι πιστῶς | λύτρωσαι τῶν κινδύνων,
ὅτι δοξάζομεν πανάγιον τόκον σου | εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Εὐθὺς τὸ «Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεος σου».

Τροπάριον· ἦχος πλάγιος β'.

Τὰ πλήθη τῶν πεπραγμένων μου δεινῶν
ἐννοῶν ὁ τάλας | τρέμω
τὴν φοβερὰν | ἡμέραν τῆς κρίσεως,
ἀλλὰ θαρρῶ εἰς τὸ ἔλεος | τῆς εὐσπλαγχνίας σου·
ὡς ὁ Δαυὶδ βοῶ σοι | " ἐλέησόν με ὁ Θεὸς
κατὰ τὸ μέγα ἔλεος σου ".

Δόξα.

Τὴν ὑπερένδοξον τοῦ Χριστοῦ μητέρα
καὶ τῶν ἀγγέλων ἁγιωτέραν
ἀσιγήτως ὑμνήσωμεν | καρδίᾳ καὶ στόματι
Θεοτόκον αὐτὴν ὁμολογοῦντες,
ὡς Κύριον γεννήσασαν, | Θεὸν σεσαρκωμένον,
καὶ πρεσβεύουσαν ἀπαύστως | ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Εὐθὺς κοντάκιον· ἦχος β' πρὸς τὸ «Τὰ ἄνω ζητῶν».

Τὴν ὥραν, ψυχή, | τοῦ τέλους ἐννοήσασα
καὶ τὴν ἐκκοπὴν | τῆς συκῆς δειλιάσασα
τὸ δοθέν σοι τάλαντον | φιλοπόνως ἔργασαι, ταλαίπωρε,
γρηγοροῦσα καὶ κράζουσα
" μὴ μείνωμεν ἔξω | τοῦ νυμφῶνος Χριστοῦ ".

Ὁ οἶκος.

Τί ῥαθυμεῖς, | ψυχή μου ἀθλία; | τί φαντάζῃ ἀκαίρως;
μεριμνᾷς ἀπρεπῶς | καὶ ἀσχολῇ πρὸς τὰ ῥέοντα·
ὥρα ἐσχάτη | ἐστὶν ἀπάρτι

1 φρονήμων. — 21 ὡμολογοῦντες. — 25 ψυχῆν. — 31 ἐκδ. «ἀθλία ψυχή μου».— 32 ἐκδ. «μεριμνας ανωφελεῖς; τί ἀσχολεῖς».—33 ἐκδ. ρωμ. «ὑστατη ὥρα ἐστὶν ἀπαρτί»· κῶδ. «ἐσχάτι».

καὶ χωρίζεσθαι μέλλομεν τῶν ἐνταῦθα·
ὅμως καιρὸν | κεκτημένη ἀνάνηψον, βόησον
"ἡμάρτηκά σοι, Σωτήρ μου·
μὴ ἐκκόψῃς με ὡς τὴν ἄκαρπον συκῆν"·
καὶ πάντως ὡς εὔσπλαγχνος
οἰκτειρήσει σε βλέπων κραυγάζουσαν
α α
Ν Ν "μὴ μείνωμεν ἔξω τοῦ νυμφῶνος Χριστοῦ".

Εὐθὺς τὸ διώδιον φέρον ἀκροστιχίδα ταύτην· "Τρίτῃ τε". Ἦχος β'.

Ὠδὴ η'.

Τῷ δόγματι | τῷ τυραννικῷ
οἱ ὅσιοι | τρεῖς παῖδες μὴ πεισθέντες
ἐν τῇ καμίνῳ βληθέντες Θεὸν
ὡμολόγουν ψάλλοντες
"εὐλογεῖτε τὰ ἔργα | κυρίου τὸν κύριον".

Ῥαθυμίαν | ἄποθεν ἡμῶν
βαλλώμεθα | καὶ φαιδραῖς ταῖς λαμπάσι
τῷ ἀθανάτῳ νυμφίῳ Χριστῷ
ὕμνοις συναντήσωμεν·
"εὐλογεῖτε τὰ ἔργα | κυρίου τὸν κύριον".

Ἱκανούσθω | τὸ κοινωνικὸν
ψυχῆς ἡμῶν | ἔλαιον ἐν ἀγγείοις,
ὅπως ἐπάλληλων μὴ θέντες καιρὸν
ἐμπορίας ψάλλωμεν·
"εὐλογεῖτε τὰ ἔργα | κυρίου τὸν κύριον".

Τὸ τάλαντον ὅσοι πρὸς Θεοῦ
ἐδέξασθε | ἰσοδύναμον χάριν·
ἐπικουρίᾳ τοῦ δόντος Χριστοῦ
αὐξήσωμεν ψάλλοντες
"εὐλογεῖτε τὰ ἔργα | κυρίου τὸν κύριον".

2 ὅμως] κ. «ὅμος»· ἐκδ. «ἔως» || κ. «βόησον»· ἐκδ. «κράζουσα». — 4 ἐκδ. «ὥσπερ» || συκήν. — 5 κ. «καὶ πάντως»· ἐκδ. «ἀλλ'». — 6 ἐκδ. «κατοικτείρησεν φόβω». — 12 τρισπαῖδες μὴ πισθέντες. — 14 ὁμολόγουν. — 16 ἄπωθεν. — 20 ἐκδ. «εὐλ. βοῶντες τὰ ἔργα κ. τ. κύριον». — 24 ἐμπωρείας. — 27 ισοδύναμον. — 29 ἐκδ. «αὐξήσατε».

Θέσις· «Ῥῆμα τυράννου». Ἄλλο κονδάκιον· ἦχος πλάγιος δ'· ἰδιόμελον καὶ καλεῖται σύνθημα.

Ἰδιόμελον.

Ὁ ποιμὴν ὁ καλὸς | ὁ τὴν ψυχὴν αὐτοῦ θήσας
ὑπὲρ τῶν προβάτων, | σπεῦσον, | σῶσον, ἅγιε, τὴν ποίμνην σου.

Ὁ οἶκος.

Τὸν νοῦν ἀνυψώσωμεν, | τὴν φρένα ὑφάψωμεν,
τὸ πνεῦμα μὴ σβέσωμεν, | τὴν ψυχὴν διαναστῶμεν
καὶ σπουδάσωμεν σχεδὸν | συμπαθεῖν τῷ ἀπαθεῖ·
ἀφήσωμεν πάντα λογισμὸν | πολυμέριμνον
καὶ προσέλθωμεν τῷ ἐν τῷ σταυρῷ·
μολῶμεν πάντες, εἰ δοκεῖ, | ὥσπερ ὁ Πέτρος εἰς τοῦ Καϊάφα αὐλήν·
σὺν αὐτῷ βοήσωμεν Χριστῷ | τὰς τοῦ Πέτρου πάλαι φωνάς,
"κἂν ἐν ξύλῳ ἀνέρχῃ, | κἂν ἐν τάφῳ κατέρχῃ,
μετὰ σοῦ ἔσομαι | καὶ θνήσκομαι καὶ ψάλλω σοι·
α α
Ν Ν σπεῦσον, σῶσον, ἅγιε τὴν ποίμνην σου".

Καὶ ἀνάγνωσις.

Ὠδὴ θ'.

Ἡ τὸν ἀχώρητον Θεὸν | ἐν γαστρὶ χωρήσασα
καὶ χαρὰν | τῷ κόσμῳ κυήσασα,
σὲ ὑμνοῦμεν, | παναγία παρθένε.

Τοῖς μαθηταῖς ὡς ἀγαθὸς | "γρηγορεῖτε" ἔφησεν·
"ἡ γὰρ ὥρα | ἥξω ὁ κύριος,
ἀγνοεῖτε | ἀποδοῦναι ἑκάστῳ".

Ἐν τῇ δευτέρᾳ σου φρικτῇ | παρουσίᾳ, δέσποτα,
δεξιοῖς | προβάτοις με σύνταξον,
τῶν πταισμάτων | παρορῶν μου τὰ πλήθη.

Θέσις· «Ψυχαῖς καθαραῖς». Εὐθὺς ἐξαποστειλάριον· ἦχος πλάγιος δ'. «Τὸν νυμφῶνά σου βλέπω» κτλ.

Ἐξαποστειλάριον πρὸς τὸ «Τοῖς μαθηταῖς συνελθωμεν».

Ἡ σάλπιγξ ᾠδὴ ἤχησεν, | ἡ κρίσις ἐπὶ θύραις·
σπεῦσον, ψυχή, καὶ στέναξον·

1 θέσης· ρῆμα. — 2 σύθημ(α). — 4 αὐτοῦ. — 10 πολυμέρημνον. — 11 προσήλθωμεν. — 12 εἰ] ἡ. — 13 φωνάς. — 14 κἂν... κἂν. — 23 ἡγὰρ ὥρα ἥξω. — 27 ἐκδ. «παριδών». — 31 σάλπιξ || θύρες. — 32 ψυχή.

φρίξον ὅτι ὑπάρχεις | τῆς τῶν ἐρίφων μερίδος·
οἴμοι, ὅτι τὴν σάρκα | καὶ τὴν ψυχὴν ἐμόλυνα·
οἴμοι, ὅτι τὸ πῦρ με | καὶ ὁ βρυγμὸς
τῶν ὀδόντων δέχεται ἐν τῇ κρίσει!
Κριτὰ Θεέ, ὁ πλάστης μου, | δωρεάν με σὺ σῶσον.

Θεοτοκίον.

Δέσποινα πάντων δέσποινα, | πρόφθασον ἐν ἀνάγκαις,
πρόφθασον ἐν ταῖς θλίψεσι, | πάρεσο ἐν τῇ ....τῆς τελευταίας ἀνάγκης,
μὴ Σατὰν ἡμᾶς λάβῃ, | μὴ ἄλωσῃ μὴ ἀπω . . .
ἀλλ' ἐν θρόνῳ υἱοῦ σου | τῷ φοβερῷ
ἀνευθυν .... ταν . . . [ἡ]μᾶς στῆσον, | ὦ Θεοτόκος·
πάντα γὰρ | ὅσα θέλεις ἀνύεις.

Στιχηρὰ εἰς τοὺς αἴνους· ἦχος β', ἰδιόμελα.

Ὁ τῇ ψυχῇς ῥαθυμία | νυστάξας
οὐ κέκτημαι, | νυμφίε Χριστέ,
καιομένην λαμπάδα τὴν ἐξ ἀρετῶν,
καὶ νεάνισιν ὁμοιώθην μωραῖς
ἐν καιρῷ τῆς ἐργασίας ῥεμβόμενος·
τὰ σπλάγχνα τῶν οἰκτιρμῶν σου
μὴ κλείσῃς μοι, δέσποτα·
ἀλλ' ἐκτινάξας μου τὸν ζοφερὸν
ὕπνον ἐξανάστησον
καὶ ταῖς φρονίμοις συνεισάγαγε παρθένοις
εἰς νυμφῶνα τὸν σόν,
ὅπου ἦχος | καθαρῶς ἑορταζόντων
καὶ βοώντων ἀπαύστως | " Κύριε, δόξα σοι ".

Ὅμοιον ἦχος β'.

Ὅταν ἔλθῃς μετ' ἀγγέλων | ἐν δόξῃ δυνάμεως,
οἰκτίρμων Χριστέ, | δικαιοσύνης ἐν θρόνῳ καθήμενος
τοῦ διακρῖναι | παγγενεὶ τοὺς βροτούς
καὶ ἑκάστῳ ἀποδοῦναι, ὡς ἔπραξεν,
ἐρίφοις εὐωνύμοις | μὴ συμπαραστήσῃς με·

1 φρίξον. — 2 οἴμοι. — 5 κριτὰι. — 8 πάρεσο . . . . ἀνύεις] ταῦτα μεταγενεστέρα χεὶρ ἐπέγραψε, τοῦ ἀρχαίου κειμένου ἀποξεσθέντος | πάρεσω || τελευτέας ἀνάγκης. — 9 λάβει || μἠαλωσιμὴ ἀπόλεια. — 14 τῆς ψυχῆς ῥαθυμίας. — 20 με.—23 φρονήμοις. — 26 βοῶντων. — 28 ὅταν || μετὰγγέλων. — 30 παγγενεῖ.

ἀλλ' ἐκκαθάρας με τοῦ χαλεποῦ | αἴσχους τῶν πταισμάτων μου
τοῖς δεξιοῖς σου προβάτοις συγκαταρίθμησον,
εἰς τὸν κλῆρον, ἀγαθέ, τῆς βασιλείας σου
συνεισάγων βοῶντα, | "Κύριε δόξα σοι".

Ὅμοιον.

Τοῖς δεξιοῖς με προβάτοις | συντάξαι ἀξίωσον,
οἰκτίρμων Χριστέ, | ὅταν ἔλθῃς ἀστράπτων ἐν δόξῃ πολλῇ
μετ' ἀγγέλων στρατευμάτων | κριτὴς φοβερός
ἐπὶ σῷ θρόνῳ καθήμενος·
εἰσπράττων δὲ παραθήκην | σὺν κέρδει ταλάντων σου
μὴ κατακρίνῃς με ὡς ὀκνηρὸν | δοῦλόν σου καὶ ῥαθυμον,
ἀλλὰ πιστοῖς σου οἰκέταις συγκαταρίθμησον,
ὅπου φωνή, | ἀγαθέ, τῆς εὐλογίας
εἰς τὴν δόξαν εἰσάγει | τῆς βασιλείας σου.

Εἰς τὸ Δόξα ἦχος δ'.

Τοῦ κρύψαντος τὸ τάλαντον
τὴν κατάκρισιν ἀκούσασα, ψυχή,
μὴ κρύπτε τὸ χάρισμα·
κατάγγελε τὰ θαυμάσια αὐτοῦ,
ἵνα πλεονάσασα τὸ χάρισμα
εἰσέλθῃς εἰς τὴν χαρὰν τοῦ Κυρίου σου.

Εἶτα "Δόξα ἐν ὑψίστοις Θεῷ". Ὁ διάκονος "Σοφία". Προκείμενον ἦχος δ'· "Δίκασον, Κύριε, τοὺς ἀδικοῦντάς με πολε": Στίχ. "Γενηθήτω ἡ ὁδὸς αὐτῶν σκότος". Ὁ ἀναγνώστης τῆς Ἐξόδου τὸ ἀ· ἄγνωσμα· «Εἶπεν Κύριος πρὸς Μωσῆν καταβὰς διαμάρτυρε τῷ λαῷ καὶ ἅγνισον» κτλ. Τέλος· «τὸ δὲ ὄρος τὸ Σινὰ ἐκαπνίζετο ὅλον διὰ τὸ καταβεβηκέναι τὸν Θεὸν ἐπ' αὐτοὺς ἐν πυρί». — Παροιμιῶν τὸ ἀνάγνωμα· «Ὦ οἱ ἐγκαταλιπόντες ὁδοὺς εὐθείας τοῦ πορεύεσθαι ἐν ὁδοῖς σκότους» κτλ. Τέλος· «ἄκακοι δὲ ὑπολειφθήσονται ἐν αὐτῇ». Προφητείας Ὡσηὲ τὸ ἀνάγνωσμα. Ἀρχ. «Ἀκούσατε λόγον Κυρίου». Τέλος· «τοῦ ἱερατεύειν μοι λέγει Κύριος παντοκράτωρ». Προκείμενον ἦχος πλάγιος β'· "Ἀναστάντες μοι

10 συνκέρδη. — 11 δούλον. — 13 φωνῆ. — 18 κρύπται. — 20 ἐκδ. «πλεονάζουσα». — 24 γενηθήτ(ω). — 25 μωσῆν. — 28 ὦ| ὤ.

μάρτυρες ἄδικοι, ἃ οὐκ ἐγίνωσκον ἠρώτων με". Στίχ. "Ἀνταπεδίδωσάν μοι πονηρὰ ἀντὶ ἀγαθῶν καὶ ἀτεκνίαν τὴν". Ὁ δὲ δεύτερος τῶν διακόνων ἀναγινώσκει ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου εὐαγγελίου· «Τότε πορευθέντες οἱ Φαρισαῖοι συμβούλιον ἔλαβον» κτλ. Τέλος· «λίθος ἐπὶ λίθον· καὶ ταῦτα ἀκούσαντες οἱ μαθηταὶ ἐθαύμασαν καὶ ἐδόξασαν τὸν Θεόν». Εὐθὺς τὸ "Καταξίωσον Κύριε" καὶ ὁ διάκονος τὴν αἴτησιν, καὶ ἐξελθόν(τες) εἰς τὸ Ἅγιον Κρανίον ψάλλομεν τροπάριον· ἦχος βαρύς.

Ἰδοὺ σοι τὸ τάλαντον ὁ δεσπότης | ἐμπιστεύει, ψυχή·
φόβῳ | δέξαι τὸ χάρισμα, | δάνεισαι τῷ δεδωκότι,
διάδος πτωχοῖς | καὶ κτῆσαι φίλον τὸν Κύριον,
ἵνα στῇς ἐκ δεξιῶν αὐτοῦ | ὅταν ἔλθῃ ἐν δόξῃ
καὶ ἀκούσῃς | μακαρίας φωνῆς
"εἴσελθε, δοῦλε, | εἰς τὴν χαρὰν τοῦ Κυρίου σου".
αὐτῆς ἀξίωσον με, Σωτήρ,
τὸν πλανηθέντα | διὰ τὸ μέγα σου ἔλεος.

Δόξα... καὶ νῦν. Θεοτόκιν· ἦχος βαρύς.

Θεοτόκε δέσποινα, | μῆτερ ἄχραντε ἁγνή,
ἡ τὸν συνάναρχον Λόγον τοῦ πατρὸς | ἀφράστως κυήσασα ἐν γαστρί,
αὐτὸν ἐκτενῶς ἱκέτευε | ὑπὲρ ἡμῶν τῶν ὑμνούντων σε·
ἄλλον καταφύγιον οὐκ ἔχομεν | οἱ πίστει προστρέχοντες τῇ σκέπει σου·
ἀπὸ πάσης περιστάσεως | τὴν ποίμνην σου λύτρωσαι
καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Καὶ εὐθὺς "Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι" καὶ ἡ α' ὥρα, καθὼς ἔμπροσθεν· τὸ "Ἀληλούϊα", "Κύριε εἰσάκουσον", "Χριστὲ τὸ φῶς".

Εἰς τὸ Δόξα ἦχος βαρύς. Θεοτοκίον.

Ὡς ἔχουσα τὸ συμπαθὲς | εἰς τὴν ταπείνωσιν ἡμῶν
καὶ βλέπουσα τοὺς ἐπὶ γῆς | εἰς ἀπερίστατον λαόν,
σπλαγχνίσθητι, εὐλογημένη Θεοτόκε,
ἐπίμεινον πρεσβεύουσα | μὴ ἀπολώμεθα δεινῶς·
δυσώπησον τὸν εὔσπλαγχνον | καὶ εὐδιάλλακτον Θεὸν
σωθῆναι τὰς ψυχὰς ἡμῶν | ἀπὸ πάσης ἀνάγκης.

2 ανταπεδίδωσαμμοι. — 7 ἐξελθῶν. — 8 ψαλλον. — 20 υμνουντων. — 21 ουκεχωμεν. — 25 καθῶς. — 32 εὐδιαλακτον.

Τροπάριον· ἦχος α'.

Τοῖς ἀμέτρως πταίουσι | πλουσίως συγχώρησον, Σωτήρ· ἀξίωσον ἡμᾶς | ἀκατακρίτως προσκυνῆσαί σου τὴν ἁγίαν ἀνάστασιν, | πρεσβείαις τῆς ἀχράντου σου μητρός, μόνε πολυέλεε.

Ψαλμὸς τῷ Δαυὶδ ρκθ'. «Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις». Στίχ. «Ἐκ βαθέων ἐκέκραξα σοι Κύριε». Προφητείας Ἰεζεκιὴλ τὸ ἀνάγνωσμα (α', 21). Ἀρχ. «Ἐν τῷ πορεύεσθαι τὰ ζῶα ἐπορεύοντο καὶ οἱ τροχοί». Τέλος· «τοῦ φέγγους κύκλοθεν· αὕτη ἡ ὅρασις ὁμοιώματος δόξης Κυρίου». Ψαλμὸς τῷ Δαυὶδ ρλ' ἦχος δ'· «Ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ». Στίχ. "Κύριε, οὐχ ὑψώθη ἡ καρδία". Καὶ εὐθὺς "Τὰ διαβήματα" καὶ ἀπολύ(ουσι). Στιχολογία εἰς τὴν τριτέκτην· "Κλῖνον" καὶ "Ἀγαθόν". Ἐν ταύτῃ δὲ τῇ ἡμέρᾳ ἀναγινώσκει ὁ δευτερεύων τὸ κατὰ Λουκᾶν εὐαγγέλιον εἰς τὸ τετραευαγγέλιον, καθώσπερ καὶ τῇ Δευτέρᾳ ἐποιήσαμεν.

Ὥρα ἐνάτη ἀναβαίνει ὁ πατριάρχης σὺν τῷ κλήρῳ καὶ τῷ λαῷ εἰς τὸ ἅγιον ὄρος τῶν Ἐλαιῶν, κακεῖθ(ι) ἐπιτελεῖ τὴν ἀκολουθίαν καὶ ἀναγινώσκει ὁ πατριάρχης τὸ εὐαγγέλιον, καθὼς καὶ ὁ Κύριος ἡμῶν ἐνετείλατο τοῖς μαθηταῖς αὐτοῦ, καὶ ψάλλομεν τὴν θ' ὥραν ἀσματικῶς. Καὶ μετὰ τὸ «Ὁ ἐν τῇ ἐνάτῃ ὥρᾳ» καὶ «Ὁ δι' ἡμᾶς γεννηθείς», ὁ ψάλτης ψαλμὸν τῷ Δαυὶδ ρλα'· ἦχος πλάγιος β'· «Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσιν». Στίχ. "Μνήσθητι, Κύριε, τῶ". Τῆς Ἐξόδου τὸ ἀνάγνωσμα (β', 5). Ἀρχ. «Κατέβη ἡ θυγάτηρ Φαραὼ λούσασθαι ἐπὶ τὸν ποταμόν». Τέλος· «ἐπωνόμασεν δὲ τὸ ὄνομα αὐτοῦ Μωσῆν, λέγουσα ἐκ τοῦ ὕδατος αὐτὸν ἀνειλόμην». Ψαλμὸς τῷ Δαυὶδ ρλβ' ἦχος δ'· «Ἰδοὺ δὴ τί καλὸν ἢ τί τερπνόν». Στίχ. «Ὡς μύρον ἐπὶ κεφαλῆς τὸ καταβαῖνον». Ἰὼβ τὸ ἀνάγνωσμα (α', 13)·

2 ἀμέτροις || συγχώρισον. — 7 σε. — 8 ιεζεκιήλ. — 14 κλίνον || ταῦτ(ῃ). — 16 καθῶσπερ. — 17 ἐννάτ(ῃ) || τὸν λα(ὸν). — 18 ἐπιτελῆ. — 21 ἐννάτ(ῃ). — 22 διήρας. — 29 μῦρον ἐπικεφαλ(ῆς) τον.

«Ἐγένετο ὡσεὶ ἡ ἡμέρα αὕτη καὶ οἱ υἱοὶ Ἰὼβ καὶ αἱ θυγατέρες αὐτοῦ ἤσθιον». Τέλος· «καὶ οὐκ ἔδωκεν ἀφροσύνην τῷ Θεῷ». Εὐθὺς "Μὴ δὴ παραδώῃς". Εἶτα τὸν ἑσπερινόν. Στιχολογία τὰ «Πρὸς Κύριον».

Στιχηρὰ εἰς τὸ "Κύριε ἐκέκραξα" ἰδιόμελα.

Ἦχος πλάγιος β'.

Δεῦτε, πιστοί, ἐπεργασώμεθα | προθύμως τῷ δεσπότῃ·
νέμει γὰρ τοῖς δούλοις τὸν πλοῦτον | καὶ ἀναλόγως ἕκαστος
πολυπλασιάσωμεν | τὸ τῆς χάριτος τάλαντον·
ὃ μὲν | σοφίαν κομιείτω | δι' ἔργων ἀγαθῶν,
ὃ δὲ | λειτουργίαν λαμπρότητι ἐπιτελείτω,
κοινωνείτω δὲ τοῦ λόγου | ὁ πιστὸς τῷ ἀμυήτῳ
καὶ σκορπιζέτω τὸν πλοῦτον | πένησιν ἄλλος·
οὕτω γὰρ τὸ δάνειον, πολυπλασιάσομεν
καὶ ὡς οἰκονόμοι πιστοὶ τῆς χάριτος
δεσποτικῆς χαρᾶς ἀξιωθείημεν·
αὐτῆς ἡμᾶς καταξίωσον, Χριστὲ ὁ Θεός, ὡς φιλάνθρωπος.

Ἄλλο· ἦχος πλάγιος β'.

Ὁ νυμφίος ὁ κάλλει ὡραῖος | παρὰ πάντας ἀνθρώπους,
ὁ συγκαλέσας ἡμᾶς | πρὸς ἑστίασιν πνευματικὴν τοῦ νυμφῶνός σου,
τὴν δυσείμονά μου μορφὴν τῶν πταισμάτων
ἀπαμφίασον | τῇ μεθέξει τῶν παθημάτων σου,
καὶ στολὴν δόξης κοσμήσας | τῆς σῆς ὡραιότητος
δαιτυμόνα | φαιδρὸν ἀνάδειξον | τῆς βασιλείας σου, ὡς εὔσπλαγχνος.

Ὅμοιον.

Ὅταν ἔλθῃς ἐν δόξῃ μετ' ἀγγέλων δυνάμεως
καὶ καθίσῃς | ἐν θρόνῳ, | Ἰησοῦ, διακρίσεως,
μή με, πομπὴν ἀγαθέ, διαχωρίσῃς·
ὁδοὺς δεξιὰς γὰρ οἶδας, | διεστραμμέναι δὲ εἰσιν αἱ εὐώνυμοι·
μὴ οὖν ἐρίφοις με | τὸν τραχὺν τῇ ἁμαρτίᾳ συναπολέσῃς,
ἀλλὰ τοῖς ἐν δεξιοῖς συναριθμήσας προβάτοις σῶσόν με, ὡς φιλάνθρωπος.

3 τὸ ἑσπερινόν. — 8 ἕκαστος. — 10 ἐκδ. «κοσμείτω» || ἔργων. — 11 ἐκδ. «λαμπρότητος» || κ. «ἐπιμελείτω». — 12 κοινωνείτο || τῶι λόγω || πιστῶς τῷ ἀμυείτω. — 13 σκορπιζέτο. — 14 οὕτω || πολυπλασιάσωμεν. — 16 ἀξιωθῶμεν. — 21 δυσίμονα. — 23 δόξ ἡ κοσμήσας. — 24 δαιτοιμόνα. — 26 ὅτ ἂν. — 27 καθήσῃς — 28 διαχωρήσῃς. — 29 διεστραμμένα δεεἰσιν. — 31 ἐκδ. «ἐκ δεξιῶν».

Ἄλλα στιχηρά· ἦχος πλάγιος β' πρὸς τὸ «Ἡ ἀπεγνωσμένη διὰ τὸν».

Ὁ Θεὸς ὁ θέλων | πάντας σωθῆναι | ἐπιβλέπων τῇδε | τὴν δέησίν μου
καὶ μή μου τὰ δάκρυα | ὡς μάταια ἀπωσῃ·
τίς γάρ | προσῆλθέν σοι προσκλαίων | καὶ εὐθὺς οὐκ ἐσώθη;
τίς δὲ | ἐβόησεν θερμῶς σοι | καὶ εὐθὺς οὐκ ἠκούσθη;
καὶ γάρ, δέσποτα, | ταχὺς εἰς σωτηρίαν
εὑρίσκει πᾶσι τοῖς αἰτοῦσί σε | διὰ | τὸ μέγα ἔλεος σου.

Ὅμοιον.

Τὸ ὀλίγον βλέπω | τῶν ἐμῶν χρόνων | καὶ ὁρῶ τὸ πλῆθος τῶν ἐγκλημάτων·
βυθῷ ἀπογνώσεως | συμπνίγομαι ὁ τάλας·
πῦρ γάρ | τὸ ἄσβεστον ἐκεῖθεν τοὺς ἀνόμους προσμένει·
σκώληξ | ἀκοίμητα κολάζων | καὶ βρυγμοὺς τῶν ὀδόντων·
ἀλλά, Κύριε, | αὐτῶν με ῥῦσαι
καὶ τῆς μελλούσης βασιλείας ἀξίωσον | διὰ | τὸ μέγα σου ἔλεος.

Ὅμοιον.

Ὦ τῆς τῶν ἁγίων | χαρᾶς καὶ τρυφῆς, | ὦ τῆς τῶν δικαίων | ἀγείρω ζωῆς!
ἐν οἷς με κατάταξον, | Χριστέ, ὡς εὐεργέτης,
λύων | τοὺς τῶν ἁμαρτιῶν μου | δεσμοὺς πρὸ τοῦ θανάτου,
πύλας | ἀνοίγων παραδείσου | ὡς τῷ πιστῷ λῃστῇ σου,
ὅταν μέλλεις με | τοῦ ἐνεστῶτος
βίου τῇ σῇ κελεύσει, φιλάνθρωπε, | ἀπο | δημῆσαι τὸν δοῦλόν σου.

Εἰς τὸ Δόξα ἦχος β'.

Καθαρίσωμεν ἑαυτούς, ἀδελφοί,
ἀπὸ παντὸς μολυσμοῦ! σαρκὸς καὶ πνεύματος,
τὰς λαμπάδας ἡμῶν φαιδρύνοντες | διὰ φιλανθρωπίας,
μὴ κατεσθίοντες ἀλλήλους | τῇ συκοφαντίᾳ·
ἔρθασεν γὰρ ὁ καιρός,
ὅταν ὁ νυμφίος ἐλεύσεται | πᾶσιν ἀποδοῦναι κατὰ τὰ ἔργα αὐτοῦ·
συνεισέλθωμεν Χριστῷ | μετὰ τῶν φρονίμων παρθένων,
τὴν φωνὴν ἐκείνην τοῦ λῃστοῦ | πρὸς αὐτὸν ἀναπέμποντες
μνήσθητι ἡμῶν, Κύριε, | ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου".

Καὶ εὐθὺς εἰσοδεύει ὁ πατριάρχης καὶ γίνεται καθέδρα, καὶ εὐθὺς ὁ ψάλτης προκείμενον ἦχος πλάγιος β'· «Πρὸς σέ, Κύριε, ἦρα τὴν ψυχήν μου, ὁ Θεός μου». Στίχ. «Μηδὲ καταγελασάτω-

9 ὁρῶ. — 11 προσμένει. — 14 μελούσης. — 16 ὦ... ὦ. — 34 ἦρα τ. ψυχήμ(ου).

σάν με». α' Γενέσεως τὸ ἀνάγνωσμα (ζ', 6-24—η', 1-21)· «Ἐγένετο ἐν τῷ ἑξακοσιοστῷ ἔτει ἐν τῇ ζωῇ τοῦ Νῶε καὶ ὁ κατακλυσμὸς ἐγένετο ἐπὶ τῆς γῆς· εἰσῆλθεν δὲ Νῶε». Τέλος· «καὶ ἀνήνεγκεν ὁλοκάρπωσιν ἐπὶ τὸ θυσιαστήριον, καὶ ὠσφράνθη ὁ Θεὸς ὀσμὴν εὐωδίας». β' Παροιμιῶν τὸ ἀνάγνωσμα (θ')· «Ἡ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον». Τέλος· «καὶ προστεθήσεταί σοι ἔτη ζωῆς». γ' προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα (μ', 9-17)· «Τάδε λέγει Κύριος· Ἐπ' ὄρος ὑψηλὸν ἀνάβηθι ὁ εὐαγγελιζόμενος τὴν Σιών». Τέλος· «καὶ πάντα τὰ ἔθνη εἰς οὐδέν εἰσιν, καὶ εἰς οὐθὲν ἐλογίσθησαν». Καὶ εὐθὺς τὸ «Φῶς ἱλαρόν», καὶ ὁ ψάλτης προκείμενον ἦχος πλάγιος β'· «Ἥρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου». Στίχ. «Ἡ βοήθειά μου παρὰ Κυρίου τοῦ ποιήσαντος. Εὐθὺς ὁ διάκονος λέγει «Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς», καὶ ὁ πατριάρχης τὸ εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου εὐαγγελίου (τὸ ἀνάγνωσμα· κδ', 3-51. κε' καὶ κς' 1-2). Ἀρχ. «Καθημένου τοῦ Ἰησοῦ ἐπὶ τοῦ ὄρους τῶν Ἐλαιῶν». Τέλος· «καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς τὸ σταυρωθῆναι». Καὶ εὐθὺς «Καταξίωσον Κύριε», καὶ λέ(γουσι) τὰ στιχηρά· ἦχος δ' πρὸς τὸ «Ἔδωκας σημείωσιν τοῖς».

Ψυχή μου τὸ τάλαντον | εἰς ἐργασίαν δὲ εἴληφας
ἐμπορεύου· ἐγγίζει γάρ | κριτὴς ὁ ἀλάθητος
σὺν πλουσίῳ τόκῳ | τοῦτο ἀπαιτῆσαι
ὁ διὰ σὲ κατακριθεὶς | ἐπὶ Ποντίου Πιλάτου θάνατον,
ὅπως ἀθανατήσῃ σε | ἐπιμελῶς κάτω νεύουσαν
πρὸς τὰ πάθη τὰ ἀλλότρια, | ἐξ ὧν τάχος ἀνάνευσον.

Στίχ. «Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με».

Κριτὴν δικαιότατον | μόνη ἐκύησας, δέσποινα, | Ἰησοῦν τὸν Θεὸν ἡμῶν·
αὐτὸν οὖν ἱκέτευε | κατακεκριμένον | καὶ ἠπορημένον
ἐν τῇ μελλούσῃ φοβερᾷ | κρίσει, παρθένε, | μὴ κατακρῖναί με,
συντάξαι δὲ τοῖς μέλλουσιν | ἐκ δεξιῶν τούτου ἵστασθαι
ἐκλεκτοῖς διὰ ἔλεος | καὶ πολλὴν ἀγαθότητα.

2 ἔτη.—4 ὀσφράνθη.—7 ἔτη.—11 ἥρα.—12 ἥξει. 20 τὸν τάλαντον.—21 κριτὴς.—22 συμπλουσίῳ. — 27 δικαιώτατον. — 28 κατακεκριμένον || ὑπορρημένον. — 29 μελλούσει φοβερᾷ || κατακρίναι. — 30 ἵστασθαι. — 31 ἐκλεκτούς.

Ἄλλο στιχηρόν· ἦχος β΄ πρὸς τὸ «Ὅτε ἐκ τοῦ ξύλου».

Στίχ. «Ἐλέησόν με ὁ Θεὸς κατὰ».

Ὅτε | ἐπὶ γῆς καὶ οὐρανοῦ | ὁ ἀπροσωπόληπτος ἥξει
τοῦ κρῖναι πᾶσαν πνοήν, | ἕλκει πρὸ τοῦ βήματος
σοῦ ὁ φρικτὸς ποταμὸς | φοβερόν με, ῥιγήματι
πυρὸς τοῦ ἀσβέστου | φλέγων ἀδυσώπητα | τοὺς ἁμαρτήσαντας·
τότε | ἐν τῇ ὥρᾳ τῇ φρικτῇ | φεῖσαί μου ὡς εὔσπλαγχνος μόνος,
τῆς ἐξ εὐωνύμου μοίρας με λυτρούμενος.

Δόξα. Ὅμοιον.

Ἅπαξ | οὐρανός τε καὶ ἡ γῆ | καὶ τὰ ἐν αὐτοῖς τῶν κτισμάτων
τρέμει κριτοῦ τὴν ὀργήν· | φρίττω τὸ ἀπρόσιτον
τῆς παρουσίας αὐτοῦ, | ὅτε βίβλοι ἀνοίγονται
ἐλέγχοντες πράξεις, | κρύφια τοῦ σκότους δὲ | δημοσιεύονται·
φρῖξον, | ὦ ψυχή μου ἀθλία, | καὶ πρὸς τὰ πρακτέα σου βλέπων
καὶ ἐν μετανοίᾳ τοῦτον ἐξιλέωσαι.

Καὶ νῦν καὶ ἀεί.

Τὴν πᾶσαν ἐλπίδα μου | εἰς σὲ ἀνατίθημι, | μῆτερ τοῦ φωτός·
φύλαξόν με | ὑπὸ τὴν σκέπην σου.

Καὶ ὁ διάκονος τὴν αἴτησιν· Ὁ ἱερεὺς ἐκφώνως «Ὅτι πρέπει». Καὶ ὁ διάκονος ὁ ἐπὶ τοῦ ἄμβωνος λέγει πρὸς τοὺς κατηχουμένους· «Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε». Καὶ ὁ ἱερεὺς τὴν εὐχὴν τῶν κατηχουμένων· «Εὐλόγησον νῦν, Κύριε, τοὺς δούλους σου τοὺς κατηχουμένους, οὓς προσεκαλέσω κλήσει ἁγίᾳ» κτλ. (ὁρα σ. 48). Ἐκφωνεῖ «Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν». Καὶ ὁ διάκονος· «Ἐν εἰρήνῃ πορεύεσθε οἱ κατηχούμενοι;—Καὶ ὑμεῖς οἱ πρὸς τὸ φώτισμα τῇ χειροθεσίᾳ προσέλθετε». Εἶτα ὁ διάκονος ὁ κάτωθεν «Κλίνατε», καὶ ὁ ἱερεὺς τὴν εὐχὴν πρὸς τὸ φώτισμα· «Κύριε ἅγιε, ὁ ἐν ὑψηλοῖς» (σ. 48). Ἐκφώνως· «Ὅτι θεὸς ἐλέους». Εἶτα πάλιν ὁ ἐπὶ τοῦ ἄμβωνος διάκονος· «Ἐγείρεσθε». Εἶτα πάλιν λέγει· «Ἐν εἰρήνῃ πορεύεσθε; — Καὶ ὑμεῖς οἱ πρὸς τὸ φώτισμα

3 ἀπροσωπόλειπτος ἥξει. — 4 ἕλκει. — 5 ὁ φρ. π. φ. μὲν ῥιζήματι. — 7 φρικτῇ. φεῖσαί μου. — 13 ἐλέγχον τε. — 14 φρῖξον || πρακταῖα. — 15 ἐξιλαίωσαι. — 19 εὐχὴν τοὺς. — 22 δούλοσσου. — 26 προσέλθατε.

τῶν κατηχήσεων μνημονεύοντες, σπουδαίως συνάγεσθε». Καὶ ὁ κάτωθεν διάκονος «Προσέλθετε». Ὁ ἱερεὺς ἐκφώνως· «Ὅτι πρέπει πᾶσα». Ὁ διάκονος· «Ἐν εἰρήνῃ Χριστοῦ ψάλατε. «Καὶ εἶθ' οὕτως λιτ(ανεύομεν) ἐπὶ τὴν Ἁγίαν Ἀνάστασιν ψάλλοντες· ἦχος βαρύς· «Ἰδού σοι τὸ τάλαντον» κτλ. (ὅρα σελ. 59).

Εἶτα Δόξα· ἦχος β'· τὸ κοντάκιον.

Τὴν ὥραν, ψυχή, | τοῦ τέλους ἐννοήσασα | καὶ τὴν ἐκκοπὴν
τῆς συκῆς δειλιάσασα, | τὸ δοθέν σοι τάλαντον
φιλοπόνως ἔργασαι, ταλαίπωρε, | γρηγοροῦσα καὶ κράζουσα
"μὴ μείνωμεν ἔξω | τοῦ νυμφῶνος Χριστοῦ".

Εὐθὺς «Κατευθυνθήτω», τὸ «Νῦν ἀπολύεις», τρισάγιον, τὸ «Κύριε ἐλέησον» μ'. Ὁ διάκονος· «Μή τις τῶν κατηχουμένων». Οἱ ψάλται «Νῦν αἱ δυνάμεις». Καὶ μετὰ τὸ πληρῶσαι, λέγει ὁ διάκονος «Ἐν σοφίᾳ Θεοῦ!—Πρόσχωμεν». Ὁ ἱερεὺς «Πιστεύω εἰς ἕνα Θεόν». Καὶ μετέπειτα ὁ διάκονος «Στῶμεν καλῶς· ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν». Ὁ ἱερεύς· «Καὶ δὸς ἡμῖν εὐπρόσδεκτον γενέσθαι». Ὁ λαός· «Πάτερ ἡμῶν». Ὁ διάκονος «Τὰς κεφαλὰς ὑμῶν». Ὁ ἱερεύς· «Σοὶ γὰρ προσκυνοῦμεν». Ὁ λαός· «Ἀμήν». Ὁ ἱερεύς· «Καὶ ἔσται ἡ χάρις». Ὁ διάκονος· «Μετὰ φόβου Θεοῦ». Ὁ ἱερεὺς ὑψοῖ τὰ ἅγια λέγων «Τὰ προηγιασμένα δῶρα, τὰ ἅγια τοῖς ἁγίοις», καὶ ὁ διάκονος ἐκτενήν. Κοινωνικόν· «Ἄρτον οὐρανὸν καὶ ποτήριον ζωῆς γεύσασθε καὶ ἴδετε, ὅτι Χριστὸς ὁ Κύριος». Στίχ. «Μακάριος ἀνήρ, ὃς ἐλπίζει ἐπ' αὐτόν· | ἄρτον ἀδαπάνητον | καὶ αἷμα σωτήριον | γεύσασθε καὶ ἴδετε ὅτι Χριστὸς ὁ Κύριος».

Εὐχὴ τῆς ἀπολύσεως.

«Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πρὸς τὴν παροῦσαν ἡμᾶς ἀφικέσθαι καταξιώσας τοῦ πάθους σου ἡμέραν, δι' οὗ ἐλυτρώσω τοῦ κατηφοῦς τῆς ἁμαρτίας σκότους τὸ ἀσθενὲς ἡμῶν τῶν ἁμαρτωλῶν γένος, ὑπὸ τοῦ διαβόλου πάλαι ἀλώσιμον γεγονός,

2 προσέλθατε. — 14 προσχῶμεν. — 18 ἡμῶν || σοι. — 20 ὑψοῖ. — 22 ἄρτον. — 30 ἀλώσιμον.

αὐτὸς καὶ νῦν, φιλάνθρωπε Κύριε, ἱκάνωσον ἡμᾶς δι' ἐντεύξεως ἀκριβοῦς καὶ ἀρετῶν ἐπικτήσεως, γρηγοροῦντας ἐγκάρπως τε καὶ τῶν σῶν ἐντολῶν μεμνημένους καὶ τὰ τῶν ἡμετέρων ψυχῶν ἀγγεῖα τῆς τοῦ ἐλαίου μὴ δεδημένα παραπληρώσεως ἔχοντας, ταῖς φρονίμοις παρθένοις ταῖς πολυπλασιασάσαις σοι τὸ ἐμπιστευθὲν αὐταῖς τάλαντον καὶ παντοδαπαῖς ἀρετῶν ἰδέαις καταφαιδρυνάσαις συνελθεῖν ἀνυστάκτως καὶ ἀρραθύμως εἰς τὴν ἄφραστον ἀπόλαυσιν τοῦ νυμφῶνος, τῆς βασιλείας σου, καὶ ἀκοῦσαι τῆς μεγάλης ἐκείνης καὶ εὐκταίας φωνῆς λεγούσης "δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου· κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν", ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ ἀχράντου καὶ ἀθανάτου σου πατρός, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων».

Καὶ εὐθὺς ὁ πατριάρχης ἄρχεται τῆς παννυχίδος. Προκείμενον ἦχος πλάγιος β'· «Μακάριος ἀνὴρ ὁ φοβούμενος». Στίχ. «Δόξα καὶ πλοῦτος ἐν τῷ». Εἶθ' οὕτω τὸ «Πᾶσα πνοή». Ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου εὐαγγελίου τὸ ἀνάγνωσμα (ιβ', 35—59) «Εἶπεν ὁ Κύριος· ἔστωσαν αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι». Τέλος· «ἕως οὗ καὶ τὸ ἔσχατον λεπτὸν ἀποδῶς»· Εὐθὺς τροπάριον· ἦχος πλάγιος δ'. «Ὡς φοβερὰ ἡ κρίσις σου, Κύριε». Δόξα... καὶ νῦν. «Δέσποινα, δέσποινα, ὅταν με στήσῃ γυμνὸν ὁ υἱός σου καὶ κρίνῃ με». Καὶ τὸ «Κύριε ἐλέησον» γ' καὶ ἀπολύει.

ΤΗΙ ΑΓΙΑΙ ΚΑΙ ΜΕΓΑΛΗΙ ΤΕΤΑΡΤΗΙ.

Εἰς τὸν ὄρθρον· κάθισμα εἰς τὸ Ἀλληλούια· ἦχος πλάγιος δ'. "Ἰδοὺ ὁ νυμφίος ἔρχεται" κτλ. Εὐθὺς στιχολογία· "Κύριε εἰσάκουσον τῆς προσευχῆς μου". Κάθισμα ἦχος β', πρὸς τὸ «Τὰ ἄνω ζητῶν».

6 ειδέαις. — 15 παννυχίδος. — 22 στήσει γυμνός. — 23 κρίναι.

Ὡς μύρον σεπτὸν | καὶ θεῖον καὶ ἀτίμητον
τῆς πόρνης, Χριστέ, | τὸ μύρον δέχῃ σήμερον·
τῶν ποδῶν φιλήματι | τὸ δυσῶδες καθαίρεις τῶν πράξεων·
σὺν αὐτῇ οὖν, μόνε Σωτήρ, | τοὺς πόθῳ τιμῶντάς σε | οἰκτείρησον.

Εἰς τὸ Δόξα... καὶ νῦν ἦχος β'.

Προσδέξαι, Κύριε, τὴν δέησιν ἡμῶν, | ὡς προσεδέξω Ἀβραὰμ τὴν θυσίαν
καὶ Πέτρου τὴν μετάνοιαν, | τοῦ τελώνου τὸν στεναγμὸν
καὶ τῆς πόρνης τὰ δάκρυα, | τῶν μυροφόρων γυναικῶν τὰ θυμιάματα,
τοῦ λῃστοῦ τὴν ὁμολογίαν ἐπὶ τοῦ σταυροῦ,
καὶ ἐπάκουσον ἡμῶν ἐν ἡμέρᾳ θλίψεως·
τῶν βαρβάρων τὴν ἐπανάστασιν | ἐν τάχει κατάβαλε
καὶ σῶσον τὸν κόσμον σου, | πρεσβείαις τῆς Θεοτόκου
καὶ πάντων τῶν ἁγίων σου, | μόνε φιλάνθρωπε.

Εὐθὺς ἀνάγνωσις περὶ τῆς πόρνης καὶ στιχολογία· «Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθόν». Κάθισμα ἦχος γ'. πρὸς τὸ «Τὴν ὡραιότητα τῆς παρθένου».

Πόρνη προσῆλθέν σοι | μύρον σὺν δάκρυσιν
κατακενοῦσα σοῖς | ποσίν, φιλάνθρωπε,
καὶ δυσωδίας τῶν κακῶν | λυτροῦται τῇ κελεύσει σου·
πνέων δὲ τὴν χάριν σου | μαθητὴς ὁ ἀχάριστος,
ταύτην ἀποβάλλεται | καὶ βορβόρῳ συμφύρεται,
φιλαργυρίᾳ ἀπεμπολῶν σε· | δόξα, Χριστέ, τῇ εὐσπλαγχνίᾳ σου.

Ἄλλο εἰς τὸ Δόξα· ἦχος γ' πρὸς τὸ «Θείας πίστεως».

Βουλευτήριον παρανομίας | συναθροίζεται
τοῦ Καιάφα | ἐν τῇ αὐλῇ, τοῦ θανατῶσαί σε, Κύριε,
τὸν μαθητὴν καὶ προδότην σου, δέσποτα,
ὡς συνεργὸν πονηρὸν ἐπαγόμενον,
ὃν διήλεγξας, | δεινῶς κατὰ σοῦ κινούμενον,
μὴ θέλοντα λαβεῖν | τὸ μέγα ἔλεος.

Ἄλλο εἰς τὸ Καὶ νῦν· ἦχος δ' πρὸς τὸ «Ὁ ὑψωθεὶς ἐν τῷ».

Τὴν πολυθρήνητον ὁρμὴν τοῦ Ἰούδα
καὶ τὴν ἀνήμερον ψυχὴν τοῦ προδότου
τίς μὴ θρηνήσει σήμερον καὶ κλαύσει σφοδρῶς;

1 «μῦρον»· οὕτω πανταχοῦ. — 3 δυσώδεις καθαίρεις. — 14 τὴν πόρνην. — 16 ὡραιότητα.—17 συνδάκρυσιν.—20 συμφέρηται.—28 διήλεγξας. —29 «Ἰούδα»· οὕτω πανταχοῦ.

φίλος γὰρ ἀπόστολος | μαθητὴς καὶ γνωστὸς ὢν
σπεύδει τὸν διδάσκαλον | ἐπὶ θάνατον ἄξαι·
ἀλλ' ὡς οἰκτίρμων λύτρωσαι, Χριστέ,
τῆς τούτου πάντας ἀπάτης, ὡς εὔσπλαγχνος.

Εὐθὺς ἀνάγνωσις περὶ τῆς προδοσίας τοῦ Ἰούδα καὶ στιχολογία τὸ «Εἶπεν ὁ κύριος τῷ κυρίῳ μου». Κάθισμα ἦχος δ', πρὸς τὸ «Κατεπλάγη Ἰωσήφ».

Βουλευτήριον, Σωτήρ, | παρανομίας κατὰ σοῦ
ἱερεῖς καὶ γραμματεῖς | φθόνῳ φερόμενοι δεινῶς
εἰς προδοσίαν ἐκίνησαν τὸν Ἰούδαν·
ὅθεν ἀναιδῶς ἐξεπορεύετο, | ἐλάλει κατὰ σοῦ
τοῖς παρανόμοις λαοῖς· | "τί μοι, φησίν, παρέχετε
κἀγὼ ὑμῖν | αὐτὸν παραδώσω εἰς χεῖρας ὑμῶν"
τῆς κατακρίσεως τούτου | ῥῦσαι, Κύριε, τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸ Δόξα ἦχος πλ. δ' πρὸς τὸ «Τὴν σοφίαν».

Ὁ Ἰούδας τῇ γνώμῃ φιλαργυρεῖ
κατὰ τοῦ διδασκάλου ὁ δυσμενὴς
κινεῖται βουλεύεται, | μελετᾷ τὴν παράδοσιν·
τοῦ φωτὸς ἐκπίπτει, | τὸ σκότος δεχόμενος·
συμφωνεῖ τὴν πρᾶσιν, | πωλεῖ τὸν ἀτίμητον·
ὅθεν καὶ ἀγχόνην | ἀμοιβὴν ὃν παρέδρα
εὑρίσκει ὁ ἄθλιος | παραδοῦναι τὸν Κύριον·
τῆς αὐτοῦ ἡμᾶς λύτρωσαι | μερίδος, Χριστὲ ὁ Θεός,
τῶν πταισμάτων ἄφεσιν δωρούμενος
τοῖς ἑορτάζουσι πόθῳ | τὸ ἄχραντον πάθος σου.

Καὶ νῦν· ἦχος πλ. δ'· ἰδιόμελον.

Μὴ ἐπιλήσει, Κύριε, τοῦ οἰκτειρῆσαι ἡμᾶς,
μηδὲ μνησθῇς ἀρχαίων ἀνομημάτων ἡμῶν·
ἀλλὰ μνήσθητι τοῦ σταυροῦ σου καὶ τῆς λόγχης
καὶ κατάβαλε τὰ σκάνδαλα | φυλάττων τὴν ποίμνην σου
ἐκ χειρὸς τῶν ἐχθρῶν σου | δι' ἐντεύξεων τῆς σὲ τεκούσης,
μόνε ἀγαθὲ καὶ φιλάνθρωπε.

4 ἀπάτης — 5 τὴν προδ. Ἰούδας. — 7 κατεπλάγει. — 10 προδωσίαν | Ἰουδαν. — 10 «Ἰούδας»· οὕτω πανταχοῦ. — 18 μελετᾷ τὴν παράδωσιν — 20 πωλεῖ — 22 εὑρήσκει — 27 οἰκτιρῆσαι. — 28 μνησθῆς.

Εὐθὺς ἀνάγνωσιν καὶ τὸν πεντηκοστὸν ψαλμόν.

Τροπάριον ψαλλόμενον εἰς τὸν ν'· ἦχος πλάγιος β'.

Ὅτι τὴν ἀνομίαν μου | ἐγὼ γινώσκω
καὶ ἡ ἁμαρτία μου | διὰ παντὸς ἐνώπιον μου ἐστίν·
σοὶ μόνῳ ἥμαρτον· | ἐλέησόν με.

Εἰς τὸ Δόξα ἦχος πλ. β', πρὸς τὸ «Τριήμερος ἀνέστης, Χριστέ».

Ἐλέησον | ἐλέησον | τοὺς ἐπὶ σοὶ προστρέχοντας, | Θεοτόκε·
καὶ γὰρ μόνη πρὸς Θεὸν | ἄπλετον παρρησίαν
ὡς τούτου μήτηρ ἔχεις | καὶ ὅσα θέλεις τελεῖν δύνασαι.

Εὐθὺς τὸ τριῳδιον ἦχου β', φέρον ακροστιχίδα τήνδε· «Τετράδι ψαλῶ».

Ὠδὴ α'.

Τῆς πίστεως ἐν πέτρᾳ με στερεώσας
ἐπλάτυνας τὸ στόμα μου ἐπ' ἐχθρούς μου·
εὐφράνθη γὰρ τὸ πνεῦμά μου ἐν τῷ ψάλλειν
" οὐκ ἔστιν ἅγιος | ὡς ὁ Θεὸς ἡμῶν,
καὶ οὐκ ἔστι δίκαιος πλὴν σου, Κύριε ".

Ἐν κενοῖς τὸ συνέδριον τῶν ἀνόμων
καὶ γνώμῃ συναθροίζεται κακοτρόπῳ
κατάκριτον τὸν δίκαιον ἀποφῆναι,
Χριστέ, ᾧ κράζομεν | " σὺ εἶ ὁ Θεὸς ἡμῶν
καὶ οὐκ ἔστιν δίκαιος πλὴν σου, Κύριε ".

Τὸ δεινὸν βουλευτήριον τῶν ἀνόμων
σκέπτεται, θεομάχου ψυχῆς ὑπάρχον,
ὡς δύσχρηστον τὸν δίκαιον κατακρῖναι
Χριστόν, ᾧ ψάλλομεν | " σὺ εἶ Θεὸς ἡμῶν
καὶ οὐκ ἔστιν ἅγιος πλὴν σου, Κύριε ".

Εὐθὺς κοντάκιον· ἦχος δ', πρὸς τὸ «Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ ἑκουσίως».

Ὑπὲρ τὴν πόρνην, ἀγαθέ, | ἀνομήσας
δακρύων ὄμβρους οὐδαμῶς | σοὶ προσῆξα,
ἀλλὰ σιγῇ δεόμενος προσπίπτω σοι,

9 θέλης. — 10 τῶι τριῴδ. ‖ τάδε. — 14 ἐπεχθρούς. — 16 «οὐκέστιν»· οὕτω καὶ ἐφεξῆς. —20 δίκαιον] ἐκδ. «ῥύστην σε».—25 κατακρῖναι.] ἐκδ. Christ «ἀποκτεῖναι».— 37 προσῆξα.

πόθῳ ἀσπαζόμενος | τοὺς ἀχράντους πόδας σου.
Ὅπως μοι συγχώρησιν | ὡς δεσπότης παράσχῃς
τῶν ὀφλημάτων κράζοντι, Σωτήρ,
" ἐκ τοῦ βορβόρου | τῶν ἔργων μου ῥῦσαί με ".

Ὁ οἶκος.

Ἡ πρώην ἄσωτος γυνὴ ἐξαίφνης σώφρων ὤφθη
μισήσασα τὰ ἔργα | τῆς αἰσχρᾶς ἁμαρτίας | καὶ ἡδονὰς τοῦ σώματος,
διενθυμουμένη | τὴν αἰσχύνην καὶ πολλὴν | ὀδύνην τῆς κολάσεως,
ἣν ὑποστήσονται πόρνοι καὶ ἄσωτοι, | ὧν περ πρῶτος πέλω | καὶ πτοοῦμαι·
ἀλλ' ἐμμένω | τῇ κακῇ μου συνηθείᾳ ὁ ἄφρων·
ἡ πόρνη δὲ γυνὴ | καὶ πτοηθεῖσα | καὶ σπουδάσασα πολὺ
ἦλθεν βοῶσα | πρὸς τὸν λυτρωτήν
" φιλάνθρωπε καὶ οἰκτίρμων | (ν ν) ἐκ τοῦ βορβόρου
τῶν ἔργων μου ῥῦσαί με ".

Καὶ ἀνάγνωσις.

Ὠδὴ γ'.

Ῥῆμα τυράννου | ἐπεὶ ὑπερίσχυσεν
ἐπταπλασίως κάμινος ἐξεκαύθη ποτέ,
ἐν ᾗ | παῖδες οὐκ ἐφλέχθησαν
βασιλέως πατήσαντες δόγμα·
ἀλλ' ἐβόων πάντα | τὰ ἔργα
κυρίου τὸν κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε | αὐτὸν εἰς τοὺς αἰῶνας.

Ἀποκενοῦσα | γυνὴ μύρον ἔντιμον
δεσποτικῇ καὶ θείᾳ φρικτῇ κορυφῇ,
Χριστέ, | τῶν ἰχνῶν σου ἐπελάβετο
τῶν ἀχράντων κεχραμέναις παλάμαις
καὶ ἐβόα " πάντα | τὰ ἔργα
κυρίου τὸν κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε | εἰς πάντας τοὺς αἰῶνας ".

Δάκρυσι πλύνει | τοὺς πόδας ὑπεύθυνος
ἁμαρτιῶν τοῦ πλάσαντος | καὶ ἐκμάσσει θριξί·

1 τῶν ἀχράντων ποδῶν. — 6 ἐξ αἴφνης. — 7 τοῦ σώματος] ἐκδ. «τὰς τῆς σαρκὸς». — 8 δι' ἐνθυμουμένην. — 9 ἣν] ἣν | ἐκδ. «ὑποστῶσι» || πτωοῦμαι. — 10 ἐνμένω || ἐκδ. «τῶν κακῶν» || συνήθεια. — 11 πτωιθεῖσα. — 17 ἐπεὶ] ἐπι. — 24 γυνὴ μύρον. — 25 φρικτῇ. — 26 ἐπελάβετω. — 32 ἐκδ. «ἁμαρτίας.

διὸ | τῶν ἐν βίῳ οὐ διήμαρτεν
πεπραγμένων τῆς ἀπολυτρώσεως
καὶ ἐβόα " πάντα | τὰ ἔργα
κυρίου τὸν κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε | αὐτὸν εἰς τοὺς αἰῶνας ".

Ἱερουργεῖτε | τὸ λύτρον εὐγνώμονι
ἐκ σωτηρίων σπλάγχνων τε καὶ δακρύων πηγῆς,
ἐν ᾗ | διὰ τῆς ἐξαγορεύσεως
ἐκπλυθεῖσα οὐ κατῃσχύνετο.
ἀλλ' ἐβόα " πάντα | τὰ ἔργα
κυρίου τὸν κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε | αὐτὸν εἰς τοὺς αἰῶνας ".

Κοντάκιον ἦχος πλ. δ', ἰδιόμελον

Ὁ πόρνην καλέσας | θυγατέρα, Χριστὲ ὁ Θεός,
υἱὸν μετανοίας καί με ἀνάδειξον·
δέομαι ῥῦσαί με τοῦ βορβόρου τῶν ἔργων μου.

Ὁ οἶκος.

Τὰ ῥήματα τοῦ Χριστοῦ | καθάπερ ἀρώματα
ραινόμενα πανταχοῦ | βλέπουσα ἡ πόρνη ποτὲ
καὶ τοῖς πιστοῖς πᾶσιν | πνοὴν ζωῆς χορηγοῦντα
τῶν πεπραγμένων αὐτῇ | τὸ δυσῶδες ἐμίσησεν,
ἐννοοῦσα τὴν αἰσχύνην | τὴν ἑαυτῆς ἐγγινομένην·
πολλὴ γὰρ θλῖψις γίνεται | τότε τῆς πόρνης ἐκεῖ
ὡς εἷς εἰμι | καὶ ἑτοίμως | πέλω πρὸς μάστιγας,
ἃς πτοηθεῖσα ἡ πόρνη | οὐκέτι ἔμεινε πόρνη·
ἐγὼ δὲ καὶ πτοούμενος κραυγάζω
α α
(ν α) λύτρωσαί με τοῦ βορβόρου τῶν ἔργων μου.

Ὠδὴ Ϛ'.

Ψυχαῖς καθαραῖς | καὶ ἀρρυπάντοις χείλεσιν
δεῦτε μεγαλύνωμεν τὴν ἀκηλίδωτον
καὶ ὑπέραγνον μητέρα τοῦ Ἐμμανουήλ,

6 ἐκδ. «ἱερουργεῖται». Christ «ἱερουργεῖτο». — 9 ἐκπλυθῆσα οὐ καταισχυνέτω. — 14 θυγατέραν. — 18 ἀρώματα. — 23 πολλὴ γὰρ θλῖψεις. — 24 πτωηθεῖσα. — 26 πτωοῦμενος. — 29 κ. «ἀρύπαν τοῖς»· ἐκδ. ἑνετ. «ἀρυπώτοις». — 31 ὑπὲρ ἅγνον μ. τὸν.

δι' αὐτῆς τῷ ἐξ αὐτῆς | προσφέροντες πρεσβείαν τεχθέντι·
φεῖσαι | τῶν ψυχῶν ἡμῶν, | Χριστὲ ὁ Θεὸς καὶ σῶσον ἡμᾶς.

Ἀγνώμων φανεὶς | καὶ πονηρὸς ζηλότυπος
δῶρον ἀξιόθεον | λογοπραγεῖ, δι' οὗ
ὀφειλέσιον ἐλύθη ἁμαρτημάτων,
καπηλεύων ὁ δεινὸς | Ἰούδας τὴν φιλόθεον χάριν·
φεῖσαι | τῶν ψυχῶν ἡμῶν, | Χριστὲ ὁ Θεὸς καὶ σῶσον ἡμᾶς.

Λέγει πορευθεὶς | τοῖς παρανόμοις ἄρχουσι·
" τί μοι δοῦναι θέλετε | κἀγὼ Χριστὸν ὑμῖν
τὸν ζητούμενον τοῖς θέλουσι παραδῶσω "·
οἰκειότητα Θεοῦ | Ἰούδας ἀντωσάμενος χρυσοῦ·
φεῖσαι | τῶν ψυχῶν ἡμῶν, | Χριστὲ ὁ Θεὸς καὶ σῶσον ἡμᾶς.

Ὦ πηρωτικῆς | φιλαργυρίας, ἄσπονδε·
λήθης ὅθεν ἔτυχες, | ὃ τι ψυχὴ οὐδ' ὡς
ἰσοστάσιος ὁ κόσμος ὢν ἐδιδάχθης·
ἀπογνώσει γὰρ σαυτὸν | ἐβρόχισας ἀνάψας, προδότα·
φεῖσαι | τῶν ψυχῶν ἡμῶν, | Χριστὲ ὁ Θεὸς καὶ σῶσον ἡμᾶς.

(Θέσις)· Ἡ τὸν ἀχώρητον Θεόν.

Ἐξαποστειλάριον· ἦχος πλ. δ'.

Ἐν τῇ αὐλῇ Καϊάφα συνήχθη σήμερον
τῇ κατὰ σοῦ, ζωοδότα, βουλευτήριον
καὶ ἠνέσχου πάντα, | ὡς ὑπὲρ πάντων σταυρούμενος.

Ἄλλο πρὸς τὸ "Τοῖς μαθηταῖς συνέλθωμεν".

Συναγωγὴ παράνομος | καὶ ὀλέθριος δῆμος
κατὰ Χριστοῦ βουλεύεται | καὶ κενὰ ματαιάζει,
Ἰσκαριώτης δὲ τοῦτον | ἀργυρίῳ πιπράσκει,
τὸν δωρεὰν φοιτήσαντα | σῶσαι γένος ἀνθρώπων
καὶ δι' ἡμᾶς | πᾶθη τε καὶ μάστιγας καὶ ὀνείδη
καὶ θάνατον ἑκούσιον | ἐν σταυρῷ | ὑπομεῖναι.

Ὅμοιον.

Τίς ἐν ἡμέρᾳ θλίψεως | ἐπεκαλέσατό σου,
μῆτερ Θεοῦ πανάχραντε, | τὴν θερμὴν προστασίαν

3 ἀγνώμων φανεὶς. — 4 κ. «ἀξιώθεον»· ἐκδ. ρωμ. «ἀξιόχρεον» || λόγῳ πραεῖ— 11 Θεοῦ] ἐκδ. «Χριστοῦ». — 13 ὦ πεφρωτικῆς. — 14 οὐδ' ὡς] κ. «οὐδῶς»· ἐκδ. «οὐδ' ὅς». — 15 ὢν] κ. «ὧν»· ἐκδ. «ως». — 16 ἀπογνώσει γ. αὐτὸν ἐβρόχησας ἀ. προδῶτα. — 21 ζωοδώτα. — 27 φοιτήσαντα. — 29 ὑπομεῖνας.

καὶ οὐκ εὐθὺς εἰσηκούσθη; | οἶδα τὸ ἔλεός σου,
οἶδα τὴν εὐσπλαγχνίαν σου· | μή με ἐγκαταλίπῃς,
ἀλλ' ἐξ ἐχθρῶν | ὁρατῶν με ῥῦσαι καὶ ἀοράτων
καὶ σῶσόν με τὸν δοῦλόν σου, | δέσποινα Θεοτόκε.

Στιχηρὰ εἰς τοὺς αἴνους· ἦχος πλ. β', πρὸς τὸ "Ἡ ἀπεγνωσμένη διὰ τὸν βίον".

Ἡ καθελκομένη ἐκ τῶν αἱμάτων | εὑρέν σε λιμένα τῆς σωτηρίας,
ἡ μόνη ἁψαμένη | τοῦ κρασπέδου ἐβόα | "εὗρον
τὸν δόντα τῇ θαλάσσῃ | χαλινὸν ἐκ τῆς ψάμμου·
εὗρον | τὸν σώσαντα τὸν Πέτρον | ὡς ἰχθὺν βυθισθέντα·
ἀλλὰ δέομαι | κυβέρνησόν με | ἐκ τοῦ κλύδωνος
τοῦ χρονίου μου πάθους, Κύριε, | διὰ τὸ μέγα σου ἔλεος.

Ὅμοιον.

Ἡ ἀναισχυντοῦσα πρὶν τοῖς ἀτάκτοις | νῦν καταφρονοῦσα τῷ Φαρισαίῳ
σὺν δέει παρίσταται | τῷ ἀχράντῳ δεσπότῃ· | "δέχου
ἀνάξια δάκρυα | τῶν αἰσχρῶς μοι πραχθέντων·
δέχου | ἁμαρτωλὸν γύναιον | ὁ ἐκ μήτρας ἀνάνδρου
σαρκωθείς, Χριστέ, δι' εὐσπλαγχνίαν | καὶ οἰκτείρησον
ἐπιστρέφουσαν, Κύριε, | διὰ τὸ μέγα σου ἔλεος".

Ὅμοιον.

Ἡ ζεζοφωμένη τῇ ἀπογνώσει | καὶ νῦν λαμπρυνθεῖσα τῇ ἐπιγνώσει
ἐν οἴκῳ ἱδρύσασα, | Χριστέ, τοῦ Φαρισαίου | νίμμα
τὰ ὄμματα ἐβράσασα | καὶ λεντίῳ τὰς τρίχας
μύρον | καὶ δάκρυα προσφέρει | ὡς ὕδωρ μετὰ πόθου·
ἀλλ' ἀντέλαβεν | πταισμάτων λύσιν
ἡ πρώην πόρνη δὲ | διὰ τὸ μέγα σου ἔλεος.

Ἦχος πλάγιος β', ἰδιόμελον.

Ἥπλωσεν ἡ πόρνη | τὰς τρίχας σοὶ τῷ δεσπότῃ,
ἥπλωσεν Ἰούδας τὰς χεῖρας τοῖς παρανόμοις,
ἡ μὲν λαβεῖν τὴν ἄφεσιν, | ὁ δὲ λαβεῖν ἀργύρια·
διό σοι βοῶμεν | τῷ πραθέντι
καὶ ἐλευθερώσαντι ἡμᾶς, | "Κύριε δόξα σοι".

1 οὐκευθὺς. — 7 καθελκωμένη | εὗρεν. — 8 ηὗρον. — 9 θαλλάσσῃ. — 10 ηὗρον. — 15 συνδέη. — 22 ἐνοίκῳ ἱδρύσασα. — 23 ἐβράσας. — 25 ἀλλαντέλαβεν.

Εἰς τὸ Δόξα. Ἦχος πλ. β΄.

Σήμερον ὁ Χριστὸς παραγίνεται | ἐν τῇ οἰκίᾳ τοῦ Φαρισαίου
καὶ γυνὴ ἁμαρτωλὸς | προσελθοῦσα τοῖς ποσὶν
ἐκυλινδοῦτο βοῶσα | "Ἴδε | τὴν βεβυθισμένην τῇ ἁμαρτίᾳ,
τὴν ἀπηλπισμένην διὰ τὰς πράξεις, | τὴν μὴ βδελυχθεῖσαν
παρὰ τῆς σῆς ἀγαθότητος, | καὶ δός μοι, Κύριε,
τὴν ἄφεσιν τῶν κακῶν | καὶ σῶσόν με.

Νῦν καὶ ἀεί· Ἦχος πλ. β΄.

Προσῆλθεν γυνὴ | δυσώδης καὶ βεβορβορωμένη
δάκρυα προχέουσα | ποσί σου, Σωτήρ,
τὸ πάθος καταγγέλλουσα·
"πῶς ἀτενίσω | τῷ δεσπότῃ;
αὐτὸς γὰρ ἐλήλυθας σῶσαι πόρνην·
ἐκ βυθοῦ θανοῦσάν με ἀνάστησον
ὁ τὸν Λάζαρον ἐγείρας | ἐκ τάφου τετραήμερον·
δέξαι με τὴν τάλαιναν, | Κύριε, καὶ σῶσόν με".

Εὐθὺς τὸ «Δόξα ἐν ὑψίστοις Θεῷ» ἕως «τοῖς γινώσκουσί σε». Προκείμενον ἦχος βαρύς· «Ὁ Θεός· παράνομοι ἐπανέστησαν ἐπ' ἐμὲ καί»: Στίχ. «Ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθὸν καὶ ἰδέτωσαν οἱ μ'»: Ὁ διάκονος «Σοφία». Παροιμιῶν τὸ ἀνάγνωσμα (γ΄, 27—34) Ἀρχ. «Υἱὲ μὴ ἀπόσχῃ εὖ ποιεῖν ἐνδεῖ». Τέλος· «ταπεινοῖς δίδωσι χάριν». β΄ προφητείας Ὡσηὲ τὸ ἀνάγνωσμα (δ΄, 13—ς΄, 4). Ἀρχ. «Ἐπορεύθη Ἐφραὶμ εἰς Ἀσσυρίους». Τέλος· «ὄψιμος τῇ γῇ λέγει Κύριος παντοκράτωρ». Εὐθὺς προκείμενον ἦχος δ΄, ψαλμὸς τῷ Δαυίδ· «Περιεκύκλωσάν με μόσχοι πολλοί, συναγωγὴ πονηρευομένων περιέσχον με». Στίχ. «Ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν ὡς λέων ἁρπάζων ὠρυόμενος». Ὀφείλει δὲ ὁ τρίτος τῶν διακόνων εἰπεῖν τὸ εὐαγγέλιον τοῦτο. Ὁ διάκονος "Σοφία". Ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου εὐαγγελίου τὸ ἀνάγνωσμα (ιβ΄, 17—50). Ἀρχ. «Ἐμαρτύρει ὁ ὄχλος ὁ ὢν μετ' αὐτοῦ». Τέλος· «καθὼς εἴρηκέν μοι ὁ πατήρ, οὕτω λαλῶ». Καὶ εἰθ' οὕτω τὸ "Καταξίωσον Κύριε", καὶ ὁ διάκονος τὴν αἴτησιν, καὶ ἐξελθόν-

9 γυνὴ δυσώδες καὶ βορβορωμένη.—10 ποσί σου] κ. «ποθοῦσα».—12 ἀτενήσω.—19 ἐπεμὲ || μετεμοῦ. — 26 περιεσχῶν || ἤνυξαν ἐπεμέ. — 28 τοῦτον.

των κατὰ τὸ ἔθος εἰς τὸ Ἅγιον Κρανίον, ψάλλοντ(αι) στιχηρὸν ἤχου α΄ καὶ τὰ ἑξῆς.

Ὅτε ἡ ἁμαρτωλὸς | προσέφερε τὸ μύρον,
τότε ὁ μαθητὴς | προσεφώνει τοῖς παρανόμοις·
ἡ μὲν | ἔχαιρε κενοῦσα τὸ πολύτιμον,
ὁ δὲ | ἔσπευδε | προδοῦναι τὸν ἀτίμητον·
αὕτη τὸν δεσπότην ἐπεγίνωσκεν,
οὗτος τοῦ δεσπότου ἐχωρίζετο·
αὐτη ἠλευθεροῦτο | καὶ ὁ Ἰούδας
δοῦλος ἐγεγόνει τοῦ ἐχθροῦ·
δεινὸν ἡ ῥαθυμία, | μεγάλη ἡ μετάνοια,
ἧν μοι δώρησαι, Σωτήρ,
ὁ παθὼν ὑπὲρ ἡμῶν | καὶ σῶσον ἡμᾶς.

Στιχ. ἦχ. α΄· «Ἐξεπορεύετο ἔξω καὶ ἐλάλει».

Ὢ τῆς Ἰούδα αθλιότητος·
ἐθεώρει τὴν πόρνην | φιλοῦσαν τὰ ἴχνη
καὶ ἐσκέπτετο δόλῳ | τῆς προδοσίας τὸ φίλημα·
ἐκείνη | τοὺς πλοκάμους διέλυσεν
καὶ οὗτος | τῷ θυμῷ ἐδεσμεῖτο,
φέρων ἀντὶ μύρου | τὴν δυσώδη κακίαν·
φιλόνος γὰρ οὐκ οἶδεν | προτιμᾶν τὸ συμφέρον·
ὢ τῆς Ἰούδα αθλιότητος,
ἀφ' ἧς ῥῦσαι ὁ Θεὸς | τὰς ψυχὰς ἡμῶν.

Στιχ. ἦχ. α΄· «Λόγον παράνομον κατέθ»:

Τὸ πολυτίμητον μύρον | ἡ πόρνη ἔμιξε μετὰ δακρύων
καὶ ἐξέχεεν εἰς τοὺς ἀχράντους πόδας σου | καταφιλοῦσα·
ἐκείνην | εὐθὺς ἐδικαίωσας, | ἡμῖν δὲ | συγχώρησιν δώρησαι
ὁ παθὼν ὑπὲρ ἡμῶν | καὶ σῶσον ἡμᾶς.

Εἰς τὸ Δόξα... καὶ νῦν ἦχος α΄.

Σὲ τὸν τῆς παρθένου υἱὸν | κόρη ἐπιγνοῦσα Θεὸν ἔλεγεν
ἐν κλαυθμῷ δυσωποῦσα, | ὡς δακρύων ἄξια πράξασα·
" διάλυσον τὸ χρέος, | ὡς κἀγὼ τοὺς πλοκάμους·
ἀγάπησον φιλοῦσαν | τὴν δικαίως μισουμένην
καὶ πλησίον τελωνῶν σε κηρύξω || εὐεργέτα, φιλανθρωπε.

4 προσεφώνει] ἐκδ. «συνεφώνει». — 6 προδοῦναι] ἐκδ. «πωλῆσαι». — 12 ἧν] ἦν || παθὼν. — 16 φιλοῦσα. — 21 οἶδεν. — 22 ὦ. — 28 παθὼν. — 30 κόρη] ἐκδ. «πόρνη».

Εὐθὺς «Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι»· εἶθ' οὕτω τὴν α' ὡραν. Ἀλληλούια ἦχος βαρύς· «Χριστὲ τὸ φῶς τὸ ἀληθινόν». Τροπάριον.

Ὁ σταυρωθεὶς ἑκουσίως | δι' οἶκτον, πολυέλεε,
ὡς εὑρέτω τὸν λῃστὴν ὁμολογήσαντα,
σῶσον καὶ ἡμᾶς τῷ ὅπλῳ τοῦ σταυροῦ
καὶ τὴν ποίμνην σου λύτρωσαι
τοῦ ἀοράτου ἐχθροῦ, | μόνε φιλάνθρωπε.

Εὐθὺς τροπάριον· ἦχος β'.

Σήμερον τὸ πονηρὸν συνήχθη συνέδριον | καὶ κατα σοῦ κενὰ ἐβουλεύσαντο·
σήμερον ἐκ συμφώνου τὸν βρόχον | Ἰούδας ἀρραβωνίζεται,
Καϊάφας δὲ ἄκων ὁμολογεῖ, | ὅτι εἷς ὑπὲρ πάντων ἀναδέχῃ
τὸ πάθος ἑκουσίως·
λυτρωτὰ ἡμῶν | Χριστὲ ὁ Θεὸς δόξα σοι.

Ψαλμὸς τῷ Δαυὶδ ρλγ'. Ἦχος δ'. «Εὐλογήσαι σε Κύριος ἐκ Σιών, ὁ ποιήσας τὸν οὐρανόν». Στίχ. «Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον πάντες οἱ δ»: Προφητείας Ἰεζεκιὴλ τὸ ἀνάγνωσμα (β', 3—γ',3). Ἀρχ. «Εἶπεν Κύριος πρός με· υἱὲ ἀνθρώπου ἐξαποστελῶ σε ἐγώ». Τέλος· «καὶ ἐγένετο ἐν τῷ στόματί μου ὡς μέλι γλυκάζον». Ψαλμὸς τῷ Δαυὶδ ρλδ', ἦχος πλ. β'· «Οἱ φοβούμενοι τὸν Κύριον εὐλογήσατε τὸν Κύριον». Στίχ. α'· «Αἰνεῖτε τὸ ὄνομα Κυρίου, αἰνεῖτε δοῦλοι. Τὰ διαβήματα κατεύθυνον». Καὶ ἀπολύει: — Καὶ ἀναγινώσκει ὁ τρίτος τῶν πρεσβυτέρων τὸ κατὰ Μᾶρκον εὐαγγέλιον, καθὼς προελέχθη, μετὰ κηρῶν καὶ θυμιατοῦ ἐν μέσῳ τῆς σολέας, ἔμπροσθεν τοῦ Ἁγίου Τάφου· καὶ μετὰ τοῦτο ψάλλομεν τὴν τριτέκτην. Στιχολογ(οῦμεν) β' καθ(ίσ)μ(ατα)· "Αἰνεῖτε τὸ ὄνομα Κυρίου" καὶ τὸ "Εὐλογητὸς Κύριος".

Τῇ τετάρτῃ, ὥρα θ' ψάλλομεν τὸ «Κλῖνον Κύριε τὸ οὖς σου» ἀσματικῶς κατὰ τὸ ἔθος, καὶ τὸ «Ὁ ἐν τῇ ἑνάτῃ ὥρᾳ»· καὶ μετὰ τοῦτο προκείμενον, ψαλμὸς τῷ Δαυὶδ ρλε'· ἦχος πλαγιος β'.

4 διοἶκτον. — 10 ἐβουλεύσαντο] ἐκδ. «ἐμελέτησε». — 18 ἐξαποστελλῶ. — 25 μετατοῦτο. — 28 κλίνον.

«Ἐξομολογεῖσθε τῷ Θεῷ τοῦ οὐρανοῦ». Στίχ. «Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθ»: Τῆς Ἐξόδου τὸ ἀνάγνωσμα (β′ 11 καὶ ἑξῆς). Ἀρχ. «Ἐν ταῖς ἡμέραις ἐκείναις μέγας γενόμενος Μωσῆς». Τέλος· «ἐρρύσατό με ἐκ χειρὸς Φαραώ». Ψαλμὸς τῷ Δαυὶδ ρλζ′, ἦχος δ′· «Κύριε τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς». Στίχ. «Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ». Ἰὼβ τὸ ἀνάγνωσμα (κεφάλ. β′). Ἀρχ. «Ἐγένετο ὡσεὶ ἡ ἡμέρα αὕτη καὶ ἦλθον οἱ ἄγγελοι». Τέλος· «καὶ οὐκ ἔδωκεν ἀφροσύνην τῷ Θεῷ». Εὐθὺς "Μὴ δὴ παραδῴης ἡμᾶς". Τρισάγιον, εἶθ' οὕτω τὸ ἑσπερινὸν καὶ ἡ θ′ εἰς τὸν Ἅγιον Κωνσταντῖνον. Στιχολογία τὰ Προσκύρια. Στιχηρὰ εἰς τὸ "Κύριε ἐκέκραξα"· ἦχος πλάγιος β′, πρὸς τὸ "Ἡ ἀπεγνωσμένη".

Ἡ ἀπεγνωσμένη διὰ τὸν βίον | καὶ ἐπεγνωσμένη διὰ τὸν τρόπον
τὰ μύρα βαστάζουσα | προσῆλθεν σοι βοῶσα
"μή με | τὴν πόρνην ἀπορρίψῃς | ὁ τεχθεὶς ἐκ παρθένου,
μή μου | τὰ δάκρυα παρίδῃς | ἡ χαρὰ τῶν ἀγγέλων,
ἀλλὰ δέξαι με | μετανοοῦσαν, ἣν οὐκ ἀπώσω
ἁμαρτάνουσαν, Κύριε, | διὰ τὸ μέγα σου ἔλεος.

Ὅμοιον.

Ἡ βεβυθισμένη τῇ ἁμαρτίᾳ | εὑρέν σε λιμένα τῆς σωτηρίας
καὶ μύρα σὺν δάκρυσι | κενοῦσά σοι ἐβόα·
"ἴδε | ὁ ἔχων ἐξουσίαν | συγχωρεῖν ἁμαρτίας·
ἴδε | ὁ τῶν ἁμαρτανόντων | τὴν μετάνοιαν μένων·
ἀλλά, δέσποτα, | διάσωσόν με | ἐκ τοῦ κλύδωνος
τῆς ἁμαρτίας μου δέομαι | διὰ τὸ μέγα σου ἔλεος.

Ὅμοιον.

Ἡ ἐσκοτισμένη τῇ διανοίᾳ | τῷ φωτὶ προστρέχει τῷ ἀπροσίτῳ,
καὶ τούτου χωρίζεται | μαθητὴς ὁ ἀγνώμων·
αὕτη | ἐντάφιά σοι μύρα | πρὸ τοῦ πάθους κομίζει·
οὗτος | εὐώνως σε πιπράσκει | τὸ ἀτίμητον μύρον·
ἀλλὰ ῥῦσαί με | φιλαργυρίας | καὶ ψυχοφθόρου
ἀπογνώσεως, Κύριε, | διὰ τὸ μέγα σου ἔλεος.

14 ἐκδ. «τὸ μύρον». — 16 μου] κ. «με». 17 μετανοοῦσα· ἣν οὐκαπώσω. — 20 εὗρεν. — 21 ἐκδ. «μύρον», κῶδ. «μύρα συνδάκρυσιν». — 25 μου] ἐλλείπει τῇ ῥωμ. ἐκδόσει. — 27 ἀπροσήτω. — 28 μαθητὴς. — 31 ῥύσαι.

Εἰς τὸ "Δόξα" στιχηρόν· ἦχος πλάγιος δ'. Ποίημα Φωτίου πατριάρχου Κωνσταντινουπόλεως.

Κύριε, | ἡ ἐν πολλαῖς ἁμαρτίαις περιπεσοῦσα γυνὴ
τὴν σὴν | αἰσθομένη, θεότητα, | μυροφόρου ἀναλαβοῦσα τάξιν,
ὀδυρομένη μύρον σοι | προ τοῦ ἐνταφιασμοῦ κομίζει
"οἴμοι" | λέγουσα, | "ὅτι νύξ μοι ὑπάρχει, | ὀιστρος ἀκολασίας,
ζοφώδης τε καὶ ἀσέληνος ἔρως τῆς ἁμαρτίας·
δεξαι μου | τὰς πηγὰς τῶν δακρύων
ὁ νεφέλαις διεξάγων | τῆς θαλάσσης τὸ ὕδωρ·
κάμφθητί μοι | πρὸς τοὺς στεναγμοὺς τῆς καρδίας
ὁ κλίνας τοὺς οὐρανοὺς | τῇ ἀῤῥάστῳ σου κενώσει·
καταφιλήσω | τοὺς ἀχράντους σου πόδας· | ἀποσμήξω
τούτους δὲ πάλιν | τοῖς τῆς κεφαλῆς μου βοστρύχοις,
οὓς ἐν τῷ παραδείσῳ | Εὔα τὸ δειλινὸν
κρότων τοῖς ὠσὶν ἠχηθεῖσα | τῷ φόβῳ ἐκρύβη·
ἁμαρτιῶν μου τὰ πλήθη | καὶ κριμάτων σου ἀβύσσους
τίς ἐξιχνιάσει, | ψυχοσῶστα Σωτήρ μου;
μή με | τὴν σὴν δούλην παρίδῃς | ὁ ἀμέτρητον ἔχων τὸ μέγα ἔλεος.

Εὐθὺς εἰσο(δεύομεν) ψάλλοντ(ες) στιχηρὸν ἦχου α'· «Τὸ πολυτίμητον μύρον» κτλ. (ὅρα σελ. 75). Καὶ γίνεται καθέδρα καὶ ὁ διάκονος συνάπτει. Προκείμενον ἦχος α'· «Φησὶν ὁ παράνομος τοῦ ἁμαρτάνειν ἑαυτῷ» ἕως «καὶ μισῆσαι». Στίχ. «Τὰ ῥήματα τοῦ στόματος ἀνομία καὶ δόλος» ἕως «ἐπὶ τῆς κοίτης αὐτοῦ». Γενέσεως τὸ ἀνάγνωσμα (ιη', 1 — ιθ', 30). Ἀρχ. «Ὤφθη ὁ Θεὸς τῷ Ἀβραὰμ πρὸς τῇ δρυῒ τῇ Μαμβρῇ». Τέλος· «αὐτὸς καὶ αἱ δύο θυγατέρες αὐτοῦ μετ' αὐτοῦ». Παροιμιῶν τὸ ἀνάγνωσμα (α', 10—19). Ἀρχ. «Υἱέ, μή σε πλανήσωσιν ἄνδρες ἀσεβεῖς». Τέλος· «τὴν ἑαυτῶν ψυχὴν ἀφαιροῦνται». Καὶ εὐθὺς τὸ «Φῶς ἱλαρόν», καὶ ὁ ψάλτης «Ψαλμὸς τῷ Δαυὶδ ἦχος δ'· Αἰσχυνθείησαν ἀσεβεῖς καὶ καταχθείησαν εἰς ᾅδου. Ἄλαλα γενηθήτω τὰ χείλη τὰ δόλια

1 Φωτίου πατριάρχου] αἱ ἐκδόσεις ἐπιγράφουσι· «ποίημα Κασσιανῆς μοναχῆς». — 3 περιπεσοῦσαν. · 5 ὀδυρωμένη μῦρον. — 6 μοι ὑπάρχει] ρωμ. ἐκδ. «με συνέχει» || ὕστρος. — 7 ζοφόδης τε. — 9 διεξάγων] ρωμ. ἐκδ. «στημονίζων». — 10 κῶδ. «μου· πρὸ τοῦ στεναγμοῦ». — 12 ἀχράτουσου || ἀποσμίξω. — 14 κῶδ. «οὓς», ἐκδ. «ὧν» || εὔα. — 15 ἐκδ. «κρότον». — 17 ψυχωσόστα. — 18 ἀμέτριτον. — 22 μισεῖσαι. — 23 ανομίαν. — 30 καταχθεῖησαν.

τὰ λαλοῦντα κατὰ τοῦ δικαίου ἀνομίαν». Στίχ. «Εἶπα σὺ εἰ ὁ Θεός μου, ἐν ταῖς χερσί σου οἱ κλῆροί μου· ῥῦσαί με ἐκ χειρὸς ἐχθρῶν μου καὶ ἐκ τῶν καταδιωκόντων με». Εὐθὺς τὸ «Καταξίωσον Κύριε τῇ ἑσπέρα», καὶ ψάλλομεν στιχηρὰ (εἰς) ἦχον πλάγιον β', πρὸς τὸ «Τριήμερος ἀνέστης».

Βουλεύεται αἰσίαν βουλὴν | μυρίσαι σε ὁσία γυνή,
μαθητὴς δὲ | ὁ δυσώδης ἐν βουλῇ | ἀνόμων ἐπορεύθη
καὶ σὲ τὸν νομοδότην | ἀπεμπολῶν ἀπεμωραίνετο.

Ὅμοιον. Στίχ. «Ἐξεπορεύετο».

Τιμήματι ὀλίγῳ πωλεῖν | ὁ ἄτιμος Ἰούδας Χριστὸν
ἐνθυμεῖται | ἀγοράζοντα ἡμᾶς | δεινῶς ἀτιμασθέντας
κακίστῃ παραβάσει | νῦν τῷ τιμίῳ αὐτοῦ αἵματι.

Ὅμοιον. Στίχ. «Λόγον παράνομον».

Τὸ μύρον ἐκκενοῦσα γυνὴ | λυτροῦται δυσωδίας κακῶν
καὶ εἰς πᾶσαν | διαδίδοται τὴν γῆν | ἡ θεία εὐωδία
τῶν θείων αὐτῆς τρόπων, | ὧν κοινωνοὶ γενέσθαι σπεύσωμεν.

Δόξα.

Μεγάλων χαρισμάτων, | ἁγνὴ παρθένε, μόνη μῆτερ Θεοῦ
ἠξιώθης, | ὅτι ἔτεκες σαρκὶ | τὸν ἕνα τῆς τριάδος,
Χριστὸν τὸν ζωοδότην, | εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Καὶ ὁ διάκονος αἴτησιν, καὶ μετὰ τὴν αἴτησιν ὁ ἱερεὺς ἐκφώνως· «Ὅτι πρέπει σοι πᾶσα». Καὶ ὁ διάκονος ὁ ἐπὶ τοῦ ἄμβωνος λέγει πρὸς τοὺς κατηχουμένους· «Οἱ κατηχούμενοι τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε». Ὁ ἱερεὺς τὴν εὐχὴν τῶν κατηχουμένων (ὅρα σελ. 47). Ἐκφώνως· «Ἵνα καὶ αὐτοῖς σὺν ἡμῖν». Καὶ ὁ ἀρχιδιάκονος· «Ἐν εἰρήνῃ πορεύεσθε οἱ κατηχούμενοι·—Καὶ ὑμεῖς οἱ πρὸς τὸ φώτισμα τῇ χειροθεσίᾳ προσέλθετε». Εἶτα ὁ διάκονος ὁ κάτωθεν λέγει «Κλίνατε» καὶ ὁ ἱερεὺς τὴν εὐχὴν πρὸς τὸ φώτισμα (ὅρα σελ. 47). Ἐκφώνως· «Ὅτι Θεὸς ἐλέους καὶ οἰκτιρμῶν ὑπάρχεις». Εἶτα ὁ διάκονος· «Ἐγείρεσθε»· εἶτα πάλιν ὁ ἐπὶ τοῦ ἄμβωνος διάκονος· «Ἐν εἰρήνῃ

14 μῦρον ἐγκενοῦσα γυνή. — 16 σπεύσωμεν. — 27 προσέλθατε.

πορεύεσθε: — Καὶ ὑμεῖς οἱ πρὸς τὸ φώτισμα τῶν κατηχήσεων μνημονεύοντες σπουδαίως συνάγεσθε». Ὁ διάκονος ὁ κάτωθεν «Προσέλθετε». Ὁ ἱερεὺς ἐκφώνως· «Ὅτι πρέπει σοι πᾶσα». Ὁ διάκονος· «Ἐν εἰρήνῃ Χριστοῦ ψάλατε». Εὐθὺς λιτὴ ἐπὶ τὴν Ἁγίαν Ἀνάστασιν, ψάλλοντες τὸ στιχηρὸν (ἦχος α΄) «Ὅτε ἡ ἁμαρτωλὸς προσέφερε τὸ μύρον» (ὅρα σελ. 75). Δόξα· ἦχος δ΄· τὸ κοντάκιον πρὸς τὸ «Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ»· «Ὑπὲρ τὴν πόρνην ἀγαθὲ πλημμελήσας» κτλ. (ὅρα σελ. 69). Εἶτα ὁ διάκονος «Σοφία», καὶ ὁ ψάλτης εἰς τὴν Ἁγίαν Ἀνάστασιν λέγει· «Ψαλμὸς τῷ Δαυίδ· προκείμενον ἦχος πλάγιος α΄· Ἐξεπορεύετο ἔξω καὶ ἐλάλει ἐπὶ τὸ αὐτό· κατ' ἐμοῦ ἐψιθύριζον πάντες οἱ ἐχθροί μου, κατ' ἐμοῦ ἐλογίζοντο κακά μοι». Στίχ. «Κατ' ἐμοῦ ἐλογίζοντο· λόγον παράνομον κατέθεντο κατ' ἐμοῦ, μὴ ὁ κοιμώμενος οὐχὶ προσθήσει τοῦ ἀναστῆναι». Ὁ ἀναγνώστης «Προφητείας Ζαχαρίου τὸ ἀνάγνωσμα» (ια΄, 11—14). Ἀρχ. «Γνώσονται οἱ Χαναναῖοι τὰ πρόβατα». Τέλος· «ἀναμέσον Ἰούδα καὶ ἀναμέσον Ἰσραήλ». Ψαλμὸς τῷ Δαυὶδ ἦχος δ΄· «Οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ: κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ». Στίχ. «Ἵνα τί ἐφρύαξαν ἔθνη καὶ λαοὶ ἐμελέτησαν κενά». Καὶ εὐθὺς ὁ β΄ τῶν διακόνων ἀναγινώσκει· «Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου εὐαγγελίου» (κς΄, 3—16). Ἀρχ. «Συνήχθησαν οἱ ἀρχιερεῖς». Τέλος· «εὐκαιρίαν, ἵνα αὐτὸν παραδῶ». Εὐθὺς ψάλλομεν στιχηρά· ἦχος πλάγιος β΄, πρὸς τὸ «Ὅλην ἀποθέμενοι | ἐν οὐρανοῖς τὴν ἐλπίδα».

Συνέδριον ἄνομον | ἐν τῇ αὐλῇ Καϊάφα
ἀθροίζεται σήμερον | καὶ κενὰ βουλεύεται | καὶ παράνομα·
τὸν ζωῆς κύριον | μελετᾷ κτεῖναι γάρ,
ὃν Ἰούδας | παραδίδωσιν | ὁ ἀσυνείδητος,
λήμμασιν ἀφρόνως τριάκοντα
ἀγχόνην ἀντωνούμενος | καὶ διαιωνίζουσαν κόλασιν·
οὗ τῆς μοχθηρίας | εὐξώμεθα ῥυσθῆναι οἱ πιστοί,
τὸν ὑπεράγαθον Κύριον | φόβῳ μεγαλύνοντες.

3 προσέλθατε. — 11 ἐλάλη || ἐψηθήριζων. — 26 κενά. — 27 μελετά. — 31 εὐξόμεθα.

Ὅμοιον. Στίχ. «Ἵνα τί ἐφρύαξαν».

Ἡ πόρνη τὸ μύρον σοι | τὸ πολυτίμητον φέρει
καὶ δυσώδους ῥύεται | ἁμαρτίας, Κύριε, | τῇ κελεύσει σου·
ὁ δὲ πρὶν πνέων σου | τὴν εὐώδη χάριν
δυσωδίαν ἀναφαίρετον | ἔνδον εἰσδέχεται
καὶ ἀλλοτριοῦται χαρίσματος | Ἰούδας ὁ δυσώνυμος,
οὗπερ ἀναξίως ἐκέκτητο·
ὅθεν σε ἀνόμοις | προδίδωσι λαοῖς φιλαργύρων·
οὐ τῆς πωρώσεως λύτρωσαι | πάντας, πολυέλεε.

Ὅμοιον. Στίχ. «Οἱ ἄρχοντες συνήχθησαν».

Ἡ πόρνη κομίσασα | μύρου ἀλάβαστρον, Σῶτερ,
καὶ ποσὶν κενοῦσά σοι | πάντων λύσιν ἔλαβεν | τῶν πταισμάτων αὐτῆς·
ὁ λῃστὴς μόνον σοι | "μνήσθητί μου" εἶπεν
καὶ εὐθέως εἰς παράδεισον | αὐτὸν εἰσήγαγες·
ἐγὼ δὲ τί πράξω ὁ ἄθλιος;
οὐ μύρον οὐ κατάνυξιν | ἔχων δωρεάν με ἐλέησον·
δυσώπει, παρθένος, | ἡ σὲ τεκοῦσα, μόνε ἀγαθέ,
ἣν ἐδωρήσω τῷ κόσμῳ σου | μέγα καταφύγιον.

Εἰς τὸ Δόξα... καὶ νῦν ἦχος πλ. δ', ἰδιόμελον.

Σήμερον τὸ κατὰ τοῦ Χριστοῦ πονηρὸν συνήχθη συνέδριον
καὶ κατ' αὐτοῦ κενὰ ἐβουλεύσαντο
παραδοῦναι Πιλάτῳ εἰς θάνατον | τὸν ἀνεύθυνον·
σήμερον τὴν τῶν χρημάτων ἀγχόνην | Ἰούδας ἑαυτῷ περιτίθησι
καὶ στερεῖται κατ' ἄμφω ζωῆς προσκαίρου καὶ θείας·
σήμερον Καϊάφας | ἄκων προφητεύει,
"συμφέρει" λέγων | "ὑπὲρ τοῦ λαοῦ ἕνα ἀπολέσθαι"·
ἦλθες γὰρ | ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν | τοῦ παθεῖν,
ἵνα ἡμᾶς ἐλευθερώσῃς | ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ,
ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Εὐθὺς τὸ «Κατευθυνθήτω» καὶ τὸ «Νῦν ἀπολύεις». Τρισάγιον, τὸ «Κύριε ἐλέησον» μ'. Ὁ ἀρχιδιάκονος· «Μή τις τῶν κατηχουμένων». Οἱ ψάλται· «Νῦν αἱ δυνάμεις». Ὁ διάκονος· «Ἐν

5 ἀναφέρετον. — 6 δυσσώνυμος. — 9 πορρώσεως. — 11 κομήσασα. — 17 δυσώπη. — 21 καταυτοῦ κενᾶ. — 23 ἀγχώνην. — 24 κατάμφω. — 26 συμφέρη. — 28 δουλίας.

σοφία Θεοῦ πρόσχωμεν». Ὁ ἱερεύς· «Πιστεύω εἰς ἕνα Θεόν». Ὁ διάκονος· «Στῶμεν καλῶς». Ὁ ἱερεύς· «Καὶ ὸς ἡμῖν εὐπρόσδεκτον». Ὁ λαός· «Σοὶ Κύριε». Ὁ ἱερεύς· «Σὺ γὰρ προσκυνητὸς καὶ»: Ὁ ἱερεύς· «Καὶ ἔσται ἡ χάρις καὶ τὸ ἐλέη». Καὶ ὁ ἱερεὺς ὑψοῖ τὰ ἅγια λεγων «Τὰ προηγιασμένα».

Κοινωνικόν· ἦχος πλάγιος δ'.

Μελχισεδὲκ ὁ ἱερεὺς | ἐν ἄρτῳ καὶ οἴνῳ | εὐλόγησεν τὸν Ἀβραάμ· σὺ δὲ ὁ ἀμνὸς τοῦ Θεοῦ | ἐν σώματι καὶ αἵματι διέσωσας ἡμᾶς· αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ· αἰνεῖτε αὐτὸν ἐν στερεώματι δυνάμεως αὐτοῦ.

Εὐχὴ ὀπισθάμβωνος.

«Αἰνοῦμεν καὶ εὐχαριστοῦντες ὑπερυψοῦμεν τὸ ἄπειρον τῆς σῆς ἀγαθότητος πέλαγος· προσκυνοῦμέν σου, Χριστέ, τὴν ἀνεκδιήγητον τῆς ταπεινώσεως συγκατάβασιν, ὅτι ἀπρόσιτος ὢν τῇ θεότητι καὶ ταῖς κατ' οὐρανὸν δυνάμεσιν ἀπροσπέλαστος, μιαρῶν ἀνθρωπίνων χειρῶν προσεγγισμὸν καὶ ἐπαφὴν μακροθύμως φέρειν οὐκ ἀπηξίωσας, τοῦτο μὲν ταῖς τοῦ προδότου δολίως χείλεσι περιπτυσσόμενος, τοῦτο δὲ καὶ ταῖς τῆς ἁμαρτωλοῦ γυναικὸς παλάμαις εὐγνωμόνως ἐπαγόμενος καὶ κρατούμενος· ἀλλὰ ἄξίωσον καὶ ἡμᾶς, καρδιογνῶστα Χριστὲ ὁ Θεὸς ἡμῶν, τοῦ μὲν τὴν φιλάργυρον πρόθεσιν ἀποσείσασθαι, ἵνα μὴ πρὸς τὸ αὐτὸ ἐκείνῳ συγκατασπασθῶμεν τῆς ἀπογνώσεως βάραθρον, τῆς δὲ τὴν φιλόχριστον ἐκ μετανοίας μιμήσασθαι γνώμην τε καὶ προαίρεσιν, ἵνα σὺν αὐτῇ τὴν τῶν ἁμπλακημάτων ἀποβολὴν καὶ τὴν πρὸς σὲ τὸν κτίστην οἰκείωσιν καρπωσώμεθα· καὶ τὴν μὲν ἡδυπαθῆ καὶ φιλήδονον ἀναστροφὴν ἀποστραφῆναι καὶ ἀποκρύσασθαι ποιησον, τὴν δὲ σὴν νέκρωσιν ἐν τῷ σώματι φέρειν ἑκάστοτε καταξίωσον, ἵνα σοῦ τῆς δόξης κοινωνοὶ ἀναδειχθείημεν καὶ συμμέτοχοι τῇ δυνάμει τῆς ὑπὲρ ἡμῶν σου ἑκουσίου σταυρώσεως. καὶ ταῖς πρεσβείαις τῆς ἡμῶν κυρίας καὶ Θεοτόκου κυρίως καὶ πάντων τῶν ἁγίων ταῖς εὐπροσδέκτοις δεήσεσιν, ὅτι σοὶ παρ'

1 προσχῶμεν. — 4 ὑψοῖ. — 16 προσέγγισμόν. — 17 οὐκαπηξίωσας. — 20 καρδιογνῶστα. — 28 ἀναδειχθείημεν. — 29 ἑκουσίως.

ἡμῶν ἐποφείλεται ἡ λατρεία καὶ ἀκατάπαυστος δοξολογία, σὺν τῷ ἀνάρχῳ σου πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας»:-

Καὶ εὐθὺς ἀπάρχονται τῆς παννυχίδος. Προκείμενον, ἦχος δ'· «Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν». Στίχ. «Ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου». Εἶτα τὸ «Πᾶσα πνοή», ὁ δὲ πατριάρχης λέγει τὸ εὐαγγέλιον· «Ἐκ τοῦ κατὰ Μᾶρκον ἁγίου εὐαγγελίου» (ιδ', 1—11). Ἀρχ. «Ἦν δὲ τὸ πάσχα καὶ τὰ ἄζυμα». Τέλος· «καὶ ἐζήτει πῶς εὐκαίρως αὐτὸν παραδῶ». Εὐθὺς τροπάριον, ἦχος πλ. δ'. Δόξα.

Δάκρυά μοι δὸς ὁ Θεός, | ὡς ποτε τῇ γυναικὶ τῇ ἁμαρτωλῷ,
καὶ ἀξίωσόν με βρέχειν τοὺς πόδας σου,
τοὺς ἐμὲ ἐκ τῆς ὁδοῦ | τῆς πλάνης ἐλευθερώσαντας
καὶ μύρον εὐωδίας μοι χρισθέντα
βίον καθαρὸν ἐν μετανοίᾳ σοι προσάγειν,
ἵνα ἀκούσω κἀγὼ τῆς εὐκταίας σου φωνῆς·
"Ἡ πίστις σου σέσωκέν σε· | πορεύου ἐν εἰρήνῃ".

Καὶ νῦν· ἦχος πλ. δ'. Θεοτοκίον.

Δέσποινα, πρόσδεξαι | τὰς δεήσεις τῶν δούλων σου
καὶ λύτρωσαι ἡμᾶς | ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Καὶ ἀπολύει.

ΤΗΙ ΑΓΙΑΙ ΚΑΙ ΜΕΓΑΛΗΙ ΠΕΜΠΤΗΙ.

Εἰς τὸν ὄρθρον.

Ἐπιτελεῖ δὲ ὁ πατριάρχης σὺν τῷ κλήρῳ εἰς τὴν Ἁγίαν Ἀνάστασιν, οἱ δὲ Ἁγιοσιωνῖται ἐν τῷ ὑπερῴῳ τῆς ἁγίας Σιὼν ἐπιτελοῦσιν τὴν ἀγρυπνίαν. Ἡ ἀκολουθία εἰς τὴν Ἁγίαν Ἀνάστασιν οὕτως:

Τροπάριν ψαλλόμενον εἰς τὸ Ἀλληλούια· ἦχος πλ. δ'.

"Οτε οἱ ἔνδοξοι μαθηταὶ | ἐν τῷ νιπτῆρι τοῦ δείπνου ἐφωτίζοντο,
τότε Ἰούδας ὁ δυσσεβὴς | φιλαργυρίαν νοσήσας ἐσκοτίζετο

1 λατρία καὶ ἀκατάπαυστος. — 4 πανυχ(ίδος). — 14 δοὺς || ποτε. — 17 πίστησου. — 25 ἁγιωσινεῖτ(αι) || σιῶν.

καὶ ἀνόμοις κριταῖς | σὲ τὸν δίκαιον κριτὴν παραδίδωσι·
φεῦ σοι, χρημάτων ἐραστά | ὁ διὰ ταῦτα ἀγχόνῃ χρησάμενος!
φεῦ σοι ἀκόρεστον ψυχὴν | τὴν διδασκάλῳ τοιαῦτα τολμήσασαν!
ὁ περὶ πάντας ἀγαθός, | Κύριε, δόξα σοι.

Τὸ αὐτὸ εἰς τὸ Δόξα. Στιχολογία· «Μακάριοι οἱ ἄμωμοι». Τροπάρια τοῦ Ἀμώμου.

Τῶν ἀγγέλων | ὁ δῆμος κατεπλάγη
ὁρῶν σε ἐν Σιὼν ὑπερῴῳ | συνδειπνοῦντα
τοῖς φίλοις καὶ ἐκπλύνοντα πόδας,
τὸν δὲ μαθητὴν | σπεύδοντα προδοῦναί σε
τοῖς ἀνόμοις καὶ τοῖς ἐχθροῖς εἰς θάνατον.

Ὅμοιον.

Τῶν ἀγγέλων ὁ δῆμος κατεπλάγη
ὁρῶν σε μαθηταῖς συνδειπνοῦντα,
τὸ σῶμά σου | εἰς βρῶσιν | μυστικῶς δὲ παρασχόντα,
πόδας δέ, Σωτήρ, | νίπτοντα τῶν δούλων σου,
ὑπὸ φίλου πραθέντα τε εἰς θάνατον.

Τριαδικόν.

Τὸ τριλαμπὲς | τῆς μιᾶς θεότητος
εὐσεβῶς ὑμνήσωμεν βοῶντες
"Ἅγιος εἶ | ὁ πατὴρ ὁ ἄναρχος,
ὁ υἱός τε καὶ τὸ θεῖον πνεῦμα·
φρούρησον ἡμᾶς | πόθῳ σοι λατρεύοντας
καὶ τοῦ αἰωνίου πυρὸς ἐξάρπασον".

Θεοτοκίον.

Τὸν ἄναρχον | καὶ υἱόν σου, δέσποινα,
καὶ Θεὸν ἡμῶν ἀπαύστως ὃν ἔτεκες,
ἐκδυσώπει, πάναγνε, | μητρικῇ σου παρρησίᾳ
τῆς ἐκ δεξιῶν αὐτοῦ στάσεως τυχεῖν ἡμᾶς
καὶ τρυφῆς ἀϊδίου ἀπολαύσεως.

2 φεῦ σοι] ρωμ. ἔκδ. «βλέπε χρημ. εραστὴν τὸν δ. τ. ἀ. χρησάμενον» || κῶδ. «ἐραστὰ· ἡ διαταῦτα αγχώνην χρησάμενον». — 3 φεῦ σοι] ρωμ. ἔκδ. «φεῦγε» || διδάσκαλω τοιαύτα. — 4 περιπάντας. — 7 κατεπλάγει. — 10 σπεῦδοντα || σε] σοι — 13 κατεπλάγει.—15 δεπασχόντα.—17 πραχθέντατε. —23 λατρεύωντας.—28 ἐκδυσώπη || μητρικῆσου.

Κάθισμα· ἦχος α', πρὸς τὸ «Τὸν τάφον σου».

Ὁ λίμνας καὶ πηγὰς | καὶ θαλάσσας ποιήσας,
ταπείνωσιν ἡμᾶς | ἐκπαιδεύων ἀρίστην,
λεντίῳ ζωσάμενος | μαθητῶν πόδας ἔνιψεν,
ταπεινούμενος | ὑπερβολῇ εὐσπλαγχνίας
καὶ ὑψῶν ἡμᾶς | ἀπὸ βαράθρων κακίας
ὁ μόνος φιλάνθρωπος.

Ἄλλο· ἦχος β', πρὸς τὸ «Ὅτε κατῆλθες».

Ὁ τῇ προγνώσει τὸν Πέτρον | προασφαλίσας
καὶ τῇ ἀρνήσει πεπτωκότα | ἐξαναστήσας
δακρύσαντα, Κύριε, | σαλευόμενον τὸν νοῦν ἡμῶν
ταῖς φαντασίαις τοῦ ἐχθροῦ ἑδραίωσον
φυλάττειν σου τὰς θεοπνεύστους διδαχὰς καὶ κράζειν σοι
"σπεῦσον σῶσον, ἅγιε, τοὺς δούλους σου".

Ἄλλο· ἦχος γ', πρὸς τὸ «Θείας πίστεως».

Ταπεινούμενος | δι' εὐσπλαγχνίαν
πόδας ἔνιψας | τῶν μαθητῶν σου
καὶ πρὸς δρόμον θεῖον τούτους κατεύθυνας·
ἀπαναινόμενος | Πέτρος δὲ νίπτεσθαι,
ὅμως τῷ θείῳ ὑπείκει προστάγματι
ἐκνιπτόμενος | καὶ σοῦ ἐκτενῶς δεόμενος
δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ἄλλο· ἦχος δ' πρὸς τὸ «Ἐπεφάνης σήμερον».

Συνεσθίων, δέσποτα, | τοῖς μαθηταῖς σου
μυστικῶς ἐδήλωσας | τὴν παναγίαν σου σφαγήν,
δι' ἧς φθορᾶς ἐλυτρώθημεν
οἱ τὰ σεπτά σου | τιμῶντες παθήματα.

Δόξα. «Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον | καὶ ἀγγέλοις ἄγνωστον μυστήριον». Καὶ εὐθὺς ἀνάγνωσις περὶ τοῦ ἄρτου καὶ τῆς προδοσίας τοῦ Ἰούδα, καὶ μετὰ τοῦ(το) τὸν ν' ψαλμόν. Τροπάριον ψαλλόμενον εἰς τὸ «Ἐλέησόν με ὁ Θεός»· ἦχος πλάγιος β', πρὸς τὸ «Στερέωσον».

4 ἐκδ. «ζωννύμενος».—6 βαραθρω—9 προασφαλίσας.—10 πεπτοκότα.—12 ἑδραίωσον.—19 ἀπεραινόμενος || νήπτεσθαι. — 20 ὅμως] ἐκδ. «αὐθις».—21 ἐκνηπτόμενος.—25 μυστηκῶς.—28 Τοῦ ἀπαιῶνος.—29 ἄρτου καὶ τὴν.

Ἐπίβλεψον, δέσποτα, | ἐλέησόν με, οἰκτείρησόν με·
δὸς ὡς Ἰορδάνου ῥεῖθρά μοι τὰ δάκρυα,
ὅπως κλαύσω | καὶ ἐξαγορεύσω τὰς πράξεις μου.

Ὅμοιον.

Ζωὴν αἰσχράν, ὄμματα | μεμολυσμένα, στόμα καὶ χεῖρας
στέρνα καὶ τὸ σῶμα ὅλον πάντοθεν | κεκτημένος,
πλύνον οὖν κἀμὲ τῷ ἐλέει σου.

Δόξα. Θεοτοκίον.

Συνέλαβες, ἄχραντε, | τὸν συνοχέα παντὸς τοῦ κόσμου·
διὰ τοῦτο ἱκετεύω σε, | λύτρωσαί με
πάσης συνεχούσης κολάσεως.

Καὶ τότε τὸν κανόνα, φεροντα ἀκροστιχίδα· «Τῇ μακρᾷ Πέμπτῃ μακρὸν ὕμνον ἐξάδω». Ἦχος πλάγιος β΄.

Ὠδὴ α΄.

Τμηθείσῃ τιμᾶται | πόντος ἐρυθρός, | κυματοτρόφος δὲ ξηραίνεται βυθός,
ὁ αὐτὸς ὁμοῦ ἀόπλοις γεγονὼς | βατος καὶ πανοπλίταις τάφος·
ᾠδὴ δὲ θεοτερπὴς | ἀνεμέλπετο | " ἐνδόξως δεδόξασται
Χριστὸς ὁ Θεὸς ἡμῶν ".

Ἡ πανταιτία | καὶ παρεκτική | ζωῆς, ἡ ἄπειρος σοφία τοῦ Θεοῦ
ᾠκοδόμησε τὸν οἶκον ἑαυτῆς | ἀγνῆς ἐξ ἀπειράνδρου μητρός·
ναὸν γὰρ σωματικὸν | περιθέμενος | ἐνδόξως δεδόξασται
Χριστὸς ὁ Θεὸς ἡμῶν.

Μυσταγωγοῦσα | φίλους ἑαυτῆς | τὴν ψυχοτρόφον ἑτοιμάζει τράπεζαν,
ἀμβροσίας δὲ ἡ ὄντως σοφία | Θεοῦ κιρνᾷ κρατῆρα πιστοῖς·
προσέλθωμεν εὐσεβῶς | καὶ βοήσωμεν | ἐνδόξως δεδόξασται
Χριστὸς ὁ Θεὸς ἡμῶν.

Ἀκουτισθῶμεν | πάντες οἱ πιστοί, | συγκαλουμένης ὑψηλῷ κηρύγματι
τῆς ἀκτίστου καὶ ἐμφύτου σοφίας | Θεοῦ· βοᾷ γὰρ " γεύσασθε,
καὶ γνόντες ὅτι Χριστὸς | ἐγὼ κράξατε | ἐνδόξως δεδόξασται
Χριστὸς ὁ Θεὸς ἡμῶν ".

Ὠδὴ δ΄.

Κύριος | ὢν πάντων καὶ κτίστης Θεὸς
τὸν κτιστὸν ὁ ἀπαθὴς | πτωχεύσας ἑαυτῷ ἥνωσε,

καὶ τὸ πάσχα οἷς ἔμελλε θανεῖν | αὐτὸς οὖν ἑαυτῷ προετύθη
"φάγετε" βοῶν "τὸ σῶμά μου | καὶ πίστει στερεωθήσεσθε".

Ῥύσιον | παντὸς τοῦ βροτείου γένους
τὸ οἰκεῖον, ἀγαθέ, τοὺς σοὺς | μαθητὰς ἐπότισας·
εὐφροσύνης ποτήριον πλησθεὶς | οὖν ἑαυτῷ προετύθης,
"πίετε" βοῶν "τὸ αἷμά μου | καὶ πίστει στερεωθήσεσθε".

"Ἄφρων ἀνήρ, | ὃς ἐν ὑμῖν προδότης"
(τοῖς οἰκείοις μαθηταῖς προέφης | ὁ ἀνεξίκακος),
"οὐ μὴ γνώσεται ταῦτα, καὶ οὗτος | ἀσύνετος ὢν οὐ μὴ συνήσει·
ὅμως ἐν ἐμοὶ μείνατε | καὶ πίστει στερεωθήσεσθε".

Εἶτα κοντάκιον· ἦχος πλάγιος δ'.

Σύνθημα ἰδιομελον.

Θεοῦ φυλακήν, ἐλεήμον, | τῷ στόματι τῶν δούλων σου·
ταύτην γὰρ πρώην οὐκ ἔχων Ἰούδας
ὁ προδούς σε, Χριστὲ ὁ Θεός,
ἐκ μισθοῦ τῆς ἀδικίας τὸν βρόχον ἐξηγόρασεν,
ἀρραβῶνα τῆς κολάσεως | ἐντεῦθεν κομισάμενος
ὁ μαθητὴς καὶ ἐπίβουλος.

Ὁ οἶκος.

Τί τῆς εἰρήνης ἡδύτερον;
τί τῆς ἀγάπης τερπνότερον;
ποῖον αὐτῆς οὐχ ὑπάρχει καλόν;
καὶ ταύτῃ πρὸς ἀπάτην
ἐχρᾶτο ὁ Ἰούδας πιπράσκων τὸν Κύριον
καὶ ποιεῖ τὸ γλυκὺ πικρὸν | ὁ ἰοβόλος
καὶ προβάλλει τὸ μάννα ὡς μάχαιραν
καὶ οὐκ αἰδεῖται | ἐν ὅλῳ φιλῶν
καὶ πωλῶν τὸν δοτῆρα τῆς ἐλευθερίας·
ὦ συνειδός, ὦ λογισμὸν | ὃν εἶχεν τεταμιευμένον
ἀ ἀ
(ν ν) ὁ μαθητὴς καὶ ἐπίβουλος.

Ὠδὴ δ'.

Προκατιδὼν ὁ προφήτης | τοῦ μυστηρίου σου τὸ ἀπόρρητον,
Χριστέ, προανεφώνησεν | "ἔθου κραταιὰν

1 οὖν ἑαυτῷ] αἱ ἐκδ. «ὧν ἑαυτὸν προετίθει» ἢ «σεαυτὸν... προετίθης»· κῶδ. «προετύθη».—5 ρωμ. ἔκδ. «πλήσας· αὐτὸς γὰρ ἑαυτὸν ἱερούργεις» || κῶδ. «ἑαυτῷ προετύθης».—13 ἐλεήμον.—14 οὐκέχων ἰούδας· ὁ προδούς.—16 βρόχων.—17 ἀραβῶνα.—23 ταύτην.

ἀγάπησιν ἰσχύος, πάτερ οἰκτίρμον"·
τὸν μονογενῆ υἱὸν γάρ, ἀγαθέ, | ἱλασμὸν εἰς τὸν κόσμον ἀπέστειλας.

Ἐπὶ τὸ πάθος τὸ πᾶσι | τοῖς ἐξ Ἀδὰμ πηγάσαν ἀπάθειαν,
Χριστε, μολὼν τοῖς φίλοις σου | εἶπας "μεθ' ὑμῶν
τοῦ πάσχα μετασχεῖν τούτου ἐπεθύμησα,
τὸν μονογενῆ ἐπεί με ἱλασμὸν | ὁ πατὴρ εἰς τὸν κόσμον ἀπέστειλεν".

Μεταλαμβάνων κρατῆρος | τοῖς μαθηταῖς ἐβόας, ἀθάνατε,
"γεννήματος ἀμπέλου δὲ | πίομαι λοιπὸν
οὐκέτι μεθ' ὑμῶν βιοτεύων·
τὸν μονογενῆ νῦν γὰρ ἱλασμὸν | ὁ πατὴρ εἰς τὸν κόσμον ἀπέστειλεν".

"Πόμα κενὸν ὑπὲρ λόγον | ἐγὼ φημὶ ἐν τῇ βασιλείᾳ μου",
Χριστέ, "τοῖς φίλοις πίομαι, | ὥστε γὰρ θεοῖς
Θεὸς ὑμῖν συνέσομαι" εἶπας· "τὸν μονογενῆ
ἐμὲ γὰρ ἱλασμὸν | ὁ πατὴρ εἰς τὸν κόσμον ἀπέστειλεν".

Ὠδὴ ε'.

Τῷ συνδέσμῳ τῆς ἀγάπης | συνδεόμενοι οἱ ἀπόστολοι
τῷ δεσπόζοντι τῶν ὅλων, | ἑαυτοὺς Χριστῷ ἀναθέμενοι
ὡραίους πόδας | ἐξαπενίζοντο | εὐαγγελιζόμενοι | πᾶσιν εἰρήνην.

Ἡ τὸ ἄσχετον κρατοῦσα | καὶ ὑπέρροον ἐν αἰθέρι ὕδωρ,
ἡ ἀβύσσους χαλινοῦσα | καὶ θαλάσσας ἀναχαιτίζουσα
Θεοῦ σοφία | ὕδωρ νιπτῆρι βάλλει, | πόδας ἀποπλύνει δὲ
δούλων δεσπότης.

Μαθηταῖς ὑποδεικνύων | ταπεινώσεως ὁ δεσπότης τύπον,
ὁ νεφέλαις δὲ τὸν πόλον | περιβάλλων ζώννυται λέντιον
καὶ κάμπτει γόνυ | δούλων ἐκπλῦναι πόδας,
οὗ ἐν τῇ χειρὶ πνοὴ | πάντων τῶν ζώων.

Ὠδὴ ς'.

"Αβυσσος | ἐσχάτη ἁμαρτημάτων | ἐκύκλωσέν με
καὶ τὸν κλύδωνα μηκέτι φέρων,
ὡς Ἰωνᾶς τῷ δεσπότῃ | βοῶ σοι "ἐκ φθορᾶς με ἀνάγαγε".

Κύριον | φωνεῖτε, ὦ μαθηταί, καὶ διδάσκαλόν με·
"καὶ γὰρ πέφυκα σωτὴρ" ἐβόας·
"διὸ μιμεῖσθε τὸν τύπον | ὃν τρόπον ἐν ἐμοὶ ἐθεάσασθε".

10 νῦν γὰρ] αἱ ἐκδ. «ἐπεὶ με».—14 ἐμὲ γὰρ] αἱ ἐκδ. «καὶ γάρ με».—23 αἱ ἐκδ. «ὑποδεικνύει».—26 ζώων] αἱ ἐκδ. «ὄντων».

Ῥύπον τις | μὴ ἔχων ἀπορρυφθῆναι οὐ δεῖται πόδας·
καθαροί, ὦ μαθηταί, ὑμεῖς δὲ | ἀλλ' οὐχὶ πάντες·
ροπὴ γὰρ ἀτάκτως ἐς ὑμῶν | ἐνὸς μαίνεται ".

Κοντάκιον· ἦχος β' πρὸς τὸ «Τὰ ἄνω ζητῶν».

Τὸν ἄρτον λαβὼν | εἰς χεῖρας ὁ προδότης
κρυφίως αὐτὰς | ἐκτείνει καὶ λαμβάνει
τὴν τιμὴν τοῦ πλάσαντος | ταῖς οἰκείαις χερσὶ τὸν ἄνθρωπον,
καὶ ἀδιόρθωτος ἔμεινεν | Ἰούδας ὁ δοῦλος καὶ δόλιος.

Ὁ οἶκος πρὸς τὸ «Τράνωσον».

Τῇ μυστικῇ | τραπέζῃ ἐν φόβῳ | προσεγγίσαντες ἅμα
καθαραῖς ταῖς ψυχαῖς | τὸν ἄρτον ὑποδεξώμεθα
συμπαραμένοντες τῷ διδασκάλῳ, | ἵνα ἴδωμεν
τοὺς πόδας πῶς ἀπονίπτει | τῶν μαθητῶν
καὶ ποιήσωμεν ὥσπερ κατείδομεν, | ἀλλήλοις ὑποταγέντες,
καὶ ἀλλήλων τοὺς πόδας ἐκπλύνωμεν·
Χριστὸς γὰρ οὕτως ἐκέλευσεν | τοῖς αὐτοῦ μαθηταῖς,
ἀλλ' οὐκ ἤκουσεν | (ν ν) Ἰούδας ὁ δοῦλος καὶ δόλιος.

Ὠδὴ ζ'.

Οἱ παῖδες ἐν Βαβυλῶνι καμίνου φλόγα οὐκ ἔπτηξαν,
ἀλλ' ἐν μέσῳ πυρὸς | ἐμβληθέντες | δροσιζόμενοι ἔψαλλον
" εὐλογητὸς εἶ, Κύριε | ὁ Θεὸς τῶν πατέρων ἡμῶν ".

Νευστάζων κάραν Ἰούδας | κακὰ προβλέπων ἐκίνησεν,
εὐκαιρίαν ζητῶν | παραδοῦναι | τὸν κριτὴν εἰς κατάκρισιν,
ὃς πάντων ἐστὶ κύριος | καὶ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὑμῖν ὁ Χριστὸς τοῖς φίλοις | ἐβόα " εἷς παραδώσει με "·
εὐφροσύνης λαθόντες | ἀγωνία | καὶ λύπῃ συνείχοντο,
" τίς οὗτος, φράσον " λέγοντες | " ὁ Θεὸς τῶν πατέρων ἡμῶν ".

" Μεθ' ὅστις ἐμοῦ τὴν χεῖρα | τρυβλίῳ βάλλει θρασύτητι,
τοῦτω πλὴν καλὸν ἦν | πύλας βίου | περάσαι μηδέποτε ".
οὗτος ὃς ἦν | ἐδήλου δὲ | ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

6 αἱ ἐκδ. «ἐξέτεινε καὶ ἔλαβε». — 10 αἱ ἐκδ. «ἐν φόβῳ τραπέζῃ» ‖ ἅμα] αἱ ἐκδ. «πάντες».—13 τοὺς] ἐλλείπει τῇ ρωμ. ἐκδόσει.—15 αἱ ἐκδ. «ἐκπλύνοντες».—16 ἐκελευσεν] αἱ ἐκδ. «ἔφησε». — 20 πυρὸς] αἱ ἐκδ. «φλογός». — 25 ὑμῖν] κώδικες ἄλλοι «ὑμῶν».—26 λύπῃ] αἱ ἐκδ. «φόβῳ».—30 οὗτος] κῶδ. «οὕτως ὃς ἦν»· αἱ ἐκδ. Christ καὶ Pitra «τοῦτον εἰπών».

Ὠδὴ ἡ'.

Νόμων πατρώων οἱ μακαριστοὶ
ἐν Βαβυλῶνι νέοι | προκινδυνεύοντες,
βασιλεύοντος κατέπτυσαν | προσταγῆς ἀλογίστου·
καὶ συνημμένοι | ᾧ οὐκ ἐχωνεύθησαν πυρί,
τοῦ κρατοῦντος ἐπάξιον | ἀνέμελπον τὸν ὕμνον·
"τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε | αὐτὸν εἰς τοὺς αἰῶνας".

Οἱ δαιτυμόνες | οἱ μακαριστοὶ
ἐν τῇ Σιὼν τῷ Λόγῳ | προσκαρτερήσαντες,
οἱ ἀπόστολοι, παρείποντο | τῷ ποιμένι ὡς ἄρνες
καὶ συνημμένοι | ᾧ οὐκ ἐχωρίσθησαν Χριστῷ,
θείῳ λόγῳ τρεφόμενοι | εὐχαρίστως ἐβόων
"τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε | αὐτὸν εἰς τοὺς αἰῶνας".

Νόμου φιλίας | ὁ δυσώνυμος
Ἰσκαριώτης γνώμῃ | ἐπιλαθόμενος
οὗς ἐνίψατο ηὐτρέπιζεν | πρὸς προδοσίαν ποδας,
καὶ σοῦ ἐσθίων | ἄρτον, σῶμα θεῖον, ἐπῆρε
πτερνισμὸν ἐπὶ σέ, Χριστέ, | καὶ βοᾶν οὐ συνῆκε
"τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε | αὐτὸν εἰς τοὺς αἰῶνας".

Ἐδεξιοῦτο | τὸ λυτήριον
τῆς ἁμαρτίας σῶμα | ὁ ἀσυνείδητος
καὶ τὸ αἷμα τὸ χεόμενον | ὑπὲρ κόσμου τὸ θεῖον,
ἀλλ' οὐκ ᾔδειτο | πίνων ὃ ἐπίπρασκε τιμῆς·
οὐ κακία προσώχθισε | καὶ βοᾶν οὐ συνῆκε
"τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε | αὐτὸν εἰς τοὺς αἰῶνας".

Ὠδὴ θ'.

Ξενίας δεσποτικῆς | καὶ ἀθανάτου τραπέζης
ἐν ὑπερῴῳ τόπῳ | ταῖς ὑψηλαῖς φρεσί,
πιστοί, δεῦτε ἀπολαύσωμεν | ἐπαναβεβηκότα Λόγον
ἐκ τοῦ λόγου μαθόντες, | ὃν μεγαλύνωμεν.

15, 22, 29, αι ἐκδ. «εἰς πάντας τοὺς αἰῶνας». — 34 ἐκδ. «μεγαλύνομεν» — 18 αἱ ἐκδ. «ηὐτρέπισεν εἰς».

"Απιτε τοῖς μαθηταῖς" | ὁ Λόγος ἔφη· "το πάσχα
ἐν ὑπερῴῳ τόπῳ, | ᾧ νοῦς ἐνίδρυται,
οἷς μυσταγωγῶ σκευάσατε | ἀζύμῳ ἀληθείας λόγῳ,"
τὸ στερρὸν δὲ τῆς χάριτος | μεγαλύνωμεν.

"Δημιουργὸν ὁ πατὴρ | πρὸ τῶν αἰώνων σοφίαν
γεννᾷ ἀρχὴν ὁδῶν με, | εἰς ἔργα δ' ἔκτισε
τὰ νῦν μυστικῶς τελούμενα· | λόγος γὰρ ἄκτιστος ὢν φύσει
τὰς φωνὰς οἰκειοῦμαι, | ἃς νῦν προσείληφα.

Ὡς ἄνθρωπος ὑπάρχω | οὐσία οὐ φαντασία,
οὕτω Θεὸς τῷ τρόπῳ | τῆς ἀντιδόσεως
ἡ φύσις ἡ ἐνωθεῖσά μοι· | Χριστὸν ἕνα διό με γνῶτε
τὰ ἐξ ὧν, ἐν οἷς ἅπερ | πέφυκα, σώζοντα".

Ἐξαποστειλάριον πρὸς τὸ «Τοῖς μαθηταῖς συνελθωμεν».

Ὦ ἐξαισίου θαύματος!
ὁ ὄρακι πᾶν κατέχων | καὶ στηριζίζων ὕδατα,
ὁ σαλεύων γῆν πᾶσαν | καὶ χαλινῶν τὰς ἀβύσσους,
ὁ ἀναβαλλόμενος | τὸ φῶς ὥσπερ ἱμάτιον
ὕδωρ βάλλει νιπτῆρι | καὶ χοϊκοὺς
καὶ πηλίνους ταῖς χερσὶ νίπτει πόδας·
οὐρανὲ φρῖξον, βόησον | γῆ τὸ μέγιστον θαῦμα!

Θεοτοκίον.

Τίς ἐν ἡμέρᾳ θλίψεως
ἐπεκαλέσατό σε, | μῆτερ Θεοῦ παναγία,
ἄχραντε Θεοτόκε, | καὶ οὐκ εὐθὺς εἰσηκούσθη;
οἶδα τὸ ἔλεος σου, | οἶδα τὴν εὐσπλαγχνίαν σου·
μή με ἐγκαταλίπῃς, | ἀλλ' ἐξ ἐχθρῶν
ὁρατῶν με ῥῦσαι καὶ ἀοράτων
καὶ σῶσον με τὸν δοῦλόν σου, | δέσποινα Θεοτόκε.

Στιχηρὰ εἰς τοὺς αἴνους· ἦχος β', πρὸς τὸ «Ὅτε ἐκ τοῦ».

Ὅτε | ἐν τῷ δείπνῳ σε, Χριστέ,
εἶδον στρατιαὶ τῶν ἀγγέλων | συνανακείμενον
μετὰ τῶν σῶν δώδεκα | μαθητῶν ἔφριττον
ἐ[πὶ] τὸν ἀχώρητον | πατρῷόν σου κόλπον

4 αἱ ἐκδ. «μεγαλύνατε».— 8 ἃς] αἱ ἐκδ. «οὐς». — 14 ᾧ] ὦ.—15 πᾶν] τὸν. — 18 νιπτήρι. — 20 φρίξον. — 24 οὐκευθὺς. — 25 οἶδα . . . οἶδα. —31 ἰδὸν. — 33 πατρῴου σου κόλπων.

καὶ σὲ | ἀπερίγραπτον τὸ πᾶν θεότητι,
ὅμως | ἐκπληττόμεναι φόβῳ | ὕμνον σοι ἐκραύγαζον·
"δόξα | τῇ μακροθυμίᾳ σου, φιλάνθρωπε".

Ὅτε | ἐν τῷ δείπνῳ σε, Χριστέ,
ὁ Ἰσκαριώτης ὡς φίλος | συνεστιάσατο
καὶ τὸ θεῖον σῶμά σου | ἐδεξιώσατο,
ἐκπηδήσας πεπόρευται | πρὸς τοὺς θεοκτόνους,
"τί μοι" | λέγων "θέλετε | δοῦναι κἀγὼ ὑμῖν
ὑπερ | Ἰησοῦν ἐκζητεῖτε | θανάτῳ παραδίδωμι αὐτόν";
δόξα | τῇ μακροθυμίᾳ σου, φιλάνθρωπε.

Ἕτερα στιχηρά· ἦχος β'· ἰδιόμελα.

Συντρέχει λοιπὸν | τὸ συνέδριον τῶν Ἰουδαίων,
ἵνα τὸν δημιουργὸν | καὶ κτίστην τῶν ἁπάντων
Πιλάτῳ παραδώσῃ· | ὦ τῶν ἀνόμων, | ὦ τῶν ἀπίστων,
ὅτι τὸν ἐρχόμενον | κρῖναι ζῶντας καὶ νεκροὺς
πρὸς κρίσιν εὐτρεπίζουσι,
τὸν ἰώμενον τὰ πάθη | πρὸς πάθος ἑτοιμάζουσι·
Κύριε μακρόθυμε, μέγα σου τὸ ἔλεος· | δόξα σοι.

Ἰούδας ὁ παράνομος, Κύριε, | ὁ βάψας ἐν τῷ δείπνῳ τὴν χεῖρα
ἐν τῷ τρυβλίῳ μετὰ σοῦ | ἐξέτεινεν ἀνόμοις τὰς χεῖρας
τοῦ λαβεῖν ἀργύρια, | καὶ ὁ τοῦ μύρου λογισάμενος τιμὴν
σὲ τὸν ἀτίμητον | οὐκ ἔφριξε πωλῆσαι·
ὁ τοὺς πόδας ὑφαπλώσας ἐπὶ τὸ νίψαι τὸν δεσπότην
κατεφίλησε δολίως | εἰς τὸ προδοῦναι τοῖς ἀνόμοις·
χοροῦ δὲ ἀποστόλων ῥιφεὶς | καὶ τὰ τριάκοντα ῥίψας ἀργύρια,
σοῦ τὴν τριήμερον ἀνάστασιν | οὐκ οἶδε, | δι' ἧς ἐλέησον ἡμᾶς.

Ἰούδας ὁ προδότης δόλιος ὢν
δολίῳ φιλήματι | παρέδωκε τὸν σωτῆρα Κύριον·
τὸν δεσπότην τῶν ἁπάντων | ὡς δοῦλον πέπρακε τοῖς Ἰουδαίοις·
ὡς πρόβατον ἐπὶ σφαγήν, | οὕτως ἠκολούθει | ὁ ἀμνὸς ὁ τοῦ Θεοῦ,
ὁ υἱὸς ὁ τοῦ πατρός, | ὁ μόνος πολυέλεος.

Ἰούδας ὁ δοῦλος καὶ δόλιος, | ὁ μαθητὴς καὶ ἐπίβουλος,
ὁ φίλος καὶ διάβολος | ἐκ τῶν ἔργων ἀπεφάνθη·

1 τὸ] τῷ. — 6 ἐδεξιάσατο. — 9 παραδίδωμι. — 16 πρὸς] ἐκδ. ρωμ. «εἰς». — 33 ἀπεφάνθη] ἐκδ. «ἀνεδείχθη».

ἠκολούθει γὰρ τῷ διδασκάλῳ | καὶ καθ' ἑαυτὸν
ἐμελέτησε τὴν προδοσίαν· ἔλεγεν ἐν ἑαυτῷ·
"παραδώσω τοῦτον | καὶ κερδήσω τὰ συναχθέντα χρήματα"·
ἐπεζήτει δὲ | καὶ τὸ μύρον πραθῆναι
καὶ τὸν Ἰησοῦν | δόλῳ κρατηθῆναι·
ἀπέδωκεν ἀσπασμόν, | παρέδωκε τὸν Χριστόν·
καὶ ὡς πρόβατον ἐπὶ σφαγήν, | οὕτως ἠκολούθει
ὁ μόνος εὔσπλαγχνος καὶ φιλάνθρωπος.

Εἰς τὸ Δόξα ἦχος πλ. β'· ἰδιόμελον.

Γέννημα ἐχιδνῶν | ἀληθῶς ὁ Ἰούδας,
φαγόντων τὸ μάννα | ἐν τῇ ἐρήμῳ
καὶ γογγυζόντων κατὰ τοῦ τροφέως·
ἔτι γὰρ | τῆς βρώσεως οὔσης ἐν στόματι αὐτῶν
κατελάλουν τοῦ Θεοῦ οἱ ἀχάριστοι·
καὶ οὗτος ὁ δυσσεβὴς | τὸν οὐράνιον ἄρτον
ἐν τῷ στόματι βαστάζων | κατὰ τοῦ Σωτῆρος
τὴν προδοσίαν εἰργάσατο·
ὢ γνώμης ἀκορέστου | καὶ τόλμης ἀπανθρώπου·
τὸν τρέφοντα ἐπώλει | καὶ ὃν ἐφίλει δεσπότην
παρεδίδου εἰς θάνατον·
ὄντως ἐκείνων | υἱὸς ὁ παράνομος
καὶ σὺν αὐτοῖς | τὴν ἀπώλειαν ἐκληρώσατο·
ἀλλὰ φεῖσαι, Κύριε,
τοιαύτης ἀπανθρωπίας | τὰς ψυχὰς ἡμῶν,
ὁ μόνος ἐν μακροθυμίᾳ ἀνείκαστος.

Καὶ νῦν· ἦχος πλ. α.

Μυσταγωγῶν σου, Κύριε, | τοὺς μαθητὰς ἐδίδασκες λέγων·
"ὦ φίλοι, | ὁρᾶτε | μηδεὶς ὑμᾶς χωρίσῃ μου φόβος·
εἰ γὰρ καὶ πάσχω, | ἀλλ' ὑπὲρ τοῦ κόσμου·
μὴ οὖν σκανδαλίζεσθε ἐν ἐμοί·
οὐ γὰρ ἦλθον διακονηθῆναι, | ἀλλὰ διακονῆσαι
καὶ θεῖναι τὴν ψυχήν μου | λύτρον ὑπὲρ τοῦ κόσμου·
εἰ οὖν ὑμεῖς φίλοι μου, | ἐμὲ μιμεῖσθε·
ὁ θέλων πρῶτος εἶναι | ἔστω ἔσχατος·

3 τοῦτον] ἐκδ. «αὐτόν».—10 ἐχιδνῶν.—12 γογγιζόντων.—13 οὔσης.—15 δυσσεβεὶς.—18 ὦ.—28 ἀνίκαστος.—28 ὦ || χωρήσει.—30 ἐνεμοί.—32 θῆναι.—33 ἡμεῖς.

ὁ δεσπότης, ὡς ὁ διάκονος·
μείνατε ἐν ἐμοί, | ἵνα βότρυν φέρητε·
ἐγὼ γάρ εἰμι τῆς ζωῆς ἡ ἄμπελος".

Εὐθὺς τὸ «Δόξα ἐν ὑψίστοις Θεῷ» καὶ ὁ ψάλτης προκείμενον· ἦχος βαρύς, ψαλμὸς τῷ Δαυίδ· «Ὁ ἐσθίων ἄρτους μου ἐμεγάλυνεν» ἕως «καὶ ἀνταποδώσω αὐτοῖς». Στίχ. «Οἱ ἐχθροί μου εἶπον κακά μοι· πότε ἀποθανεῖται καὶ ἀπολεῖται τὸ ὄνομα αὐτοῦ»; Καὶ ὁ ἀναγνώστης· «Γενέσεως τὸ ἀνάγνωσμα» (κβ', 1—19), οὗ ἡ ἀρχή· «Ὁ Θεὸς ἐπείραζεν τὸν Ἀβραὰμ καὶ εἶπεν πρὸς αὐτόν». Τέλος· «Ἅμα ἐπὶ τὸ φρέαρ τοῦ ὅρκου». Πράξεων τῶν ἀποστόλων (ἀνάγνωσμα, οὗ ἡ ἀρχή)· «Σταθεὶς ὁ Πέτρος ἐν μέσῳ τῶν ἀδελφῶν». Τέλος· «ἐπισκοπὴν αὐτοῦ λαβέτω ἕτερος» (α', 15—20). Ψαλμὸς τῷ Δαυίδ· «Ἠπαλύνθησαν οἱ λόγοι αὐτῶν ὑπὲρ ἔλαιον καὶ αὐτοί εἰσι βολίδες». Στίχ. «Ἐνώτισαι ὁ Θεὸς τὴν προσευχήν μου». Ὁ δὲ τέταρτος τῶν διακόνων ἀναγινώσκει τὸ εὐαγγέλιον. Ὁ διάκονος· «Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι.—Ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου» (κβ', 1—39). Ἀρχ. «Ἤγγιζεν ἡ ἑορτὴ τῶν ἀζύμων». Τέλος· «ἠκολούθησαν δὲ αὐτῷ καὶ οἱ μαθηταὶ αὐτοῦ». Εἶτα τὸ «Καταξίωσον Κύριε», καὶ ἐξελθόντες εἰς τὸ Ἅγιον Κρανίον ψάλλομεν τὸ στιχηρὸν τοῦτο· ἦχος α'· δευτερώνομεν αὐτό.

Σήμερον ὁ Ἰούδας | καταλιμπάνει τὸν διδάσκαλον
καὶ παραλαμβάνει τὸν διάβολον·
τυφλοῦται τῷ πάθει τῆς φιλαργυρίας·
ἐκπίπτει τοῦ φωτὸς | ὁ ἐσκοτισμένος·
πῶς γὰρ ἠδύνατο βλέπειν | ὁ τὸν φωστῆρα πωλήσας
τριάκοντα ἀργύρια;
ἀλλ' ἡμῖν ἀνέτειλεν | ὁ παθὼν ὑπὲρ τοῦ κόσμου,
πρὸς ὃν βοήσωμεν
"ὁ παθὼν καὶ συμπαθὼν ἀνθρώποις δόξα σοι".

Εἰς τὸ Δόξα . . . καὶ νῦν. Θεοτοκίον· ἦχος πλ. α'.

Ἅσατε τῷ Κυρίῳ καὶ ψάλατε
ἡ οἰκουμένη τὰ θαύματα | τῆς ἐξουσίας αὐτοῦ·

2 ἐνεμοί.—5 ἄρτους.—7 ἀπόλειτ(αι). — 17 ἤγγειζεν. — 19 ψάλλοντ(αι). — 20 τοῦ στιχ(ηροῦ) || δευτερόνωμ(εν) αὐτῶ. —25 πολήσας. — 27 παθὼν.

ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν | καὶ τῶν ὀρέων ἁπτόμενος
τὴν μὲν | τρέμειν ἐποίησεν, | τὰ δὲ καπνίζειν ἐπετέλει,
τὴν δὲ παρθενικὴν μήτραν | οἴκων | οὐ κατέφλεξε·
ἦλθεν γὰρ ἐν αὐτῇ | οὐ ταραχῶς οὐδὲ στασίως,
ἀλλ' ὡς ὑετὸς ἐπὶ πόκον | ὅλον τὸν ἄνθρωπον οὐσιωδῶς φορέσας,
οὐ φαντάσας ὅλως τὴν οἰκονομίαν,
εἷς ἐκ δύο προερχόμενος τῶν ἐναντίων·
ὃν καὶ ἀνέλαβε | δίχα τῆς ἁμαρτίας,
ὁ γὰρ Λόγος ἀτρέπτως | ἑνωθεὶς τὸ καθ' ὑπόστασιν
τοῖς ἀνθρώποις ἐπολιτεύσατο·
δύο τὰς φύσεις δὲ Χριστοῦ ὁμολογοῦμεν,
τὴν μὲν | προαιώνιον καὶ διαλάμπουσαν θαύμασιν,
τὴν καθ' ἡμᾶς δὲ πρόσφατον | καὶ πάθη ὑπομείνασαν,
ὅτι ἄσαρκος Θεὸς οὐ σταυροῦται | οὐ θάπτεται,
οὐδὲ ἄνθρωπος ψιλὸς | σκυλεύει τὸν θάνατον·
αὐτὸν ἱκέτευε | ὡς υἱόν σου καὶ Θεὸν ἡμῶν,
παναγία παρθένε, | τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εὐθὺς τὸ «Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι» καὶ τὸ τρισάγιον καὶ ἡ α' ὥρα, καὶ μετὰ τὴν α' ὥραν «Ἀλληλούια» ἦχος βαρύς, «Χριστὲ τὸ φῶς» καὶ τὸ Θεοτόκιν.

Ἄχραντε Θεοτόκε, | ἐν ἀπογνώσει τῶν δεινῶν ἡμῶν
ἁμαρτιῶν φθανόμενοι | ἐπὶ σὲ τὰς ἐλπίδας ἀνατιθέμεθα·
σπεῦσον, σῶσον, λύτρωσαι ἡμᾶς | τῆς ἀπειλῆς τοῦ ἐχθροῦ
καὶ τὸν πιστὸν βασιλέα | σὺν τῷ στρατῷ περίσωζε,
μόνη εὐλογημένη.

Εὐθὺς τροπάριον· ἦχος γ'· «Ὁ ῥαπισθεὶς ὑπὲρ γένους ἀνθρώπων καὶ μὴ ὀργισθεὶς | ἐλευθέρωσον ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν καὶ σῶσον ἡμᾶς». Ψαλμὸς τῷ Δαυίδ· ἦχος δ'· «Γνώτωσαν ἔθνη, ὅτι ὄνομά σοι, Κύριε». Στίχ. «Ὁ Θεός, τίς ὁμοιωθήσεταί σοι»; Προφητείας Ἱερεμίου τὸ ἀνάγνωσμα (ια', 18-23. ιβ', 1-15). Ἀρχ. «Κύριε γνώρισόν μοι καὶ γνώσομαι». Τέλος· «καὶ ἕκαστον εἰς τὴν γῆν αὐτοῦ». Προκείμενον· ἦχος πλάγιος δ'· «Εὔξασθε καὶ ἀπόδοτε κυρίῳ τῷ Θεῷ ἡμῶν». Στίχ. «Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός». Καὶ εὐθὺς λέγει «Τὰ διαβήματά μου κατεύθυνον» καὶ ἀπολύει, καὶ οὕτως ἀναγι-

1 ἁπτόμενος.—2 τρέμειν.—3 οἴκων.—5 οὐσιοδῶς.—9 καθυπόστασιν.—12 θαύμασιν.—23 τὴν ἀπειλήν.—29 ὄνομα.—31 μοι καὶ] μοι τὴν.

νώσκει ὁ τέταρτος τῶν πρεσβυτέρων τὸ κατὰ Ἰωάννην εὐαγγέλιον ἔμπροσθεν τοῦ Ἁγίου Κρανίου· κακεῖθι ψάλλομεν τὴν τριτέκτην ἄνευ στιχολογίας, ὁμοίως καὶ τὴν ἑνάτην ὥραν. Τροπάριον· «Ὅτε οἱ ἔνδοξοι μαθηταί». — «Μὴ δὴ παραδώῃς ἡμᾶς». Καὶ ἀπολύει.

Τῇ ἁγίᾳ καὶ μεγάλῃ Πέμπτῃ ἑσπέρας ψάλλομεν ἢ ἔμπροσθεν τοῦ Ἁγίου Κρανίου ἢ εἰς τὴν Ἁγίαν Σιὼν ἄνευ στιχολογίας. Στιχηρὰ εἰς τὸ «Κύριε ἐκέκραξα»· ἦχος πλάγιος β', πρὸς τὸ «Ὅλην ἀποθέμενοι».

Σοφίας ἡ ἄβυσσος, | τὸ τῆς ἀφέσεως ῥεῖθρον
ἐν δουλικῷ σχήματι | εἰς νιπτῆρα σήμερον | ὕδωρ ἔβαλεν·
κεφαλὴν κλινων δὲ | ὁ τὰ πάντα κλίνων
(κλίνει) γόνυ φόβῳ καὶ ἐφάπτεται
ποδῶν ὧν ἔπλασεν, | τούτους ἀποπλύνων,
ἐκμάσσων δέ· | πρὸς ὃν καταπληττόμενος
Πέτρος ὁ θερμὸς ἀνεβόησεν | "οὐ νίψῃς μου πόδας·
οἰκέτης γάρ ὑπάρχω σου, Χριστέ·
μή με φλογίσῃς τὸ ἄστεκτον | πῦρ τὸ τῆς θεότητος".

Ὅμοιον.

"Φιλεῖς με τον Κύριον"; | (ὁ ποιητὴς πρὸς τὸν Πέτρον)·
"ἀλλ' ἐὰν μὴ νίψω σε | τῆς ἐμῆς κεχώρισαι | διαθέσεως·
ἀγνοεῖς ὅλως γάρ | ὃ ἐγὼ σήμερον παραδόξως διαπράττομαι"·
ὁ δὲ ἐβόησεν· | "μὴ τοὺς πόδας μόνον | ἀλλ' ὅλον με
ἀπόπλυνον, φιλάνθρωπε· | ὅλον με καθάρισον, εὔσπλαγχνε,
ὅπως σῆς εἰρήνης | ὁδὸν κατευθυνόμενος τὴν σὴν
πᾶσι κηρύξω θεότητα | τὴν ἀπειροδύναμον".

Ὅμοιον.

"Διαθήκην τίθημι", | φησὶν τοῖς φίλοις ὁ Λόγος,
"πρὸς ὑμᾶς τοὺς μύστας μου·
τοῖς ἐμοῖς προσέχετε | θείοις ῥήμασιν·
ἑαυτοὺς στέργετε, | ὅπως πάντες γνῶσιν

5 ψαλομ(εν). — 6 σιὼν. — 11 πάντα κλίνει. — 12 προσέθηκα τὸ «κλίνει» || ἐφ ἅπτεται. — 19 ποιητὴς. — 20 ἀλλεὰν || κεχώρησαι.

τίς ὁ ταῦτα ἐντειλάμενος·
λάβετε φάγετε | τοῦτο μού τὸ σῶμα καὶ πίετε
ποτήριον ὃ δίδωμι | εἰς ἁγιασμόν τε καὶ κάθαρσιν
τῶν πλημμελημάτων | ἀξίως τοῖς μετέχουσιν αὐτοῦ
καὶ τὴν ἐμὴν καταγγέλλουσιν | ἄκραν συγκατάβασιν".

Ὅμοιον.

Ὁ κρίνων τὰ σύμπαντα | ἐπὶ κριτήριον ἔρχῃ·
ὁ πλάσας τὸν ἄνθρωπον
τῇ χειρί σου ράπισμα | χειρὸς δέδεξαι·
ὁ ζωῆς κύριος | θανατοῦσαι θέλων·
ὁ τὰ πάθη ἀξιώμενος πάθος ὑφίστασαι,
πόδας μαθητῶν ἀποπλύνεις δὲ
ἀρρήτως ταπεινούμενος | ὁ τοῖς Χερουβὶμ ἐποχούμενος·
ὦ μακροθυμίας, | ὦ θείας ταπεινώσεως,
δι' ἧς τοὺς ταπεινοὺς πρὸς οὐράνιον | ὕψος ἀναβέβηκας.

Στιχηρὸν εἰς τὸ Δόξα . . . καὶ νῦν· ἦχος πλ. δ'.

Ὁ τρόπος σου | δολιότητος γέμει, | παράνομε Ἰούδα·
νοσῶν γὰρ φιλαργυρίαν | ἐκέρδησας μισανθρωπίαν·
εἰ γὰρ πλοῦτον ἠγάπας | τί παραπτωχίαν
διδάσκων τί ἐφοίτας, | τί δὲ καὶ ἐφίλεις;
ἵνα τί ἐπώλεις | τὸν ἀτίμητον παραδοὺς εἰς μιαφονίαν;
φρῖξον ἥλιε, | στέναξον ἡ γῆ καὶ κλονουμένη βόησον·
" ἀνεξίκακε Κύριε, δόξα σοι ".

Εὐθὺς τὸ «Φῶς ἱλαρόν». Προκείμενον ἦχος α', ψαλμὸς ρλθ'. «Ἐξελοῦ με, Κύριε, ἐξ ἀνθρώπου πονηροῦ· ἀπὸ ἀνδρὸς ἀδίκου ῥῦσαί με». Στίχ. «Οἵτινες διελογίσαντο ἀδικίαν, ὅλην τὴν ἡμέραν παρεστ»: Τῆς Ἐξόδου τὸ ἀνάγνωσμα (ιθ', 10—19). Ἀρχ. «Εἶπεν Κύριος πρὸς Μωσῆν· καταβὰς διαμάρτυραι τῷ λαῷ». Τέλος· «ὁ δὲ Θεὸς ἀπεκρίνατο αὐτῷ φωνῇ». Προκείμενον ἦχος βαρύς· «Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου ὁ Θεός, καὶ ἐκ τῶν ἐπανισταμένων ἐπ' ἐμὲ λύτρωσαί με». Στίχ. «Ῥῦσαί με ἐκ τῶν ἐργαζομένων τὴν ἀνομίαν καὶ ἐξ ἀνδρὸς αἱμάτων σῶσόν με». Ἰὼβ τὸ ἀνάγνωσμα (λη', λθ', μ', μα', μβ' 1—5). Ἀρχ. «Εἶπεν Κύριος

5 καταγγέλλουσιν. — 12 ἀποπλύνῃς. — 14 ὦ . . . ὦ. — 21 ἐπώλης. — 22 φρῖξον.

τῷ Ἰὼβ διὰ λαίλαπος καὶ νεφῶν». Τέλος· «νυνὶ δὲ ὁ ὀφθαλμός μου ἑώρακέν σε».—Προκείμενον ἦχος βαρύς· «Οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ». Στίχ. «Ἵνα τί ἐφρύαξαν ἔθνη καὶ λαοί: παρέστησαν οἱ βασιλεῖς τῆς γῆς». Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα (ν', 4 — 11). Ἀρχ. «Κύριος δίδωσί μοι γλῶσσαν παιδείας». Τέλος· «ἐν λύπῃ κοιμηθήσεσθε». Εὐθὺς τὸ «Καταξίωσον Κύριε»· εἶτα τοῦ στιχηραρίου ἦχος α', πρὸς τὸ «Πανεύφημοι».

Νιπτῆρος τοῦ θείου σου, | Σωτήρ, | τοὺς πιστῶς μετέχοντας
ἁγιασμοῦ σου καθάρισον, | τὴν χάριν δώρησαι,
καὶ τῶν ἐγκλημάτων | ῥύπον πλῦνον ἅπαντα,
πταισμάτων σπίλους πλύνων ὡς εὔσπλαγχνος,
ὅπως ὑμνοῦμέν σου | τὴν ἀνείκαστον συμπάθειαν
καὶ τιμῶμεν | τὸ κράτος τὸ ἄφραστον.

Ὅμοιον, στίχ. «Ἐλέησόν με ὁ Θεὸς κατά».

Ἰσχύει θεότητος | τὸ φῶς | ὁ ἀναβαλλόμενος
καθὼς ἱμάτιον, εὔσπλαγχνε, | καὶ ἐν νεφέλαις σου
περιβάλλων πόλον | καὶ λεντίῳ θείῳ σου
ἐκμάξας μαθητῶν | πόδας σήμερον,
καὶ νῦν ἀπόπλυνον | ἐν τῷ σῷ νιπτῆρι ἅπαντας
τοὺς τελοῦντας | τὸν τύπον τὸν θεῖον σου.

Ὅμοιον· στίχ. «Ἐπὶ πλεῖον πλῦνόν με».

Πανσόφῳ βουλήματι | χειρὶ | θεϊκῇ τὴν ἄβυσσον
ὁ σφραγισάμενος, δέσποτα, | καὶ πόδας ὕδασι
μαθητῶν σου νίψας, | βλέψας οὐρανόθεν νῦν
ἐπίσκεψαι | καὶ πᾶσιν τὴν χάριν σου
δὸς ἐν νιπτῆρί σου | τῷ ἀχράντῳ ὡς φιλάνθρωπος
τοῦ δοξάζειν | τὴν σὴν συγκατάβασιν

Δόξα . . . καὶ νῦν· ἦχος β'.

Ὃν ἐκήρυξεν ἀμνὸν Ἡσαΐας, | ἔρχεται ἐπὶ σφαγὴν ἑκούσιον
καὶ τὸν νῶτον | δίδωσιν εἰς μάστιγας | τὰς σιαγόνας εἰς ῥαπίσματα·
τὸ δὲ πρόσωπον οὐκ ἀπεστράφη | ἀπὸ αἰσχύνης ἐμπτυσμάτων·

1 λέλαπος.—11 ἐγκλημμάτων || πλύνον.—12 σπήλους.—13 ἀνίκαστον.—17 νεφέλαισου.—18 περιβάλλον.—25 μαθητᾶς.—27 νιπτήρι.—30 ἀμνόν.—31 σιαγώνας.

θανάτῳ δὲ ἀσχήμονι καταδικάζεται·
πάντα ὁ ἀναμάρτητος | ἑκουσίως καταδέχεται,
ἵνα πᾶσι δωρήσηται | τὴν ἐκ νεκρῶν ἀνάστασιν.

Εἶτα «Νῦν ἀπολύεις τὸν δοῦλόν σου»· τρισάγιον καὶ τροπάριον ἀπολυτίκιον, ἦχος πλάγιος δ'· «Ὅτε οἱ ἔνδοξοι μαθηταί». Εὐθὺς ὁ πατριάρχης (πορεύεται) εἰς τὴν ἁγίαν Σιὼν ἢ εἰς τὸν Ἅγιον Κωνσταντῖνον, ἵνα ἁγιάσῃ τὸ μύρον· ἐν ταύτῃ γὰρ τῇ ἁγία ἡμέρα ῥογεύει ὁ πατριάρχης (εἰς) τὸν κλῆρον τὴν ῥόγαν αὐτῶν οὕτως· μετὰ τὸ ἀπολῦσαι ὁ ὄρθρος, ἀλλάξει καὶ καθήσει εἰς τὸ Σέκρετ(ον) καὶ φορεῖ τὸ ὠμοφόριον αὐτοῦ· καὶ εὐθὺς ἀλλάζουν οἱ ιβ' ἀρχ(ιερεῖς) καὶ παραστήκουν αὐτῷ, καὶ ἄρξεται ῥογεύειν αὐτῶν πάντων ἐμβάθμως καὶ κατὰ τάξιν. Οὕτος ἦν ὁ τύπος.

ΤΑΞΙΣ ΣΥΝ ΘΕΩΙ ΤΗΣ ΛΕΙΤΟΥΡΓΙΑΣ

ΤΟΥ ΑΓΙΟΥ ΜΥΡΟΥ.

Εὐθὺς ἀλλάξει ὁ πατριάρχης καὶ οἱ μητροπολῖται καὶ οἱ ἐπίσκοποι καὶ οἱ πρεσβύτεροι καὶ οἱ διάκονοι καὶ οἱ ὑποδιάκονοι ἄσπρα εἰς τὴν ἁγίαν Σιών. Εὐθὺς λέγει ὁ πατριάρχης τὰς εὐχὰς ἐν τῷ Σκευοφυλακείῳ καὶ γίνεται εἴσοδος, καὶ οἱ ψάλται ψάλλουσι στιχηρόν· ἦχος πλάγιος δ'.

Σήμερον ὁ Ἰούδας
τὸ τῆς φιλοπτωχίας | κρύπτει προσωπεῖον
καὶ τῆς πλεονεξίας | ἀνακαλύπτει τὴν μορφήν·
οὐκέτι τῶν πενήτων φροντίζει·
οὐκέτι τὸ μύρον πιπράσκει | τὸ τῆς ἁμαρτωλοῦ,
ἀλλὰ τὸ οὐράνιον μύρον,
καὶ ἐξ αὐτοῦ νοσφίζεται τὰ ἀργύρια·
τρέχει πρὸς Ἰουδαίους,

5 ἀπολυτικῆ. — 6 προσέθηκα τὸ «πορεύεται». — 7 ἁγιάσαι || ταῦτη. — 8 ρογεύη. — 9 ἀλάξει και καθήσει || σέκριτ(ον). — 10 ὁμοφόριον || ἀλάλαξουν. — 12 ἐνβάθμως. — 13 τὴν λειτ(ου)ρ(γίαν). — 15 ἀλαξει. — 18 σκευοφυλακειω. — 21 φιλοπτωχείας.

λέγει τοῖς παρανόμοις·
"τί μοι θέλετε δοῦναι
κἀγὼ ὑμῖν παραδώσω αὐτόν"
ὦ φιλαργυρίας προδότου!
εὐωνον ποιεῖται τὴν πρᾶσιν
πρὸς τὴν γνώμην τῶν ἀγοραζόντων
τοῦ πωλουμένου· | τὴν πραγματείαν ποιεῖται·
οὐκ ἀκριβολογεῖται πρὸς τὴν τιμήν,
ἀλλ' ὡς δοῦλον φυγάδα | ἀπεμπολεῖ·
ἔθος γὰρ τοῖς κλέπτουσιν | ῥίπτειν τὰ τίμια·
νῦν ἔβαλεν τὰ ἅγια | τοῖς κυσὶν ὁ μαθητής·
ἡ γὰρ λύσσα τῆς φιλαργυρίας
κατὰ τοῦ ἰδίου δεσπότου | μαίνεσθαι ἐποίησεν αὐτόν·
ἧς τὴν πεῖραν φύγωμεν κράζοντες
"μακρόθυμε Κύριε, δόξα σοι".

Εὐθὺς Δόξα· ἦχος β'. Κοντάκιον.

Ὡς μύρον σεπτὸν | καὶ θεῖον καὶ ἀτίμητον
τῆς πόρνης, Χριστέ, | τὸ μύρον δέχῃ σήμερον·
τῶν ποδῶν φιλήματι | τὰ δυσώδες καθαίρεις τῶν πράξεων·
σὺν αὐτῇ οὖν, μόνε Σωτήρ, | τοὺς πόθῳ τιμῶντας σε οἰκτείρησον.

Ὁ διάκονος συνάπτει. Ὁ ἀρχιερεὺς ἐκφώνως· «Ὅτι ἅγιος εἶ, Κύριε ὁ Θεὸς ἡμῶν». Οἱ ψάλται τὸ τρισάγιον. Εὐθὺς γίνεται καθέδρα εἰς τὸ σύνθρονον. Εἶτα ψαλμὸς τῷ Δαυίδ· «Ἠπαλύνθησαν οἱ λόγοι αὐτῶν ὑπὲρ ἔλαιον καὶ»: Στίχ. «Ἐνώτισαι ὁ Θεὸς τὴν προσευχήν μου». Τῆς Ἐξόδου τὸ ἀνάγνωσμα (κ', 22—38)· «Εἶπεν Κύριος πρὸς Μωσῆν λέγων· καὶ σὺ λάβε ἡδύσματα». Τέλος· «ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ αὐτοῦ». β' προφητείας Σαμουὴλ τὸ ἀνάγνωσμα (Ι, ις' 1—13)· «Εἶπεν Κύριος πρὸς Σαμουήλ· πλῆσον τὸ κέρας σου ἐλαίου καὶ δεῦρο». Τέλος· «καὶ ἐφήλατο πνεῦμα Κυρίου ἐπὶ Δαυὶδ ἀπὸ τῆς ἡμέρας ἐκείνης καὶ ἐπέκεινα». γ' προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα (ξα', 1—6). Ἀρχ. «Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με». Τέλος· «ἐν τῷ

1 λέγει] αἱ ἐκδ. «βοᾶ». — 5 ποιεῖτε τὴν πράσσιν. — 11 ἔβαλλεν. — 13 ἰδίου. — 19 καθαίροις.

πλούτῳ αὐτῶν θαυμασθήσεσθε». δ' Ἄσμα ἀσμάτων τῷ Σολομῶντι τὸ ἀνάγνωσμα (α', 1—4). Ἀρχ. «Φιλησάτω με ἀπὸ φιλημάτων στόματος αὐτοῦ». Τέλος· «ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν σοί».

Εὐθὺς ἐξερχόμεθα τρεῖς διάκονοι ἀπὸ τοῦ ἱερατείου κατὰ ἀνατολάς, γυρεύοντες τὸν ναόν· ἄρχονται ἀπὸ τὸ μέρος τῆς ἀριστερᾶς, λέγων εἷς καθείς· ὁ α' «Πορεύεσθε οἱ ἀπολυθέντες»· ὁ β' «Οἱ ἀπολυθέντες πορεύεσθε»· ὁ γ' «Ὅσοι κατηχούμενοι πορεύεσθε». Καὶ οὕτως ὅλον τὸν ναόν, ὑψίφωνα λέγοντες, ἕως οὗ στρέφονται εἰς τὸ ἱερατεῖον, ὅθεν ἐξῆλθον, δεξιομερῶς, καὶ εἰσελεύσονται εἰς τὸ Βῆμα ἐκ τῆς μέ(σης?) θύρας. Εὐθὺς ὁ ψάλτης· «Προκείμενον ἦχος πλάγιος δ'». — «Ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου καὶ»: Στίχ. «Ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακά, ὅτι σὺ εἶ μετ' ἐμοῦ». — Πρὸς Ῥωμαίους ἐπιστολῆς Παύλου (τὸ ἀνάγνωσμα, ια', 13—36)· «Ὑμῖν γὰρ λέγω τοῖς ἔθνεσιν· ἐφ' ὅσον μέν εἰμὶ ἐγὼ ἐθνῶν ἀπόστολος». Τέλος· «αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας· ἀμήν». Ἀλληλούια, ἦχος πλάγιος δ'. Στίχ. «Ἰδοὺ δὴ τί καλὸν ἢ τί τερπνόν, ἀλλ' ἢ τὸ κατοικεῖν»: Στίχος β'· «Ὡς μύρον ἐπὶ κεφαλὴν τὸ καταβαῖνον ἐπὶ πώγωνα τὸν»: Καὶ ὁ διάκονος· «Εἴπωμεν πάντες: Κύριε ἐλέησον» καὶ τὰ ἑξῆς· εἶτα τὸ εὐαγγέλιον. Ὁ τρίτος τῶν διακόνων λέγει· «Ἐκ τοῦ κατὰ Ματθαῖον» (ἁγίου εὐαγγελίου τὸ ἀνάγνωσμα· κς', 6 — 16). Ἀρχ. «Τοῦ δὲ Ἰησοῦ γενομένου ἐν Βηθανίᾳ, ἐν οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ». Τέλος· «ἵνα αὐτὸν παραδῷ». Ζήτει εἰς τὴν μεγάλην Τετάρτην ὀψέ. Εὐθὺς καταβαίνει ὁ πατριάρχης ἐκ τὸ σύνθρονον καὶ εἰσελθόντος εἰς τὸ σκευοφυ(λάκιον), λέγει ὁ διάκονος «Σχολάσωμεν ἐκτενῶς» καὶ τὰ ἑξῆς. Καὶ οἱ ψάλται στιχηρόν· ἦχος πλάγιος β', ἰδιόμελον.

Τοὺς πόδας σου κατεφίλει ἡ μισουμένη
τῇ πράξει ἁμαρτωλός, μὴ ἀνοίγουσα τὰ χείλη·

5 τρις.—6 «ἀνατολᾶς γυρεύον τ. ν. ἄρξουν ε τὸ» κτλ.—7 καθεις.—10 δεξιωμερῶς.—20 πόγονα || εἰπομεν.—24 ἐνοικία.—25 ὀψέ.—29 κατεφίλη.—30 ἀνοιγοῦσα.

εἶδει γὰρ ὅτι προσήγγισεν τῷ Θεῷ
τῷ γινώσκοντι τὰ κρύφια ἡμῶν·
ὅθεν σιωπήσασα ἐθεραπεύθη,
ὥσπερ φθεγγομένη ἐτραυματίσθη,
καὶ προσήνεγκεν κλαυθμῶ | μάρτυρα τῆς ἀληθείας,
μύρον δὲ ἐξέχεεν | κενοῦσά σοι, δέσποτα,
ὅτι καὶ τὰ δάκρυα αὐτῆς | δυσωδίας ἐπληροῦντο·
ἐπέστρεψεν δὲ ἡ πόρνη, | μεθ' ἧς ἐλέησον ἡμᾶς.

Στίχος· «Ἐλίπανας ἐν ἐλαίῳ». Εὐθὺς ὁ πατριάρχης λέγει τὴν εὐχὴν τῆς προθέσεως ἐπὶ τοῦ μύρου καὶ τὴν εὐχὴν τοῦ θυμιάματος· εἶτα ρογεύει ὁ πατριάρχης τὸ θυμίαμα τοῖς πρεσβυτέροις καὶ διακόνοις, καὶ γίνεται ἡ προέλευσις τῆς ἁγίας στάμνου τοῦ μύρου ἐν τῷ ναῷ οὕτως. Ἐξέρχονται πρῶτον οἱ δεποτᾶτοι, εἶτα οἱ ψάλται, ἔπειτα οἱ ὑποδιάκονοι στιχ(η)δ(όν) ὄντ(ες) ιδ', βαστάζοντες ιβ' μανουάλια μετὰ κηρούς, καὶ διάκονοι ιβ' κατέχοντες θυμιατοὺς ιβ', καὶ ἕτεροι ιβ' διάκονοι βαστάζουσιν σκῆπτρα χρυσᾶ, καὶ ἕτεροι πάλε (=πάλιν) ιβ' διάκονοι κατέχοντες χερουβικὰ χρυσᾶ καὶ ἀργυρᾶ ιβ'· ἔπειτα ὁ πατριάρχης σὺν β' ἐπισκόποις, χειροκρατοῦντες αὐτὸν ἔνθεν καὶ ἔνθεν, καὶ πρεσβύτεροι βαστάζοντες τὴν ἁγίαν στάμνον τοῦ μύρου, καλυπτόμενοι μετὰ καραμάνγην ἄσπρον χρυσωμένον, καὶ δ' διάκονοι ὑψοῦντες αὐτ(οῦ) τὰ ἄκρα μὲ τὰ δ' χερουβικά, καὶ δ' διάκονοι βαστάζουσι τὰ δ' ἄκρα. Καὶ οὕτω προφέρεται, ἕως οὗ ἔλθωσιν εἰς τὸ ἅγιον Βῆμα· καὶ ὁ ἀρχιδιάκονος λέγει, ἱστάμενος εἰς τὴν πύλην τοῦ Σκευοφυλακείου, ἐκφώνως· «Ἀπέλθετε οἱ ἀπολυθέντες, ἀπέλθετε αἱ ἀπολυθεῖσαι· μή τις τῶν κατηχουμένων, μή τις τῶν ἀμυήτων, μή τις τῶν μὴ δυναμένων ἡμῖν συνδεηθῆναι· μηδεὶς κατὰ τοῦ ἑτέρου δόλῳ ἢ πονηρίᾳ ἐχέτω· ἄφετε καὶ ἀφεθήσεται ὑμῖν· τὰς ἁμαρτίας ὑμῶν ἐξομολογήσασθε· ἰδοὺ γὰρ τὸ τίμιον μύρον εἰς κάθαρσιν τῶν παραπτωμάτων ἡμῶν· εἰς δόξαν προέρχεται· ἀλλήλους ἐπί-

1 εἴδη. — 7 δυσσωδίας. — 12 προέλευσης.—13 διποτάτοι.—14 ἔπιτ(α) ‖ στιχόν. — 17 πάλ. — 18 χρυσὰ καὶ ἀργυρὰ ιβ': ἔπιτα ‖ ἐπίσκοπ(οι). — 19 καὶ ἔθεν.—21 χρυσομενον.—23 προσφέρετ(αι). — 24 ἄρχιδιακω(ν) ‖ πόλιν. —25 ἐκφῶν: ἀπέλθατε . . . ἀπέλθατε αἱ ἀπολυθῆσαι· μὴ τὶς. — 27 μή δεὶς. — 29 ἐξομολογίσασθε. ἰδού.

γνωτε· ἀλλήλας γνωρίσατε· τὰς θύρας· ὀρθοὶ πάντες· τὰς θύρας κλείσατε καὶ στῆτε μετὰ φόβου Θεοῦ· ψάλατε». Εὐθὺς οἱ ψάλται ψάλλουσιν ἔμπροσθεν, ἕως οὗ ἀναβαίνου(σιν) εἰς τὴν σκαλωσίαν τοῦ ἁγιάσαι τὸ μύρον. Οἱ ψάλται ἀντὶ τὸ χερουβικόν, στιχηρὸν (εἰς) ἦχον πλάγιον α'.

Ἰδοὺ τὸ μύρον ἔρχεται, | ἡ εὐωδία πέμπεται
εἰς ἄφεσιν ἁμαρτιῶν | καὶ εἰς ζωὴν αἰώνιον.

Ὅμοιον.

Τοῦτο ἐστὶ τὸ μύρον | τὸ τῆς ταφῆς τοῦ Σωτῆρος,
ἀρραβὼν ἀναστάσεως | φωτίζων ζῶντας καὶ νεκρούς.

Ὅμοιον.

Μετανοοῦντα δέξαι με, | ὅτι φιλάνθρωπος εἶ·
προσεδεχόμην σε, Χριστέ, | τὸν εὐεργέτην τοῦ παντός.

Ὅμοιον.

Μύρον τὸ πολύτιμον | τὸ ἁγιάζον ἅπαντας,
ἰδοὺ νῦν παραγίνεται· | πιστοί, δεῦτε προσπέσωμεν.

Ὅμοιον.

Μετ' εὐφροσύνης ἅπαντες | καὶ πίστεως ὑμνήσωμεν·
τὸ μύρον γὰρ προέρχεται | εὐωδιάζον ἅπαντας.

Ὅμοιον.

Ἁγίασον τοὺς δούλους σου, | Χριστὲ σωτήρ, ὡς εὔσπλαγχνος,
διὰ τοῦ θείου μύρου σου, ὃ πνεύματι ἡγίασας

Ὅμοια.

Μῆτερ Θεοῦ πανύμνητε, | Μαρία θεοδόξαστε,
τοὺς μὴ ὀρθῶς ὑμνοῦντάς σε | πάσης αἰσχύνης ἔμπλησον,
τὸν πατριάρχην δὲ ἡμῶν | γηθόσυνον καὶ ἀβλαβῆ
καὶ πολυχρόνιον αὐτὸν | ἀεὶ διαφυλάξειεν,
τοὺς δὲ πιστοὺς ἡμῶν βασιλεῖς | ἀεί, Χριστέ, συντήρησον
καὶ πάντας οὖν τοὺς κληρικούς, | Χριστέ μου, διαφύλαξον
καὶ εὐσεβεῖς μοναχοὺς | σκέπε καὶ διαφύλαττε
καὶ τὸν ὀρθόδοξον λαόν, | Χριστὲ σωτήρ, ἐλέησον.

3 ψάλλοντ(αι). — 4 ἁγιάσαι τοῦ μύρου. — 6 ἰδοῦ. — 10 ἀραβὼν || ζώντων καὶ νεκρῶν. — 16 ἰδοὺ. — 18 μετευφροσύνης. —19 εὐωδιάζων. — 22 σ] τῶι. — 26 γηθοσύνως καὶ ἀβλαβεῖ.—29 πάντων οὖν τῶν κληρικῶν.—30 εὐσεβῶν μοναχῶν.—31 τῶν ὀρθόδοξων.

Καὶ ἡνίκα εἰσελθωμεν εἰς τὸ Ἱερατεῖον, ἵσταται ὁ πατριάρχης σὺν τοῖς ἐπισκόποις καὶ πρεσβυτέροις καὶ διακόνοις περίγυρον τοῦ ἁγίου θυσιαστηρίου καὶ θήσουσιν τὴν ἁγίαν σταμνον τοῦ μύρου εἰς τὸ ἅγιον θυσιαστήριον καὶ ἀνακαλύπτουσιν αὐτὴν τῇ ἀναφορᾷ (τῆ) ἀσπρῃ, καὶ περιστάμενοι παντες κυκλοθεν ἔνθεν καὶ ἔνθεν, τὰ σκήπτρα φημι καὶ τοὺς θυμιατούς, εὐθὺς λαμβάνει ὁ πατριάρχης τὸ θυμιατὸν καὶ θυμιάζει τὸ ἅγιον μύρον καὶ λέγει μόνος ἐκφώνως (εις) ἦχον πλ. β΄· «Σαμουὴλ θυμιᾶ τὰ ἅγια, | ὁ Γαβριὴλ βοᾷ». Εὐθὺς ἀποκρίνεται αὐτῷ ὁ κλῆρος· «Σαμουὴλ θυμιᾶ τὰ ἅγια, | ὁ Γαβριὴλ βοᾷ». Καὶ ὁ πατριάρχης· «Εἴ τις ἐπάξιος τοῦ μύρου καὶ φίλος τοῦ ἐλαίου». Ὁ κλῆρος· «Σαμουὴλ θυμιᾶ». Καὶ ὁ πατριάρχης· «Καὶ τῷ νυμφίῳ ἐραστός, | ἀπεκδεχεσθω ἰδεῖν ἃ ἠύξατο». Ὁ κλῆρος· «Σαμουὴλ θυμιᾶ». Ὁ πατριάρχης· «Πᾶς μυριστης συνδειπνείτω τῷ Χριστῷ | καὶ λεγέτω πρὸς τὸν Κύριον· | ὑμνῶ καὶ συσταυροῦμαι σοι». Ὁ κλῆρος· «Σαμουὴλ θυμιᾶ». Ὁ πατριάρχης· «ὑμνολογούντων ἀγγέλων | ἀκαταπαύστοις ᾠδαῖς, βοώντων δοξολογούντων | τριαδα ὁμοούσιον». Ὁ κλῆρος· «Σαμουὴλ θυμιᾶ». Ὁ πατριάρχης· «τριαδα ὁμοούσιον». Ὁ κλῆρος· «Σαμουὴλ». Ὁ πατριάρχης· «ἅγιος ἅγιος ἅγιος εἶ, Κύριε· | (τὰ συμπαντα) πεπλήρωται ἡ τῆς δόξης σου, φιλάνθρωπε». Ὁ κλῆρος· «Σαμουὴλ». Εἶτα ὁ πατριάρχης· «Σαμουὴλ θυμιᾶ τὰ ἅγια». Ἀποκρίνει ὁ κλῆρος· «ὁ Γαβριὴλ βοᾷ». Δεον γινώσκειν, ὅτι ὅταν ψάλλει ὁ πατριάρχης τὸ «Σαμουὴλ», χυρίζει καὶ θυμιᾷ τὸ ἅγιον μύρον ἀπὸ τα τέσσαρα μερη, ἕως οὗ πληροῦται· καὶ εὐθὺς ὁ ἀρχιδιακονος λέγει ἐκφώνως· «Ἐν σοφια Θεοῦ προσχωμεν», καὶ ὁ πατριάρχης «Πιστευω εις ἕνα Θεόν». Καὶ ἀσπασμὸς σήμερον οὐ γινεται, οὐδὲ εἰς τὴν λειτουργιαν. Καὶ ὅταν πληρωσει τὴν λειτουργιαν, ὑψωνει τὴν σταμνον τοῦ μύρου, καθως καὶ τὸ ἅγιον ὤωρον· καὶ εἰς τὸ κονδάκιον τῆς λειτουργίας τοῦ ἁγίου μύρου εὐ-

1 ἡνικα εἰσελθωμ(εν). — 3 θησωσιν. — 4 ἀνακαλυπτωσιν. — 6 σκηπτρα. — 7 θυμιάσει.—13 ἠύξατω. — 14 συνδειπνειτω.—16 ὑμνολογούντων || ωδαις. — 17 δοξολογουντων. —19 προσεθηκα το «τα συμπαντα».—23 χυρισε..—24 ἀρχιδιακω(ν). —25 προσχωμεν.—26 ασπασμον.—27 οὐδέ.— ὑψωνη.

ρίσκεις ἅπαντα τὰ θέλ(εις) εἰπεῖν. Καὶ ἀνέρχεται ὁ ἀρχιερεὺς μετὰ τῆς στάμνου τοῦ ἁγίου μύρου, σὺν αὐτῷ καὶ οἱ μητροπολῖται καὶ οἱ ἐπίσκοποι καὶ ὁ πρωτοπαπᾶς καὶ ὁ δευτεράριος καὶ ὁ ἀρχιδιάκονος καὶ δύο διάκονοι μὲ τὰ χερουβικὰ ἔνθεν καὶ ἔνθεν· ὁμοίως καὶ δύο διάκονοι μὲ τοὺς θυμιατούς. Καὶ ὑψοῖ ὁ πατριάρχης τὸ ἅγιον στάμνον κατὰ ἀνατολάς, καὶ ὁ λαὸς κράζουν τὸ «Κύριε ἐλέησον». Μετὰ τοῦτο λέγει ὁ διάκονος τὴν αἴτησιν, εἶτα σφραγίζει (ὁ πατριάρχης) τὸ αὐτὸ τύπω σταυροειδεῖ ἐκ τρίτου, κατὰ ἀνατολὰς καὶ βορρᾶν καὶ δυσμὰς καὶ νότου παντὶ ἐκ τρίτου, διακυκλῶν ἐκ τρίτου, καὶ καταβαίνουν. Ἀντὶ τὸ κοινωνικόν, στιχηρὸν (εις) πλάγιον β'.

Ὑμνολογούντων ἀγγέλων | καὶ ἀρχαγγέλων
ἀκαταπαύστοις φωναῖς,
βοώντων δοξολογούντων | τριάδα ὁμοούσιον·
ἅγιος ἅγιος ἅγιος εἶ, Κύριε·
πεπλήρωται σύμπαντα | τῆς δόξης σου, φιλάνθρωπε".

Καὶ εἰ ἦμεν εἰς τὴν Ἁγίαν Ἀνάστασιν, εὐθὺς ἀπέλθωμεν εἰς τὴν ἁγίαν Σιὼν διὰ τὴν θείαν λειτουργίαν καὶ τὸν νιπτῆρα· καὶ ὑπομέ(νουσιν) ἐκεῖ ὁ πρωτοπαπᾶς καὶ ἱκανοὶ κληρικοί, ἵνα λειτουργήσωσιν εἰς τὸ Ἅγιον Κρανίον. Εἰ δὲ ἐσμὲν εἰς τὴν ἁγίαν Σιών, ὀφείλει ὁ πρωτοπαπᾶς μετὰ τὸ ἁγιάσαι τὸ ἅγιον μύρον (νὰ) εἰσέλθῃ ἐκεῖ καὶ ἐπιτελεῖ τὴν λειτουργίαν καὶ ἱκανοὶ κληρικοί, καὶ ἡμεῖς λειτουργοῦμεν εἰς τὴν ἁγίαν Σιών, καὶ οὕτως ἐπιτελοῦμεν τὸν νιπτῆρα.

Ἡ ἀκολουθία τῆς θείας λειτουργίας τοῦ ἁγίου Ἰακώβου τοῦ ἀποστόλου καὶ ἀδελφοθέου ἐπιτελεῖται εἰς τὴν ἁγίαν Σιὼν οὕτως. Ἀλλάσσει ὁ πατριάρχης καὶ οἱ μητροπολῖται καὶ οἱ ἐπίσκοποι καὶ πρεσβύτεροι καὶ διάκονοι, ὥσπερ καὶ ἐν τῷ ἁγίῳ μύρῳ ἔφημεν· καὶ γίνεται εἴσοδος οὕτως. Ἵστανται οἱ ψάλται ἔμπροσθεν τοῦ Ἱερατείου, καὶ ἄρχεται ὁ ἀρχιδιάκονος λέγων φωνῇ ἐντ(όνῳ)

4 μὲ τὰ] μετ(ὰ). — 5 μετοὺς || ὑψοῖ. — 6 ἀνατολὰς || δωσμὰς: καὶ νώτου. — 14 βοῶντων δοξολογοῦντων. — 17 εἰ ἦμεν. — 19 ἱκανῶν κληρικῶν ἵνά. — 20 σιῶν ὀφείλη. — 21 ἁγιᾶσαι. — 23 σιῶν. — 26 ἁγιαν. — 28 ἁγίω. — 29 ψάλτε ἔμπροσθεν. — 30 ἀρχιδιάκω(ν) λ. φωνεῖεντ(όνω).

«Πορεύεσθε οἱ ἀπολυθέντες», καὶ ὁ δεύτερος «Οἱ ἀπολυθέντες πορεύεσθε», καὶ ὁ τρίτος «Ὅσοι κατηχούμενοι πορεύεσθε». Καὶ οἱ λοιποὶ κληρικοὶ τότε καὶ οἱ ψάλται οἱ ἱστάμενοι ψάλλουν τὸ «Ὁ μονογενὴς υἱὸς καὶ Λόγος»· καὶ ὅτε εἰσέλθωμεν εἰς τὸ Ἱερατεῖον, εὐθὺς οἱ ψάλται «Δόξα πατρί», ἦχος β'· τὸ κοινωνικόν.

Τὸν ἄρτον λαβὼν | εἰς χεῖρας ὁ προδότης
κρυφίως αὐτὰς | ἐκτείνει καὶ λαμβάνει
τὴν τιμὴν τοῦ πλάσαντος | ταῖς οἰκείαις χερσὶ τὸν ἄνθρωπον,
καὶ ἀδιόρθωτος ἔμεινεν | Ἰούδας ὁ δοῦλος καὶ δόλιος.

Ὁ διάκονος συναπτήν. Ὁ ἱερεὺς ἐκφώνως· «Ὅτι ἅγιος εἶ»· καὶ οἱ ψάλται τὸ «Ἅγιος ὁ Θεός». Προκείμενον, ἦχος πλάγιος δ'. «Οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτό». Στίχ. «Ἵνα τί ἐφρύαξαν κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ». Πρὸς Κορινθίους ἐπιστολῆς (Παύλου τὸ ἀνάγνωσμα· Α', ια' 23—32). Ἀρχ. «Ἀδελφοί, ἐγὼ παρέλαβον ἀπὸ τοῦ Κυρίου ὃ καὶ παρέδωκα». Τέλος· «ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν». Ἀλληλούια· ἦχος πλάγιος β'. «Μακάριος ὁ συνιὼν ἐπὶ πτωχὸν καὶ πένητα· ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτόν». Εὐαγγέλιον κατὰ Μᾶρκον (ιδ', 12—26). Ἀρχ. «Τῇ πρώτῃ ἡμέρᾳ τῶν ἀζύμων, ὅτε τὸ πάσχα ἔθυον». Τέλος· «καὶ ὑμνήσαντες ἐξῆλθον εἰς τὸ ὄρος τῶν Ἐλαιῶν». Οὕτως ὁ τύπος τῆς Ἁγίας Ἀναστάσεως, ἡ δὲ τῆς Ῥωμανίας τάξις λέγει κατὰ Ματθαῖον (κς' 1—κζ' 2): «Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· οἴδατε ὅτι μετὰ δύο ἡμέρας τὸ πάσχα γίνεται». Τέλος· «καὶ παρέδωκαν αὐτὸν Ποντίῳ Πιλάτῳ τῷ ἡγεμόνι».

Στιχηρὸν ψαλλόμενον εἰς τὴν λειτουργίαν· ἦχος πλάγιος δ'.

Μηδείς, ὦ πιστοί, | τοῦ δεσποτικοῦ δείπνου ἀμύητος·
μηδεὶς ὅλως ὡς Ἰούδας | δολίως προσίτω τῇ τραπέζῃ·
ἐκεῖνος γὰρ τὸν ψωμὸν δεξάμενος | κατὰ τοῦ ἄρτου ἐχώρησε,
σχήματι μὲν ὢν μαθητής, | πράγματι δὲ παρὼν φονευτής·
τοῖς μὲν Ἰουδαίοις συναγαλλόμενος,

3 κληρικοὶ.—4 μονογεννὴς.—6 ἄρτον || χεῖρας.—7 αἱ ἐκδ. «ἐξέτεινε καὶ ἔλαβε».—12 αὐτῷ . . ἵνα.—17 συνιὼν ἐπιπτωχον. . . πονηρᾷ.—23 οἴδατε || πᾶσχα.—24 αὐτῷ.—26 Μηδεὶς ὦ.—27 μὴ δεὶς || προσίτω.—28 τὸ ψωμὸν || ἄρτου.—29 ὢν.—30 Ἰουδαῖοις.

τοῖς δὲ ἀποστόλοις συναυλιζόμενος·
μισῶν ἐφίλει, | φιλῶν ἐπῴλει
τὸν ἐξαγοράσαντα ἡμᾶς τῆς κατάρας,
τὸν Θεὸν καὶ σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Στίχ. «Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν: ἐξεναντίας τῶν θλιβόντων με». Ἀντὶ τὸ χερουβικὸν ἦχος πλάγιος δ'.

Τοῦ δείπνου σου τοῦ μυστικοῦ
σήμερον, υἱὲ Θεοῦ, | κοινωνόν με παράλαβε·
οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου | τὸ μυστήριόν σου εἴπω·
οὐ φίλημά σοι δώσω, | καθάπερ ὁ Ἰούδας,
ἀλλ' ὡς ὁ λῃστὴς ὁμολογῶ σοι·
"μνήσθητί μου, Κύριε, ἐν τῇ βασιλείᾳ σου".

Τὸ αὐτὸ καὶ κοινωνικόν. Κοινωνικὸν ἕτερον, ἦχος πλ. δ'· «Γεύσασθε καὶ ἴδετε».

Ἄλλο· ἦχος πλάγιος δ'.

Τῷ τῆς ἁγίας τραπέζης | σώματι ἐντραφέντες
καὶ τῷ τοῦ θείου κρατῆρος | αἵματι ἀρδευθέντες,
γνῶτε Θεοῦ | παράδοξον μυστήριον
εἰς ἄφεσιν ἁμαρτιῶν· καὶ εἰς ζωὴν αἰώνιον.

Ἀλληλούια. Εὐχὴ ὀπισθάμβωνος.

«Δέσποτα Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ τῶν Χερουβὶμ ἔποχος καὶ τῶν Σεραφεὶμ ἡνίοχος καὶ παντὸς κόσμου δημιουργὸς καὶ δεσπότης, ὁ δύναμιν θείας δόξης ἐν οὐρανοῖς περιεζωσμένος καὶ ἐπὶ τῆς γῆς λέντιον δι' ἡμᾶς ἐν τῷ μυστικῷ δείπνῳ περιζωσάμενος, ὁ ὑπὸ στρατιῶν ἀγγέλων ἐν ὑψίστοις ὑπηρετούμενος καὶ τοῦ σοῦ προδότου πόδας νίψας, ὁ φιλήματι μαθητοῦ παραδοθεὶς ἀνόμοις καὶ ἡμᾶς τῷ τιμίῳ καὶ ἰδίῳ σου αἵματι ἐξαγοράσας, ὁ ἑκουσίως ἑαυτὸν ταπεινώσας μέχρι θανάτου, θανάτου δὲ σταυροῦ, καὶ τὸ κράτος τοῦ θανάτου θεοπρεπῶς καταλύσας τῇ ἐνδόξῳ δυνάμει τῶν ἁγίων καὶ ἀοιδίμων καὶ προσκυνητῶν σου παθημάτων· σὺ, δέσποτα, τοῦ μυστικοῦ σου δείπνου κοινωνοὺς ἡμᾶς

ε'

2 μισὸν || φιλῶν.—6 πλάγιος] μ. — 13 κοινωνικῶν — 14 γεῦσασθε. — 15 ἄλλω. — 17 τῷ] τὸ. — 20 ὀπισθάμβωνος. — 26 παραδωθεὶς.—27 ἰδίω.

ἀξίους ἀπέργασαι. Ἀπόστησον ἀφ' ἡμῶν τὸν ζοφερὸν ὕπνον τῆς ἁμαρτίας. ἀσφάλισον ἡμᾶς τῇ θείᾳ σου δεξιᾷ, διατήρησον ἡμᾶς ἀπὸ τοῦ πονηροῦ καὶ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ· ῥῦσαι ἡμᾶς ἀπὸ παντὸς πειρασμοῦ διαβολικοῦ τε καὶ ἀνθρωπίνου· ὑμνητὰς ἡμᾶς τῶν παθημάτων σου ποίησον, ἵνα καὶ τῆς δόξης τυχόντες τῆς ἐκ νεκρῶν σου ἀναστάσεως, δοξάζωμέν σε τὸν πάντων ἀγαθῶν δοτῆρα καὶ αἴτιον σὺν τῷ ἀνάρχῳ σου πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας».

Καὶ ἀπολύουσι, καὶ τότε δειπνᾷ ὁ πατριάρχης καὶ ὁ κλῆρος εἰς τὴν ἁγίαν Σιών, ἵνα ἐπιτελέσωσιν ἐκεῖθι καὶ τὸν ἅγιον νιπτῆρα.

ΤΑΞΙΣ ΣΥΝ ΘΕΩΙ ΚΑΙ ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΝΙΠΤΗΡΟΣ.

Μετὰ τὸ δειπνῆσαι ὁ πατριάρχης καὶ ὁ κλῆρος καὶ ὁ λαὸς εἰς τὴν ἁγίαν Σιών, μετὰ τὴν ἁγίαν κοινωνίαν, εἰσέρχεται ὁ πατριάρχης καὶ ὁ κλῆρος εἰς τὸ ὑπερῶον τῆς ἁγίας Σιών, ἔνθα καὶ ἐγένετο (ὁ νιπτὴρ) διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Εὐθὺς ἀλλάσσει ὁ πατριάρχης καὶ ὁ κλῆρος καὶ τίθεται ὁ νιπτὴρ εἰς τὸ μέσον, καὶ β' σκάμνοι ἔνθεν καὶ ἔνθεν, καὶ β' κερία ἔνθεν καὶ ἔνθεν, καὶ ἵστανται πάντες, δύο χοροὶ μεγάλοι καὶ δ' μανουάλια, καὶ λέγει ὁ διάκονος μετὰ τὸ ἁγιάσαι καὶ θυμιᾶσαι πάντας· «Εὐλόγησον δέσποτα». Καὶ ὁ πατριάρχης· «Εὐλογημένη ἡ βασιλεία τοῦ πατρός». Εὐθὺς ἄρχονται τὸ «Δεῦτε προσκυνήσωμεν», «Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον»· καὶ ὁ πατριάρχης λέγει τὰς εὐχὰς ἐπὶ τὸ ὕδωρ εἰς τὸν νιπτῆρα.

Εὐχὴ α'.

«Δέσποτα Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ διὰ πολλὴν ἀγαθότητά σου καὶ φιλανθρωπίαν μὴ ἀπαξιώσας νίψαι τοὺς πόδας τῶν ἁγίων

3 ῥῦσαι.—7 δωτῆρα.—11 τον] τό.—15 εἰς ἔλθετ(αι).—16 ἔνθα] ὅθεν.—17 προσέθηκα τὸ «ὁ νιπτήρ». — 20 ἵστανται. — 24 εὐλογη.—27 διαπολλήν.

σου μαθητῶν καὶ ἀποστόλων, ἀλλὰ μέλλων ἐπὶ τὸ σωτήριον καὶ ζωοποιὸν πάθος ἔρχεσθαι, περιζωσάμενος λέντιον καὶ βαλὼν ὕδωρ εἰς τὸν νιπτῆρα καὶ νίψας αὐτῶν τοὺς πόδας, ἵνα πρὸς τὸ τῆς σῆς ταπεινώσεως ὕψος ἀναγάγῃς αὐτούς τε καὶ τοὺς δι' αὐτῶν ἀκολουθοῦντας τοῖς σοῖς ὑποδείγμασιν — αὐτὸς καὶ νῦν, δέσποτα, συμπάρεσο ἡμῖν τοῖς ἀναξίοις δούλοις σου καὶ ἐν τῷ νιπτῆρι τούτῳ καὶ ἁγίασον αὐτόν, καὶ διὰ τῆς ὁρωμένης τοῦ ὕδατος ἀπονίψεως χάρισαι ἡμῖν καὶ τὴν τοῦ ἁγίου σου πνεύματος ἀόρατον ἐπιφοίτησιν. Ἀσφάλισαι ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα ἀπὸ πάσης διαβολικῆς ἐνεργείας καὶ ἀπὸ τοῦ δάκνοντος πτέρναν ὀλεροῦ ὄφεως, ἵνα κατὰ τὸ σὸν πρόσταγμα ἔχωμεν δύναμιν καὶ ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν αὐτοῦ· σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου πατρί, ἅμα τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς»:—

Εὐχὴ β' ἐπὶ τὸ ὕδωρ πριν κενωθ(ῆναι).

«Δέσποτα Χριστὲ ὁ Θεὸς ἡμῶν, μόνε τὸν πατέρα γινώσκων καὶ ὑπὸ τοῦ πατρὸς γινωσκόμενε καὶ τοῖς ἁγίοις ἀναγγέλλων αὐτοῦ τὴν μεγαλοπρέπειαν, πατρὸς καὶ κτίσεως μεσῖτα· θεραπευτὰ τῶν ψυχῶν ἡμῶν ὁ δωρησάμενος τῷ γένει τῶν ἀνθρώπων τὰ πνευματικὰ καὶ ἐπουράνια σου χαρίσματα καὶ δωρήματα, ὁ ἁγιάζων τὰ ὑπὸ σοῦ καταλαμπόμενα κτίσματα, σὺ τὴν σὴν χάριν ἐπίλαμψον ἐπὶ τὸ ὕδωρ τοῦτο, ὅπως γένηται πᾶσιν ἡμῖν εἰς μνημόσυνον τοῦ ἁγίου σου νιπτῆρος, οὗ παρέδωκας τοῖς ἁγίοις καὶ μακαρίοις σου μαθηταῖς καὶ ἀποστόλοις, νίψας αὐτῶν τοὺς πόδας καὶ ὑποδείξας ὅρους ταπεινοφροσύνης καὶ ἀγάπης εἰπών· "καθὼς ἐποίησα ὑμῖν, οὕτως καὶ ὑμεῖς ποιεῖτε ἀλλήλοις". Δεόμεθα τῆς σῆς ἀχράντου μεγαλειότητος· καταξίωσον ἡμᾶς μετὰ πίστεως ὀρθῆς καὶ συνέσεως προσελθεῖν τῷ μυστηρίῳ τούτῳ καὶ ἐνδυναμωθῆναι ἐπαξίως ἐκτελέσαι τὰς ἁγίας σου ἐντολάς, ἵνα, ἀπονιψάμενοι τὸν κολληθέντα ἡμῖν τῶν παραπτωμάτων κονιορτόν,

6 συμπάρεσω.—9 ψυχας.—11 τὸν σὸν.—13 βασιλεῦς.—20 μεσίτα.—27 ὅρους.

καθαρισθῶμεν τῶν πρὸς θάνατον ἁμαρτημάτων καὶ τῷ λεντίῳ τῆς ἀγάπης ἀλλήλους ἐκμάσσοντες· σὺ γὰρ εἶ ὁ ἁγιάζων καὶ καθαίρων ἡμᾶς τῶν ἁμαρτιῶν ἡμῶν καὶ σοὶ τὴν δόξαν καὶ τὴν εὐχαριστίαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν».

Εὐχὴ γ' τοῦ νιπτῆρος ἐπι τοῦ ὕδατος.

Ὁ διάκονος· «Ἔτι τοῦ Κυρίου δεηθῶμεν».

«Δέσποτα, Σωτήρ, εὐεργέτα τῶν ἡμετέρων ψυχῶν, ὁ διὰ τῆς ἀμετρήτου σου φιλανθρωπίας ὑπόθεσιν ἀγάπης διὰ τῆς τῶν ποδῶν ἀπονίψεως παραδοὺς τοῖς σοῖς μαθηταῖς καὶ δείξας καθηγητοῦ καὶ ὑπηκόου πρόθεσιν· εὐχαριστοῦμέν σοι τῷ φιλανθρώπῳ Θεῷ, ὅτι διὰ τῆς ἐνσάρκου σου παρουσίας ὑπέδειξας ἡμῖν ἀρίστην ὁδὸν ὑψώσεως, ταπεινωσιν, καὶ ἐγειραγώγησας ἡμᾶς πρὸς τὴν εὐπορείαν λεντίῳ περιζωσάμενος, καὶ ηὐδόκησας νίψαι τοὺς πόδας τῶν ἁγίων σου μαθητῶν καὶ παραδοὺς ἡμῖν τὸν τύπον τοῦτον, ἵνα πρὸς τὸ τῆς ταπεινοφροσύνης ὕψος ἡμᾶς ἀναγάγῃς. Τούτοις καὶ νῦν, δέσποτα, ἀκολουθοῦντες τοῖς σοῖς ὑποδείγμασι δεόμεθα καὶ παρακαλοῦμέν σε, ἅγιε· ὑψόθεν ἀοράτως ἐν μέσῳ ἡμῶν γενέσθαι καταξίωσον, καὶ καθὼς τότε ηὐλόγησας. καὶ νῦν εὐλόγησον καὶ ἁγίασον τὸ ὕδωρ τοῦτο καὶ ποίησον ἡμῖν αὐτὸ γενέσθαι ἁγιασμοῦ ὕδωρον, ἀγάπης τεκμήριον, ταπεινοφροσύνης ὑπόθεσιν, ἵνα καὶ ἡμεῖς μιμούμενοι τὸ τοιοῦτον κατόρθωμα, τῷ κανόνι καὶ τῇ παραδόσει τῆς σῆς συγκαταβάσεως πορευόμενοι, νίψωμεν ἀλλήλων τοὺς πόδας καὶ τῆς μερίδος τῶν σῳζομένων ἄξιοι γενόμενοι τύχωμεν τῆς παρὰ σοῦ εὐμενείας καὶ τοῦ κλήρου τῶν ἁγίων σου μαθητῶν κοινωνοὶ γενώμεθα· ἅγνισον δὲ ἡμῶν, φιλάνθρωπε, καὶ τὸν ἔσω ἄνθρωπον διὰ τῆς ὁρωμένης τοῦ ὕδατος τούτου ἀπονίψεως, δωρούμενος ἡμῖν τὴν τοῦ ἁγίου σου πνεύματος ἀόρατον ἐπιφοίτησιν, καὶ καθάρισον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα ἀπὸ

4 εὐχαριστείαν.—9 διατῆς ἀμετρήτου. — 13 ἐνσάρκω || ἀρίστην. — 17 ταπεινωφροσύνης.—19 ὑψώθεν.—20 ηὐλόγησας. – 21 αὐτῶι.—24 παραδώσει.—25 ἄξιοι.—26 εὐμενίας.—27 ἅγνεισον.—28 διατῆς ὁρωμένης.

παντὸς σπίλου καὶ μώμου καὶ πάσης ἁμαρτίας, καὶ δὸς ἡμῖν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, καὶ κατεύθυνον τὰ διαβήματα ἡμῶν εἰς ὁδὸν εἰρήνης καὶ μὴ κατακυριευσάτω ἡμῶν πᾶσα ἀνομία, χαριζόμενος σώφρονα λογισμόν, εὐσχήμονα διαγωγὴν καὶ ἀσφάλειαν εἰς τὸν ἑξῆς βίον, ἵνα ἐπιλαβόμενοι τῆς ὄντως ζωῆς εὕρωμεν ἔλεος καὶ οἰκτιρμοὺς ἐν τῷ φοβερῷ σου βήματι καὶ καταξιωθῶμεν τῶν ἐπουρανίων σου ἀγαθῶν· σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, Θεὸς τοῦ ἐλεεῖν καὶ σώζειν, καὶ σοὶ τὴν δόξαν καὶ τὴν μεγαλοπρέπειαν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί»: — Ὁ διάκονος· «Τὰς κεφαλάς».

Εὐχὴ δ΄.

«Δέσποτα Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πᾶσαν οἰκονομίαν πρὸς σωτηρίαν τοῦ γένους τῶν ἀνθρώπων ἐκπληρῶν, ἐπὶ τὸν ἅγιον καὶ ζωοποιόν σου σταυρὸν μέλλων ἀνιέναι ἐν τῷ μυστικῷ σου δείπνῳ τὰ μυστήρια τῆς τῶν οὐρανῶν βασιλείας παραδέδωκας τοῖς ἁγίοις καὶ μακαρίοις μαθηταῖς σου, καὶ τούτους ἐπ' εὐεργεσίᾳ τῶν ἀνθρώπων ἀπέστειλας· καὶ νίψας τοὺς πόδας αὐτῶν ἐστερέωσας καὶ τῷ λεντίῳ ἐξέμαξας τῆς σῆς χάριτος, παρασχὼν αὐτοῖς τὰ γνωρίσματα καὶ δι' αὐτῶν ἡμῖν ἐπηγγείλω· ὑπόδειγμα ἡμῖν δέδωκας ἀλλήλων τοὺς πόδας νίπτειν καὶ μακαρίους ἡμᾶς ἀποφήνας, εἰ ταῦτα ποιῶμεν. Αὐτὸς οὖν, δέσποτα φιλάνθρωπε καὶ πανάγαθε, ἁγίασον ἡμᾶς ἐν τῷ ὀνόματί σου τῷ ἁγίῳ καὶ δὸς ἡμῖν δι' αὐτοῦ καθαρὰν καὶ ἀκίβδηλον ἔχειν τὴν καρδίαν πρὸς ἐκπλήρωσιν πασῶν τῶν ἐντολῶν σου, ἵνα καθαρεύοντες ἀπὸ παντὸς δόλου καὶ πάσης ὑποκρίσεως ἑνωθῶμεν ἀλλήλοις διὰ τὸ ὄνομά σου τὸ ἅγιον, συνδεσμούμενοι τῷ συνδέσμῳ τῆς εἰρήνης καὶ τῆς ἀγάπης· σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν καὶ ἡ εἰρήνη ἡμῶν, ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα, καὶ σοὶ τὴν δόξαν καὶ τὴν εὐχαριστίαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου πατρὶ ἅμα καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ

1 σπήλου.—5 διαγαγεῖν.—6 τὸ ἑξῆς.—7 οἰκτιρμοῖς.—17 ἐπευεργεσία.—18 ἐστεραίωσας.—19 παρασχῶν.—20 ἐπαγγείλω.—21 ἀποφῆνας.—24 ἀκίβδηλον || πρὸς.—26 καὶ ἑνωθῶμεν.—29 εὐχαριστείαν.

ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν».

Καὶ μετὰ τὸ πληρῶσαι τὰς εὐχὰς ὁ πατριάρχης, ὁ διάκονος· «Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.—Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης.— Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου. — Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου. — Ὑπὲρ τῆς ἁγίας μόνης καθολικῆς ἐκκλησίας. — Ὑπὲρ τοῦ κατελθεῖν τὸ πνεῦμα τὸ ἅγιον καὶ εὐλογῆσαι καὶ ἁγιάσαι τὰς ἡμετέρας ψυχάς, τοῦ Κυρίου δεηθῶμεν.—Ὑπὲρ τοῦ πατρὸς καὶ πατριάρχου ἡμῶν.—Ὑπὲρ τῶν συμπαρόντων ἐπισκόπων, τοῦ θεῖνος.—Ὑπὲρ τοῦ συγχωρηθῆναι.—Ὑπὲρ τοῦ εἰσακουσθῆναι—Καὶ ὑπὲρ τοῦ ἀξίους ἡμᾶς γενέσθαι τῆς προκειμένης μυστικῆς διακονίας ταύτης, καὶ ὑπὲρ τοῦ καθαρισθῆναι ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἐκτενῶς δεηθῶμεν.—Ἀντιλαβοῦ σῶσον.—Τῆς παναγίας.»—Ὁ ἱερεύς· «Ὅτι πρέπει». Εὐθὺς τὸ «Κύριε ἐκέκραξα», ἦχος πλάγιος β'. «Τῷ συνδέσμῳ τῆς ἀγάπης»:—«Ἡ τὸν ἄσχετον κρατοῦσα»:—«Μαθηταῖς ὑποδεικνύει»:—Ζήτει ὄπισθεν εἰς τὸν κανόνα. Εἰς τὸ «Δόξα» ἦχος α'.

Ὁ λεντίῳ ζωσάμενος | καὶ νίψας τοὺς πόδας τῶν μαθητῶν σου,
Χριστὲ ὁ Θεός, | ἀπόπλυνον ἡμῶν τῆς ψυχῆς τὸν μολυσμὸν
καὶ περίζωσον ἡμᾶς συνδέσμῳ πνευματικῷ
τοῦ ποιεῖν τὰς ἐντολὰς τῆς σῆς ἀγαθότητος.

Εὐθὺς τὸ «Φῶς ἱλαρόν». Ὁ ψάλτης προκείμενον ἦχος δ'· «Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸν λόγον». Στίχ. «Λύτρωσαι με ἀπὸ συκοφαντίας». Πρὸς Ἑβραίους ἐπιστολῆς (τὸ ἀνάγνωσμα· ιε', 19—25). Ἀρχ. «Ἀδελφοί, ἔχοντες παρρησίαν εἰς τὴν εἴσοδον τῶν ἁγίων». Τέλος· «ὅσον βλέπετε ἐγγίζουσαν τὴν ἡμέραν». Ἀλληλούια ἦχος πλάγιος δ'. Στίχ. «Διελογισάμην τὰς ὁδούς σου». Ὁ διάκονος λέγει «Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι», καὶ ὁ πρωτοπαπᾶς ἀναγινώσκει εὐαγγέλιον κατὰ Ἰωάννην (ιγ', 3—11)· «Εἰδὼς δὲ ὁ Ἰησοῦς ὅτι πάντα δέδωκεν αὐτῷ ὁ πατὴρ εἰς τὰς χεῖρας». Τέλος· «οὐχὶ πάντες καθαροί ἐστε». Ζήτει εἰς τὴν ε' τῆς λειτουργίας.

6 οἴκου. — 7 εὐλογῆσαι καὶ ἁγιάσαι. — 9 ψυχᾶς. — 9 συνπαρόντων. — 10 συγχωρεθῆναι.—18 ἐκδ. «λέντιον».

Ὁ δὲ πατριάρχης εὐγάλει τὸ ὠμόφορον καὶ τὸ φελώνιον καὶ περιζώννυται λεντίῳ εἰς τὴν ὀσφὺν αὐτοῦ· καὶ καθὼς ἀκούει τὸ εὐαγγέλιον, οὕτως ποιεῖ ἕνα ἕνα· καὶ ὅτε βάλλουσι τὸ ὕδωρ εἰς τὸν νιπτῆρα, καὶ εὐθὺς ἄρξεται νίπτειν τοὺς πόδας τῶν κληρικῶν· καὶ αὐτοὶ καθήμενοι καὶ ὁ πατριάρχης ἱστάμενος νίπτει τοὺς πόδας αὐτῶν καὶ ἐκμάσσει τῷ λεντίῳ, ᾧ ἦν διεζωσμένος, καὶ φιλᾷ τὸν πόδα καὶ δίδει ἑκάστῳ αὐτῶν ἀπὸ νομίσματος. Καὶ οὕτως ὀφείλει γίνεσθαι· ἄρχεται ἀπὸ τῶν ἐσχάτων ἕως τῶν πρώτων· οἱ δὲ νιψόμενοι δώδεκα χρὴ εἶναι· ὑποδιάκονοι γ', διάκονοι γ', πρεσβύτεροι γ', ἐπίσκοποι β' καὶ εἷς μητροπολίτης. Καὶ ὅτε πληροῖ τοὺς ἕνδεκα, ἔρχεται πρὸς τὸν μητροπολίτην· τότε λέγει ὁ πρωτοπαπᾶς· «Ἔρχεται οὖν πρὸς Σίμωνα Πέτρον»· τότε πλύνει αὐτόν. Καὶ ὅταν ἄρξηται νίπτειν, ψάλλουσιν οἱ λελουσμένοι τὸ «Ἐλέησόν με ὁ Θεός», καὶ τὰ στιχηρὰ ταῦτα ψάλλοντ(αι) οἱ ψάλται καὶ ὁ λοιπὸς κλῆρος, ἱστάμενοι δύο χοροὶ κύκλῳ.

Ἦχος α'.

Ὁ νίψας τοὺς πόδας | τῶν ἁγίων μαθητῶν
καὶ ἡμᾶς καθάρισον | ἐκ τῶν ἀνομιῶν ἡμῶν.

Ἦχος β'. Στίχ. «Μακάριοι οἱ ἄμωμοι».

Μεγάλης εὐεργεσίας | ἀπολαύειν μέλλοντες οἱ πιστοί,
εὐλαβῶς τῷ τιμίῳ νιπτῆρι προσέλθωμεν,
οὐ σαρκὸς ῥύπον ἀποπλύνοντες, | τὰς ψυχὰς δὲ μυστικῶς ἁγιάζοντες·
Χριστὸς γὰρ ὁ σωτὴρ ἡμῶν | ὁ ἐφορῶν ἐπὶ τὴν γῆν
καὶ ποιῶν αὐτὴν τρέμειν | κλίνει ἑαυτὸν | καὶ ἰχνῶν ἅπτεται χοϊκῶν,
πάσης ἐναντίας δυνάμεως | ἀσφαλῆ δωρούμενος τὴν ἐπίβασιν·
αὐτῷ εὐχαρίστως βοήσωμεν·
"Ὁ ἀρίστην ὁδὸν ὑψώσεως | ὑποδείξας ἡμῖν τὴν ταπείνωσιν,
σῶσον ἡμᾶς, ἀγαθέ, ὡς φιλάνθρωπος".

Ἦχος β'. «Τότε οὐ μὴ αἰσχυνθῶ ἐν τῷ με»:

Ὁ Πέτρος ηὐλαβεῖτο | νίψασθαι πόδας
ἐκ τῶν ἀχράντων χειρῶν, | ὑφ' ὧν ἐπλαστουργήθη ὁ Ἀδάμ·

1 ὠμόφορον. — 2 λετιω εἰστ(ὴν) ὀσφῦν. — 5 ἱστάμενος. — 6 ᾧ] ὁ | φιλᾶ. — 7 νομισματ(ος?). — 8 γίνετ(αι) || εσχάτων. — 9 χρὴ. — 15 ἱστάμενοι. — 21 προσέλθωμεν] αἱ ἐκδ. προσδράμωμεν». — 24 ποιων || εαυτῶν. — 27 αἱ ἐκδ. «ὑψώσεως ὁδόν». — 31 ἐπλαστουργήθη.

ακούσας δὲ | "ἐὰν μὴ νίψω σε, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ",
τρόμῳ πολλῷ συνεχόμενος | ἐβόα σοι, Κύριε,
"μὴ μόνον τοὺς πόδας μου νίψῃς, | ἀλλὰ καὶ τὰς χεῖρας καὶ τὴν κεφαλήν".
ὦ μεγίστων δεσπότου δωρεῶν! | κοινωνοὺς ποιεῖται τῆς χάριτος
τοὺς ἑαυτοῦ μαθητάς, | καὶ μέρος ἔχειν μετ' αὐτοῦ ἐπαγγέλλεται
εἰς τὴν ἄρρητον δόξαν, | ὡς καὶ ἐν τῷ μυστικῷ ποτηρίῳ ἔφησεν
καινὸν αὐτὸ πίνειν μετ' αὐτῶν | ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν,
ἧς καὶ ἡμᾶς ἀξίωσον | ὡς ἐλεήμων καὶ φιλάνθρωπος.

Δόξα· πλάγιος δ'.

Σήμερον ὁ ἀπρόσιτος τῇ οὐσίᾳ | ἔργον δούλου ἀνέλαβεν·
λεντίῳ διεζώσατο | ὁ περιβάλλων τὸν οὐρανὸν ἐν νεφέλαις·
ὕδωρ ἔβαλεν εἰς νιπτῆρα | ὁ τὴν θάλασσαν τὴν ἐρυθρὰν διατεμών,
καὶ κάμψας ἐπὶ τὰ γόνατα | ἤρξατο νίπτειν τοὺς πόδας τῶν μαθητῶν
καὶ ἐκμάσσειν τῷ λεντίῳ, | ᾧ ἦν διεζωσμένος·
ὅταν οὖν ἔνιψεν τοὺς πόδας αὐτῶν, | εἶπεν αὐτοῖς·
"ὑμεῖς καθαροί ἐστε, | ἀλλ' οὐχὶ πάντες".
ᾔδει γὰρ | τὸν παραδιδοῦντα αὐτόν.

Καὶ μετὰ τοῦτο πληροῦται τὸν νιπτῆρα. Εὐθὺς ὁ ἀρχιδιάκονος τὸ στιχηρόν, ἦχος πλάγιος δ'.

Σὺ τοὺς πόδας ἔνιψας, Σωτήρ, τῶν μαθητῶν σου
ὡς καλὸς διδάσκαλος καὶ κύριος τῆς δόξης,
ὑπόδειγμα ποιήσας τῷ γένει τῶν ἀνθρώπων·
ὁ Θεός, ἱλάσθητί μοι καὶ σῶσόν με.

Εἶτα πολυχρονίζουν τὸν πατριάρχην ὁ κλῆρος καὶ τότε βάλλει τὸ φελώνιον καὶ τὸ ὠμοφόριον, καὶ λέγει ὁ ἀρχιδιάκονος· «Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι. — Σοφία· ὀρθοὶ ἀκούσωμεν». Καὶ ὁ πατριάρχης λέγει τὸ εὐαγγέλιον κατὰ Ἰωάννην (ιγ', 12—17)· «Ὅτε ἔνιψεν». Τέλος· «ποιεῖτε ταῦτα». Εὐθὺς «Καταξίωσον, Κύριε, τὴν ἑσπέραν». Εὐθὺς στιχηρὸν ἦχος α', πρὸς τὸ «Πανεύφημοι μάρτυρες».

Τὴν σὴν ἐξαπόστειλον | φρικτὴν | χεῖρα, ὑπεράγαθε,
καὶ καρδιῶν ἆψαι δούλων σου·

1 μεταμοῦ. — 2 ἐβόα] αἱ ἐκδ. «ἐβόησε». — 4 μεγίστου. — 7 αὐτῶι || μεταυτῶν. — 10 δοῦλου. — 11 ἐκδ. «λέντιον». 13 εἵρξατο. — 14 ὁ ἦν διεσμένος. — 15 αὐτῶν] ἐκδ. «τῶν μαθητῶν». 18 νιπτεῖρα. — 25 ὠμοφό(ριον) κ. λ. ὁ ἀρχιδιάκω(ν).

παράσχου ἄνωθεν | τὸν ἁγιασμόν σου
καὶ τὸν φωτισμὸν τὸν σὸν
κατάπεμψον νιπτῆρι τῷ θείῳ σου·
πλῦνον παθῶν ἡμῶν | καὶ πταισμάτων ῥύπον ἅπαντα
καὶ ὁδὸς τρέχειν | ὁδοὺς τὰς ἐνθέους σου.

Ὅμοιον. Στίχ. «Ἐπὶ πλεῖον πλῦνον».

Ἡγίασται σήμερον | ὀρῶν | οὐρανός σε ἄνωθεν
τὴν κορυφήν, Χριστέ, κλίναντα·
γῇ ἐπαγάλλεται | σοῦ τῷ θείῳ δείπνῳ
καὶ ὑδάτων χαίρουσιν | συστήματα νιπτῆρι χεόμενα·
διὸ οἰκτίρησον | καὶ ἡμᾶς τοὺς τῷ νιπτῆρι σου
πειθαρχοῦντας | τῆς σῆς ἀγαθότητος.

Ὅμοιον. Στίχ. «Ῥαντιεῖς με ὑσσώπῳ».

Ῥωννύων, φιλάνθρωπε, | ἡμῶν | πτέρναν τὴν ἐγκάρδιον,
δι' οὗ πατεῖν ἐνδυνάμωσον
δεινῶν ἐπ' ὄφεων καὶ ἐχθροῦ σκορπίων,
καὶ πρὸς ἐπουράνιον | ὁδὸν μεταναστεύειν ἐν χάριτι,
ὅπως τοῦ ἄνω σου | μετασχῶμεν πάσχα χαίροντες
καὶ τιμῶμεν | τὴν σὴν ἀγαθότητα.

Δόξα. Ἦχος β', πρὸς τὸ «Ὅτε ἐκ τοῦ ξύλου».

Ὅτε | τῷ λεντίῳ τὴν ὀσφὺν | ἔζωσας, Χριστέ,
καὶ νιπτῆρι | ὕδωρ ἐξέχεας,
πόδας δούλων ἔπλυνας, | τὸ γόνυ ἔκαμψας,
τῶν ἀγγέλων τὰ τάγματα | ἐξίσταντο φόβῳ
βλέποντα τὴν ἄφραστον | σοῦ συγκατάβασιν,
τότε μαθηταῖς ὑπεδείκνυς | τύπον ταπεινώσεως·
δόξα | τῇ φιλανθρωπίᾳ σου, | Σωτὴρ ἡμῶν.

Εὐθὺς «Νῦν ἀπολύεις». Καταβασία· «Ὅτε οἱ ἔνδοξοι μαθηταί».

Εὐχὴ ἀπολυτική.

«Δέσποτα κύριε ὁ Θεὸς ἡμῶν ὁ παντοκράτωρ, εὐχαριστοῦμέν σοι κατὰ πάντα καὶ διὰ πάντα καὶ ἐν πᾶσιν, ὅτι κατηξίωσας ἡμᾶς καὶ ἐν τῇ ὥρᾳ ταύτῃ ἐπιτελέσαι τὸν τύπον τοῦ ἁγίου σου

4 ῥῦπον.—9 γῇ.—11 οἰκτίρησον.—12 πειθαρχούντας.—13 ὑσσώπῳ] εἰσεόπ:—16 ἐπόφεων.—18 πασχα.—22 νιπτῆρα.—31 διαπάντα.

*

νιπτῆρος, ὃν ὑπέδειξεν ὁ μονογενής σου υἱός, ὁ Κύριος καὶ Θεὸς ἡμῶν, καὶ διδάσκαλος τοῖς ἑαυτοῦ μαθηταῖς· καὶ παρακαλοῦμέν σε, φιλάνθρωπε ἀγαθέ, πάριδε ἡμῶν τὰς πολλὰς ἁμαρτίας καὶ οἰκτίρησον ἡμᾶς κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου· τὴν σὴν εἰρήνην δώρησαι διὰ παντὸς τῇ ἁγίᾳ σου ἐκκλησίᾳ· διατήρησον ἡμᾶς ἐν εἰρήνῃ καὶ ἀγάπῃ καὶ ὁμονοίᾳ μετὰ τοῦ φόβου σου, φυλάττοντας πάσας τὰς ἐντολάς σου ἐν τῷ νῦν αἰῶνι· ἐν δὲ τῷ μέλλοντι πάντας ἡμᾶς τῶν αἰωνίων ἀγαθῶν μετόχους ποίησον διὰ τοῦ μονογενοῦς σου υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ καὶ δεδοξασμένος σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, διὰ πρεσβειῶν τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῶν ἁγίων καὶ ἐπουρανίων δυνάμεων καὶ τοῦ προδρόμου Ἰωάννου καὶ τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων καὶ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας».

Καὶ εὐθὺς γίνεται ἀνάγνωσις.

ΤΑΞΙΣ ΣΥΝ ΘΕΩΙ ΚΑΙ ΑΚΟΛΟΥΘΙΑ ΤΩΝ ΑΓΙΩΝ ΠΑΘΩΝ

ΤΟΥ ΚΥΡΙΟΥ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ.

Μετὰ τὴν ἀνάγνωσιν ἄρχεται τὸ ἐξάψαλμον, εἶτα «Ἀλληλούια»· ἦχος πλάγιος δ'. Κάθισμα· «Ὅτε οἱ ἔνδοξοι μαθηταί» κτλ. (σελ. 83). Ὁ διάκονος συναπτήν, καὶ λέγει ὁ πατριάρχης τὸ εὐαγγέλιον α' κατὰ Ἰωάννην (ιγ', 31 κέ)· «Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· νῦν ἐδοξάσθη ὁ υἱός». Τέλος· «καὶ οἱ μαθηταὶ αὐτοῦ». Εὐθὺς λιτὴ εἰς τὸ ὄρος τῶν Ἐλαιῶν, ψάλλοντες ἀντίφωνον· ἦχος πλάγιος δ'· «Ἄρχοντες λαῶν συνήχθησαν | κατὰ τοῦ Κυρίου | καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ». Στίχ. «Ἵνα τί ἐφρύαξαν ἔθνη». Στίχ. «Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς».— «Λόγον παράνομον | κατέθεντο κατ' ἐμοῦ· | Κύριε, Κύριε, | μὴ ἐγκαταλί-

1 ὃν] οὗ ‖ μονογενὴς.—3 οἰκτίρησον sic.—4 οἰκτειρμῶν.—6 μετατοῦ.—14 ἀπαιῶνος.

πῆς με». Στίχ. «Ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται». Στίχ. «Ἐγὼ δὲ κατεστάθην».

Τὰς αἰσθήσεις ἡμῶν | καθαρὰς τῷ Χριστῷ
παραστήσωμεν | καὶ ὡς φίλοι αὐτοῦ
τὰς ψυχὰς ἡμῶν θύσωμεν δι' αὐτὸν
καὶ μὴ ταῖς μερίμναις τοῦ βίου
συμπνίγωμεν, ὡς ὁ Ἰούδας,
ἀλλ' ἐν τοῖς ταμείοις ἡμῶν κράζωμεν
"πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς,
ἀπὸ τοῦ πονηροῦ ῥῦσαι ἡμᾶς".

Στίχ. «Μακάριος ὁ συνιὼν»: Δόξα. Θεοτοκίον· «Παρθένος ἔτεκες ἀπειρόγαμε» κτλ. Καὶ νῦν. Θεοτοκίον.

Θεὸς ὢν ἐκένωσας | σεαυτὸν μονογενῆ,
ἵνα σώσῃς οὓς ἔπλασας, | δι' οὓς ἐνηνθρώπησας
σαρκωθεὶς ἐκ παρθένου | καὶ ὅλην καταλλάξας μου
τὴν φύσιν τῷ οἰκείῳ πνεύματι.

Ἀντιφώνου β' ἦχος β'.

Ἔδραμεν λέγων ὁ Ἰούδας | τοῖς παρανόμοις γραμματεῦσι·
"τί μοι θέλετε δοῦναι | κἀγὼ ὑμῖν παραδώσω αὐτόν";
ἐν μέσῳ δὲ τῶν συμφωνούντων
αὐτὸς εἱστήκεις ἀοράτως | ὁ συμφωνούμενος·
καρδιογνῶστα, φεῖσαι τῶν ψυχῶν ἡμῶν.

Στίχ. «Φησὶν ὁ παράνομος τοῦ ἁμαρτάνειν». Στίχ. «Ὅτι ἐδόλωσεν ἐνώπιον». Ἦχος πλάγιος β'.

Ἐν ἐλέει | τὸν Θεὸν θεραπεύσωμεν,
ὥσπερ Μαρία ἐπὶ τοῦ δείπνου,
καὶ μὴ κτησώμεθα | φιλαργυρίαν, ὡς ὁ Ἰούδας,
ἵνα πάντοτε μετὰ Χριστοῦ τοῦ Θεοῦ ἐσώμεθα.

Δόξα. Θεοτοκίον.

Ὃν ἔτεκες, παρθένε, ἀνερμηνεύτως, | διὰ παντὸς ὡς φιλάνθρωπον
μὴ διαλίπῃς ἐκβοῶσα, | ἵνα κινδύνων σώσῃ τοὺς εἰς σὲ καταφεύγοντας.

3 καθαρας. — 4 παραστήσομεν. — 5 θήσωμεν δι' αὐτοῦ. — 7 ἐκδ. ρωμ. «συμπνιγῶμεν».—8 ταμίοις || κράζομεν.—13 ὢν ἐκαίνωσας.—14 διους.—20 συμφωνοῦντων.—21 εἱστίκης.—25 ἐνελέει.—27 κτισώμεθα.—30 ἀνερμηνεύτως· διαπαντὸς.—31 διαλείπης || ἐκβοωσποῦσα] ἐλλείπει τῷ κώδικι || σῶσε τοὺς.

Καὶ νῦν.

Τὸν ὑπὲρ φύσιν τόκον σου προσκυνοῦμεν,
τὴν κατὰ φύσιν δόξαν τοῦ βρέφους σου
μὴ διαιροῦντες, θεογεννῆτορ·
ὁ εἰς γὰρ τῷ προσώπῳ | διττὰς ὁμολογεῖται ταῖς φύσεσιν.

Ἀντιφώνου τρίτου ἦχος β'.

Διὰ Λαζάρου τὴν ἔγερσιν, Κύριε, | τὸ ὡσαννά σοι ἐκραύγαζον
παῖδες τῶν Ἑβραίων, φιλάνθρωπε·
ὁ δὲ παράνομος Ἰούδας | οὐκ ἠβουλήθη συνιέναι.

Στίχ. «Δίκασον, Κύριε, τοὺς ἀδικοῦντάς με». Στίχ. «Ἔκχεον ρομφαίαν». Ἦχος β'.

Ἐν τῷ δείπνῳ σου, Χριστὲ ὁ Θεός, | τοῖς μαθηταῖς σου προέλεγες
"εἷς ἐξ ὑμῶν παραδώσει με"·
ὁ δὲ παράνομος Ἰούδας | οὐκ ἠβουλήθη συνιέναι.

Στίχ. «Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν». Στίχ. «Ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω». Ἦχος β'.

Ἰωάννῃ ἐρωτήσαντι, Κύριε, | "ὁ παραδιδούς τίς ἐστι",
τοῦτον διὰ τοῦ ἄρτου ὑπέδειξας·
ὁ δὲ παράνομος Ἰούδας | οὐκ ἠβουλήθη συνιέναι.

Στίχ. «Γενηθήτωσαν ὡσεὶ χνοῦς». Στίχ. «Γενηθήτω ἡ ὁδὸς αὐτοῦ».

Ἐν τῷ δείπνῳ σου, Χριστὲ ὁ Θεός, | τοῖς μαθηταῖς προέλεγες·
οὕτως ποιεῖτε, | ὥσπερ εἴδετε"·
ὁ δὲ παράνομος Ἰούδας | οὐκ ἠβουλήθη συνιέναι.

Στίχ. «Ὅτι δωρεὰν ἔκρυψάν με». Στίχ. «Ἐλθέτω αὐτῷ παγὶς ἣν» κτλ. Ἦχος β'.

"Γρηγορεῖτε καὶ προσεύχεσθε, | ἵνα μὴ πειρασθῆτε",
τοῖς μαθηταῖς σου, ὁ Θεὸς ἡμῶν ἔλεγες·
ὁ δὲ παράνομος Ἰούδας | οὐκ ἠβουλήθη συνιέναι.

3 καταφύσιν || βρέφουσου. — 5 ὁμολογῆται. — 9 «οὐκηβουλήθη»· οὕτω καὶ ἐφεξῆς. — 11 ρομφαῖαν. — 17 Ἰωάννης.

Στίχ. «Πάντα τὰ ὀστᾶ μου ἐροῦσι Κύριε, Κύριε»: Στίχ. «Ἀναστάντες μοι μάρτυρες ἄδικοι»: Ἦχος β'.

Εἰς τριάκοντα ἀργύρια, Κύριε, | καὶ εἰς φίλημα δόλιον
ἐζήτουν Ἰουδαῖοι ἀποκτεῖναί σε·
ὁ δὲ παράνομος Ἰούδας | οὐκ ἠβουλήθη συνιέναι.

Στίχ. «Οὐκ ἠβουλήθη συνιέναι»: Στίχ. «Ἐνδυσάσθωσαν αἰσχύνην»: Ἦχος β'. Δόξα. Θεοτοκίον

Διάσωσον | ἀπὸ κινδύνων | τὴν ποίμνην σου, Θεοτόκε,
ὅτι πάντες μετὰ Θεὸν | εἰς σὲ καταφεύγομεν,
ὡς ἄρρηκτον | τεῖχος καὶ προστασίαν.

Καὶ νῦν: Θεοτοκίον.

Βάτος σε | ἐν τῷ Σιναίῳ | ἀφλέκτως προσωμίλουσα
τῷ πυρὶ προγράφει μητέρα | τὴν ἀειπάρθενον,
πανύμνυτε | Θεοτόκε παρθένε.

Κάθισμα· ἦχος βαρύς.

Ἐν τῷ δείπνῳ τοὺς μαθητὰς διατρέφων
καὶ τὴν σκῆψιν τῆς προδοσίας γινώσκων,
ἐν αὐτῷ τὸν Ἰούδαν διήλεγξας,
ἀδιόρθωτον μὲν τοῦτον ἐπιστάμενος,
γνωρίσαι δὲ πᾶσι βουλόμενος,
ὅτι θέλων παρεδόθης,
ἵνα κόσμον ἁρπάσῃς τοῦ ἀλλοτρίου·
μακρόθυμε Κύριε, δόξα σοι.

«Δόξα» τὸ αὐτό. Ὁ διάκονος· «Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι». Εὐαγγέλιον β' κατὰ Ἰωάννην (ιή', 1—28)· «Ἐξῆλθεν ὁ Ἰησοῦς σὺν τοῖς μαθηταῖς αὐτοῦ πέραν τοῦ Κέδρου». Τέλος· «ἀλλ' ἵνα φάγωσιν τὸ πάσχα».

Εὐθὺς καταβαίνομεν ἐκ τὸ ἅγιον ὄρος ἐπὶ τὴν Ἁγίαν Προσκύνησιν, λιτ(ανεύοντες καὶ) ψάλλοντες στιχηρὸν (εἰς) ἦχον πλάγιον δ'· «Λόγον παράνομον κατέθεντο κατ' ἐμοῦ, Κύριε Κύριε· μὴ ἐγκαταλίπῃς με»: Στίχ. «Διαρρήξωμεν τοὺς δεσμοὺς αὐτῶν». Στίχ. «Ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται».

1 ὀστάμου. — 4 ἐζήτων. — 8 ἀποκινδύνων || ποίμνην] ἐκδ. «δούλους». — 9 καταφεύγωμεν. — 17 σκίψιν. — 19 ἀδιώρθωτον. 21 παρεδώθης.

Ἀντιφώνου τετάρτου ἦχος πλ. α'.

Σήμερον ὁ Ἰούδας | καταλιμπάνει
τὸν διδάσκαλον | καὶ παραλαμβάνει τὸν διάβολον·
τυφλοῦται τῷ πάθει τῆς φιλαργυρίας· | ἐκπίπτει τοῦ φωτὸς
ὁ ἐσκοτισμένος· | πῶς γὰρ ! ἠδύνατο βλέπειν
ὁ τὸν φωστῆρα πωλήσας | τριάκοντα ἀργυρίοις;
ἀλλ' ἡμῖν ἀνέτειλεν | ὁ παθὼν ὑπὲρ τοῦ κόσμου, πρὸς ὃν βοήσωμεν
ὁ παθὼν καὶ συμπαθῶν | ἄνθρωποι, δόξα σοι".

Στίχ. «Κύριε, τίς παροικήσει ἐν τῷ σκηνώματί σου»: Στίχ. «Πορευόμενος ἄμωμος καὶ ἐργαζόμενος». Ὅμοιον.

Σήμερον ὁ Ἰούδας | παραποιεῖται θεοσέβειαν
καὶ ἀλλοτριοῦται τοῦ χαρίσματος·
ὑπάρχων μαθητὴς | γίνεται προδότης·
ἐν ᾗθει φιλικῷ | δόλον ὑποκρύπτει
καὶ προτιμᾶται ἀφρόνως | τῆς τοῦ δεσπότου ἀγάπης
δουλεύειν φιλαργυρίᾳ,
ὁδηγὸς γενόμενος | συνεδρίου πονηρίας·
ἡμεῖς δὲ ἔχοντες | τὸν Χριστὸν εἰς σωτηρίαν
αὐτὸν δοξάσωμεν.

Στίχ. «Ἐξουδένωται ἐνώπιον αὐτοῦ». Στίχ. «Ὁ ὀμνύων τὸν πλησίον».

Τὴν φιλαδελφίαν κτησώμεθα, | ὡς ἐν Χριστῷ ἀδελφοί,
καὶ μὴ | τὸ ἀσυμπαθὲς πρὸς τοὺς πλησίον ἡμῶν,
ἵνα μὴ ὡς ὁ δοῦλος κατακριθῶμεν
ὁ ἀνελεήμων | διὰ τὰ δηνάρια,
καὶ ὡς ὁ Ἰούδας μεταμεληθέντες | μηδὲν ὠφελήσωμεν.

Στίχ. «Ὁ ποιῶν ταῦτα οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα». Δόξα. Θεοτοκίον.

Δεδοξασμένα περὶ σοῦ | ἐλαλήθη πανταχοῦ,
ὅτι ἐκύησας σαρκὶ | τὸν τῶν ὅλων ποιητήν,
θεοτόκε Μαρία, | πανύμνητε καὶ ἀπειρόγαμε.

Καὶ νῦν καὶ ἀεὶ καὶ: Θεοτοκίον.

5 δυνατόβλεπειν· ὁ τὸν φωστῆρ.— 6 ἀργύρια. · 16 δουλεύειν φιλαργυρίᾳ] ἐκδ. «τριάκοντα ἀργύρια».—22 κτισώμεθα.—26 μὴ δεν.

Ὥσπερ ἀμνὸν ἐπὶ σταυροῦ | καθορῶσα ἡ ἀμνὰς
ἀναρτηθέντα τὸν Χριστὸν | ἀλαλάζει καὶ βοᾷ
" πῶς σου ἔδυ τὸ κάλλος, | μακρόθυμε υἱὲ προάναρχε "!

Ἀντιφώνου ε΄ ἦχος πλάγιος β΄.

Ὁ μαθητὴς τοῦ διδασκάλου | συνεφώνει τὴν τιμὴν
καὶ τριάκοντα ἀργυρίοις | πέπρακε τὸν Κύριον,
φιλήματι δολίῳ παραδοὺς αὐτὸν | τοῖς ἀνόμοις εἰς θάνατον.

Στίχ. «Εἰσάκουσον, Κύριε, δικαιοσύνης μου». Στίχ. «Ἐδοκίμασας τὴν καρδίαν μου». Ἦχος πλάγιος β΄.

Σήμερον ἔλεγεν | ὁ κτίστης οὐρανοῦ καὶ γῆς
τοῖς ἑαυτοῦ μαθηταῖς· | " ἤγγικεν ἡ ὥρα
καὶ ἔφθασεν Ἰούδας ὁ παραδιδούς με·
μή τις με ἀρνήσηται | βλέπων με ἐν τῷ σταυρῷ
ἐν μέσῳ δύο λῃστῶν· | πάσχω γὰρ ὡς ἄνθρωπος
καὶ σώζω ὡς φιλάνθρωπος | τοὺς εἰς ἐμὲ πιστεύοντας ".

Δόξα. Θεοτοκίον.

Ἡ ἀρρήτως | ἐπ' ἐσχάτων συλλαβοῦσα
καὶ τεκοῦσα | τὸν κτίστην τὸν ἴδιον,
παρθένε, σῶζε | τοὺς σὲ μεγαλύνοντας.

Καὶ νῦν καὶ ἀεί: Θεοτοκίον.

Ἡ τεκοῦσα | διὰ λόγου ὑπὲρ λόγον,
Θεοτόκε, | πατέρα τὸν συνάναρχον,
αὐτὸν δυσώπει | σῶσαι τὰς ψυχὰς ἡμῶν.

Ἀντιφώνου ς΄ ἦχος βαρύς.

Σήμερον | γρηγορεῖ ὁ Ἰούδας | παραδοῦναι τὸν Κύριον
τὸν πρὸ τῶν αἰώνων | σωτῆρα τοῦ κόσμου,
τὸν ἐκ πέντε ἄρτων | χορτάσαντα πλήθη·
σήμερον ὁ ἄνομος | ἀρνεῖται τὸν διδάσκαλον·
μαθητὴς γενόμενος | δεσπότην παρέδωκεν·
ἀργυρίοις πέπρακε | τὸν μάννα χορτάσαντα τὸν ἄνθρωπον.

Στίχ. «Τί ἐγκαυχᾶ ἐν κακίᾳ ὁ δυνατός». Στίχ. «Ὡσεὶ ξυρὸν ἠκονημένον ἐποίησας». Ἦχος βαρύς.

1 ἀμνὸν 14 γὰρ] κῶδ. «μὲν».—17 ἐπεσχάτων.—18 ἰδιον.—21 διαλόγου.—23 δυσώπη.—27 ἄρτους.—28 ἀρνεῖτε.—30 ἐκδ. «ἀργυρίῳ».—31 τιἐγκαύχᾳ εἰς κακια(ν) || ξηρὸν.

Σήμερον | τῷ σταυρῷ προσήλωσαν
Ἰουδαῖοι τον Κύριον | τον διατεμόντα
τὴν θάλασσαν ῥάβδῳ | καὶ διαγαγόντα | αὐτοὺς ἐν ἐρήμῳ·
σήμερον τῇ λόγχῃ | τὴν πλευρὰν αὐτοῦ ἐκέντησαν
τοῦ πληγαῖς μαστίξαντος | ὑπὲρ αὐτῶν τὴν Αἴγυπτον
καὶ χολὴν ἐπότισαν | τον μάννα τροφὴν αὐτοῖς ὀμβρήσαντα.

Στίχ. «Ἠγάπησας πάντα τὰ ῥήματα καταποντισμοῦ». Στίχ. «Διὰ τοῦτο ὁ Θεὸς καθελ»: Ἦχος βαρύς.

Κύριε, | ἐπὶ τὸ πάθος τὸ ἑκούσιον
παραγενόμενος | ἐβόας τοῖς μαθηταῖς σου·
"κἂν μίαν ὥραν | οὐκ ἰσχύσατε | ἀγρυπνῆσαι μετ' ἐμοῦ,
πῶς ἐπηγγείλασθε | ἀποθνήσκειν δι' ἐμέ·
κἂν τὸν Ἰούδαν θεάσασθε | πῶς οὐ καθεύδει,
ἀλλὰ σπουδάζει προδοῦναί με | τοῖς παρανόμοις·
ἐγείρεσθε, | προσεύξασθε, ' μή τις με ἀρνήσηται
βλέπων με ἐν τῷ σταυρῷ "· | μακρόθυμε, δόξα σοι.

Δόξα. Στίχ. «Ἰδοὺ ἄνθρωπος, ὃς οὐκ ἔθετο». Θεοτοκίον.

Χαῖρε Θεοτόκε | ἡ τὸν ἀχώρητον ἐν οὐρανοῖς
χωρήσασα ἐν μήτρᾳ·
χαῖρε παρθένε, | τῶν προφητῶν τὸ κήρυγμα,
δι' ἧς ἡμῖν ἔλαμψεν ὁ Ἐμμανουήλ·
χαῖρε, μῆτερ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

Καὶ νῦν καὶ ἀεί: Θεοτοκίον.

Σταυρούμενον | τὸν ἐκ σοῦ τεχθέντα | καθορῶσα ἐδάκρυες·
τὰ σπλάγχνα ὀδυνωμένη, | μῆτερ ἁγνή,
"πῶς ταῦτα ἑκουσίως | πάσχεις" ἐκραύγαζες, "υἱέ,
θέλων τὸ ἀνθρώπινον | γένος ἐλυτρώσασθαι".

Κάθισμα· ἦχος βαρύς.

Ποῖός σε τρόπος, Ἰούδα, | προδότην τοῦ Σωτῆρος εἰργάσατο;
μὴ τοῦ χοροῦ σε | τῶν ἀποστόλων ἐχώρισε;
μὴ τοῦ χαρίσματος τῶν θαυμάτων ἐστέρησε;
μὴ συνδειπνήσας ἐκείνοις | σὲ τῆς τραπέζης ἀπώσατο;

5 αἴγυπτον.—6 αὐτοὺς ὀμβρήσαντα.—11 μετεμοῦ.—13 ἰούδα || καθεύδη.—15 ἐκδ. ρωμ. «προσεύχεσθε». — 19 ἐκδ. «ἐν μήτρασου». — 21 ἔλλαμψεν. — 25 ὠνουμένη. — 26 πάσχης.—30 ἐχώρησε.—31 θαυμάτων] ἐκδ. ρωμ. «ἰαμάτων».

μὴ τῶν ἄλλων νίψας τοὺς πόδας | τοὺς σοὺς ὑπερεῖδεν;
ὢ | πόσων ἀγαθῶν ἀμνήμων ἐγένου!
καὶ σοῦ μὲν | ἡ ἀχάριστος | στηλιτεύεται γνώμη,
αὐτοῦ δὲ ἡ ἀνείκαστος μακροθυμία | κηρύττεται καὶ τὸ μέγα ἔλεος.

«Δόξα» τὸ αὐτό. Εὐαγγέλιον κατὰ Ματθαῖον (κϛ', 57—75)· «Τῷ καιρῷ ἐκείνῳ οἱ στρατιῶται κρατήσαντες τὸν Ἰησοῦν». Τέλος· «ἔκλαυσε πικρῶς». Εὐθὺς λιτὴ ἐπὶ τὴν ἁγίαν Γεθσημανῆ, ψάλλοντες ψαλμὸν (εἰς) ἦχον πλάγιον β'· «Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου ὁ Θεὸς καὶ ἐκ τῶν ἐπανισταμένων». Στίχ. «Ῥῦσαί με ἐκ τῶν ἐργαζομένων».

Ἀντιφώνου ζ' ἦχος πλάγιος δ'.

Τοῖς συλλαβοῦσί σε παρανόμοις
ἀνεχόμενος οὕτως ἐβόας, Κύριε·
"εἰ καὶ ἐπατάξατε τὸν ποιμένα
καὶ διεσκορπίσατε τὰ δώδεκα
πρόβατα, τοὺς μαθητάς μου,
ἠδυνάμην πλείους ἢ δώδεκα
λεγεῶνας παραστῆσαι ἀγγέλων·
ἀλλὰ μακροθυμῶ, | ἵνα πληρωθῇ
ἃ ἐδήλωσα ὑμῖν διὰ τῶν προφητῶν μου
ἄδηλα καὶ κρύφια"· | Κύριε, δόξα σοι.

Πλάγιος δ'. Στίχ. «Κύριε ὁ Θεός μου, ἐπὶ σοὶ ἤλπισα». Στίχ. «Κύριε ὁ Θεός μου, εἰ ἐποίησα».

Τρίτον ἀρνησάμενος ὁ Πέτρος,
εὐθέως τὸ ῥηθὲν αὐτῷ συνῆκεν·
ἀλλὰ προσήνεγκέν σοι | δάκρυα μετανοίας·
ὁ Θεός, ἱλάσθητί μοι καὶ σῶσόν με.

Πλάγιος δ'· ὅμοιον. Στίχ. «Ἰδοὺ ὠδίνησεν ἀδικίαν». Στίχ. «Ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς»:

Ῥάπισμα ἐδέξω σιαγόνα
ὁ πλάσας τὸν ἄνθρωπον, Σωτήρ μου,
καὶ πάσχει τῇ σαρκί σου | λυτρούμενος τὸ γένος
τῶν ἀνθρώπων τῷ τιμίῳ σου αἵματι.

2 ὦ] ὤ.– 7 γεθσιμανῆ.– 15 διεσκορπίσατε || δώδεκα] ἐκδ. «ἑνδεκα». — 17 ἠδυναίμην || ἢ] ἡ.—23 εἰ] ἢ].—26 ἐκδ. «προσήγαγε».—28 ὠδίνησεναδ(ι)κ(ία).—30 σιαγῶνα.

Ὅμοιον. Στίχ. «Ὁ Θεός, παράνομοι ἐπανέστησαν ἐπ' ἐμέ».

Ὁ λῃστὴς γνωρίσας ἐπὶ ξύλου
κρεμάμενον τὸν κτίστην τῶν ἁπάντων,
ἐβόα· μνήσθητί μου, | Κύριε, ὅταν ἔλθῃς
ἐν τῇ βασιλείᾳ σου καὶ σῶσόν με".

Ὅμοιον. Στίχ. «Ἄκκον ὤρυξε καὶ ἀνέσκαψεν αὐτον».

Ἰούδας παραδίδει τὸν δεσπότην.
ἀργυρίοις τριάκοντα πωλήσας·
καὶ πάλιν μεταγνώσας | τὸν Πέτρον οὐ μιμεῖται,
ἀλλ' ἀγχόνῃ χρησάμενος ἀπώλετο.

Δόξα πατρὶ καὶ υἱῷ: Θεοτοκίον.

Ὡς πύλην οὐράνιον | καὶ παράδεισον τερπνὸν
καὶ φωτὸς ἀιδίου | νεφέλην ὑπάρχουσαν
τὴν ἁγίαν παρθένον | τιμήσωμεν ἅπαντες,
λέγοντες τὸ "χαῖρε" αὐτῇ.

Καὶ νῦν καὶ ἀεί: Θεοτοκίον.

Οὐκ ἔστιν ἄμωμος | ὡς σύ, δέσποινα,
καὶ οὐκ ἔστιν ἄχραντος | πλὴν σου, πανάμωμε·
ἐν γαστρὶ γὰρ τὸν κτίστην | τον πάντων ἐχώρησας,
τὸν μόνον πολυέλεον.

Ἀντιφώνου ἡ ἦχος β'.

Εἴπατε παράνομοι· | τί ἠκούσατε παρὰ τοῦ Σωτῆρος ἡμῶν;
οὐ νόμον ἐξέθετο | καὶ τῶν προφητῶν τὰ κηρύγματα;
πῶς οὖν ἐλογίσασθε | Πιλάτῳ παραδοῦναι
τὸν ἐκ Θεοῦ Θεὸν Λόγον | καὶ λυτρωτὴν τῶν ψυχῶν ἡμῶν;

Ἦχος β'. Στίχ. «Ἐλέησόν με ὁ Θεός, ὅτι κατέπ»: Στίχ. «Ἐξαπέστειλεν ὁ Θεὸς ἔλεος».

Σταυρωθήτω | ἔκραζον
οἱ τῶν σῶν χαρισμάτων | ἀεὶ ἐντρυφῶντες
καὶ κακοῦργον | ἀντ' εὐεργέτου | ἠτοῦντο λαβεῖν
οἱ τῶν δικαίων φονευταί·
ἐσιωπας δέ, Χριστέ, | φέρων αὐτῶν τὴν προπέτειαν,
παθεῖν θέλων καὶ σῶσαι | ἡμᾶς ὡς φιλάνθρωπος.

2 λῃστὴν || ἐπιξύλου.—7 παραδίδη.—10 ἀλλὰγχόνην.—12 οὐράνιον] ἐκδ. ρωμ. «σωτήριον».—14 τιμήσωμεν] ἐκδ. «ὑμνήσωμεν.—23 κηρύγματα] ἐκδ. ρωμ. «διδάγματα».—29 ἐντρυφόντες.—31 ἀντευεργέτου.

Δόξα πατρὶ καὶ υἱῷ: Θεοτοκίον.

Ὅτι οὐκ ἔχομεν παρρησίαν | διὰ τὰ πολλὰ ἡμῶν ἁμαρτήματα,
οὐ τὸν ἐκ σοῦ γεννηθέντα δυσώπησον, | Θεοτόκε παρθένε·
πολλὰ γὰρ ἰσχύει δέησις μητρὸς | πρὸς εὐμένειαν δεσπότου·
μὴ παρίδῃς ἁμαρτωλῶν | ἱκεσίας ἡ πάνσεμνος,
ὅτι ἐλεήμων ἐστὶ καὶ σῴζειν δυνάμενος
ὁ καὶ παθεῖν ὑπὲρ ἡμῶν καταδεξάμενος.

Καὶ νῦν καὶ ἀεί: Θεοτοκίον.

Σάρκα ἐκ τῆς σῆς | σαρκὸς λαμβάνει θέλων
καὶ καθορᾶται ὁ ἀόρατος | καὶ σταύρωσιν δέχεται,
καὶ κατάρα ὀνομάζεται, | κατάρας ἐξαιρούμενος
ἅπαντας ὁ υἱός σου, | Θεοχαρίτωτε δέσποινα.

Ἀντιφώνου θ΄ ἦχος γ΄.

Ἔστησαν | τὰ τριάκοντα ἀργύρια,
τὴν τιμὴν τοῦ τετιμημένου,
ὃν ἐτιμήσαντο | ἀπὸ υἱῶν Ἰσραήλ·
γρηγορεῖτε καὶ προσεύχεσθε,
ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν·
τὸ μὲν | πνεῦμα πρόθυμον,
ἡ δὲ σὰρξ ἀσθενής·
διὰ τοῦτο | γρηγορεῖτε.

Στίχ. «Σῶσόν με ὁ Θεός, ὅτι εἰσῆλθ»: Στίχ. «Ἀπηλλοτριωμένος»:

Ἔδωκαν | εἰς τὸ βρῶμά μου χολήν
καὶ εἰς τὴν δίψαν μου | ἐπότισάν με ὄξος·
σὺ δέ, Κύριε, ἀνάστησόν με
καὶ ἀνταποδώσω αὐτοῖς.

Στίχ. «Γενηθήτω ἡ τράπεζα αὐτῶν». Δόξα. Ἦχος γ΄.

Οἱ ἐξ ἐθνῶν ὑμνοῦμέν σε, Θεοτόκε ἁγνή,
ὅτι Χριστὸν τὸν Θεὸν ἡμῶν ἔτεκες
τὸν ἐν τοῖς ὑψίστοις
σὺν πατρὶ καὶ πνεύματι δοξολογούμενον.

2 ὁτιοὐκέχωμεν παρρησία· διατά. — 4 ἰσχύει δέησιν. — 5 ἱκεσίαις. — 7 ὁ] ο. — 20 ἀσθενὴς· διατοῦτο· — 22 ἀπηλλωτρίωμ(εν)ο(ς). — 25 ἐπότησαν. — 26 αἱ ἐκδ. «ἐλέησόν με, ἀνάστησόν με». — 31 αἱ ἐκδ. «τὸν ἐκ τῆς κατάρας | τοὺς ἀνθρώπους διὰ σοῦ ἐλευθερώσαντα».

Καὶ νῦν: (Θεοτοκίον).

Καθορῶσα ἐν σταυρῷ | ὃν ἐξ αἱμάτων ἐσωμάτωσας τῶν σῶν,
ὀδυρωμένη ἐκραύγαζες, | θεογεννῆτορ κόρη,
"τί ταῦτα, τέκνον, δῆμος πονηρὸς | ἀνταπέδωκέ σοι, θανάτῳ σὲ
παραδοὺς, τὴν ζωὴν | πάντων καὶ ἀνάστασιν";

Κάθισμα· ἦχος πλ. δ'.

Ὢ πῶς Ἰούδας | ὁ ποτέ σου μαθητὴς
τὴν προδοσίαν ἐμελέτα κατὰ σοῦ!
συνεδείπνησε δολίως | ὁ ἐπίβουλος καὶ ἄδικος·
πορευθεὶς εἶπε τοῖς ἱερεῦσι
"τί μοι παρέχετε | καὶ παραδώσω ὑμῖν
ἐκεῖνον | τὸν τὸν νόμον λύσαντα
καὶ βεβηλοῦντα σάββατα";
μακρόθυμε Κύριε, δόξα σοι.

Ἄλλο κάθισμα Ἁγιοπολίτ(ου)· ἦχος πλ. δ' εἰς τὸ Δόξα.

Τριάκοντα ἀργύρια ἠγόρασάν σε Ἰουδαῖοι
τὸν βασιλέα οὐρανοῦ τε καὶ γῆς,
τὸν θησαυρὸν τῆς οὐρανίου ζωῆς·
οὐκ ἐφύλαξάν σε | ἐν τοῖς ταμείοις τῆς ἰδίας καρδίας,
ἀλλὰ παρέδωκάν σε ἐν ταῖς χερσὶν
ταῖς τῶν ἐθνῶν κουστωδίαις·
οὐ γὰρ ἦσαν ἄξιοι | σὲ τὸν πλοῦτον κτήσασθαι τὸν ἀληθινόν,
ὃν ὑμεῖς εὑρόντες, Κύριε, | ὑμνοῦμέν σε·
Κύριε, ἐλέησον ἡμᾶς·

Ὁ διάκονος· «Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι». Εὐαγγέλιον δ' ἐκ τοῦ κατὰ Ἰωάννην (ιη', 28—ιθ', 16). «Τῷ καιρῷ ἐκείνῳ ἄγουσι τὸν Ἰησοῦν ἀπὸ τοῦ Καϊάφα εἰς τὸ πραιτώριον». Τέλος· «ἵνα σταυρωθῇ». Εὐθὺς λιτὴ εἰς τ(ὴν) Μετ(άνοιαν) τοῦ ἁγίου Πέτρου. Ψάλλομεν ἦχον πλάγιον δ'· «Καὶ αὐτοὶ ἀπώσθησαν ἐκ τῆς χειρός σου, Κύριε· ἡμεῖς δὲ λαός σου καὶ πρόβατα νομῆς σου». Στίχ. «Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου».

2 ἐξαιμάτων. — 3 ὀδυρωμένη. — 9 συνεδείπνισε. — 13 αἱ ἐκδ. «τὸ σάββατον». — 19 οὐκεφύλαξαν || ταμείοις || ἰδίας. — 22 κτίσασθαι. — 27 πραιτόριον. — 30 νομεῖς.

Εὐθὺς ἀντιφώνου ι΄ ἦχος πλ. β΄.

Ὁ ἀναβαλλόμενος | φῶς ὡς ἱμάτιον
γυμνὸς εἰς κρίσιν ἵστατο
καὶ ἐν σιαγόνι | ῥάπισμα ἐδέξατο
ὑπὸ χειρῶν ὧν ἔπλασεν·
ὁ δὲ παράνομος λαὸς | τῷ σταυρῷ προσήλωσε
τὸν Κύριον τῆς δόξης·
τότε τὸ καταπέτασμα | τοῦ ναοῦ ἐσχίσθη
καὶ ἥλιος ἐσκότασε | μὴ φέρων θεάσασθαι
Θεὸν ὑβριζόμενον, | ὃν τρέμει τὰ σύμπαντα·
αὐτὸν προσκυνήσωμεν.

Στίχ. «Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· οὐκ ἔστι»: Στίχ. «Ὁ Θεὸς ἐκ τοῦ οὐρανοῦ διέκυψεν».

Ὁ μαθητὴς ἠρνήσατο, | ὁ λῃστὴς ἐβόησεν·
"Μνήσθητί μου, Κύριε, | ἐν τῇ βασιλείᾳ σου".

Στίχ. «Πάντες ἐξέκλιναν ἅμα»: Δόξα. Πλάγιος β΄. Θεοτοκίον.

Ἡ τὸ χαῖρε | δι' ἀγγέλου δεξαμένη
καὶ τεκοῦσα | τὸν κτίστην τὸν ἴδιον,
παρθένε, σῶζε | τοὺς σὲ μεγαλύνοντας.

Καὶ νῦν καὶ ἀεί: Θεοτοκίον.

Χαῖρε κόσμου | καταφύγιον, παρθένε·
χαῖρε τεῖχος | ἐχθροῖς ἀπροσμάχητον
καὶ λυπουμένων | χαρὰ ἀνεκλάλητος.

Ἀντιφώνου ια΄ ἦχος πλ. β΄.

Ἀντὶ ἀγαθῶν | ὧν ἐποίησας, Χριστέ,
τῷ γένει τῶν Ἑβραίων, | σταυρωθῆναί σε κατεδίκασαν
ὄξος | καὶ χολήν σε ποτίσαντες·
ἀλλὰ δὸς αὐτοῖς, Κύριε, | κατὰ τὰ ἔργα αὐτῶν,
ὅτι οὐ συνῆκαν | τὴν σὴν συγκατάβασιν.

Στίχ. «Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου ἡμέ»: Στίχ. «Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου». Πλάγιος β΄.

4 σιαγῶνι.—5 ὧν.—9 καὶ] ἐκδ. «ὁ».—17 διαγγέλου.—27 ποτήσαντες.

Ἐπὶ τῇ προδοσίᾳ | οὐκ ἠρκέσθησαν, Χριστέ,
τὰ γένη τῶν Ἑβραίων, | ἀλλ' ἐκίνουν τὰς κεφαλὰς αὐτῶν,
μυκτηρισμὸν καὶ γλεύην προσάγοντες·
ἀλλὰ δὸς αὐτοῖς, Κύριε, | κατὰ τὰ ἔργα αὐτῶν,
ὅτι οὐ συνῆκαν | τὴν σὴν συγκατάβασιν.

Στίχ. «Ὁ Θεός μου, μὴ μακρύνῃς ἀπ' ἐμοῦ». Στίχ. «Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν». Πλάγιος β'.

Οὔτε γῆ ὡς ἐσείσθη, | οὔτε πέτραι ὡς ἐρράγησαν
Ἑβραίους ἔπεισαν, | οὐδὲ τοῦ ναοῦ τὸ καταπέτασμα,
οὐδὲ τῶν νεκρῶν ἡ ἀνάστασις·
ἀλλὰ δὸς αὐτοῖς, Κύριε, | κατὰ τὰ ἔργα αὐτῶν,
ὅτι οὐ συνῆκαν | τὴν σὴν συγκατάβασιν.

Στίχ. «Ἐμάκρυνας ἀπ' ἐμοῦ φίλον καὶ πλησίον». Δόξα. Πλάγιος β'.

Εἰρήνευσον τὸν κόσμον,
ἐκ παρθένου | καταδεξάμενος, Κύριε,
σάρκα φορέσαι ὑπὲρ σῶν δούλων,
ὅπως λυτρώσῃς
ἐκ πλάνης τῶν ἀνθρώπων τὸ φύραμα.

Καὶ νῦν καὶ ἀεὶ κτλ. (Θεοτοκίον).

Προστασία | τῶν ἐν θλίψεσιν βεβαία,
προστηθί μοι | τοῦ βίου τοῖς πάθεσι
προσομιλοῦντι | καὶ σῶσόν με, δέσποτα.

Ἀντιφώνου ιβ' ἦχος πλ. δ'.

Τάδε λέγει Κύριος τοῖς Ἰουδαίοις·
Ὦ λαός μου, | τί ἐποίησά σοι, | ἢ τί σοι παρηνώχλησα;
τοὺς τυφλούς σου ἐφώτισα, | τοὺς λεπροὺς ἐκαθάρισα·
ἄνδρα ὄντα ἐπὶ κλίνης ἀνωρθωσάμην·
λαός μου, | τί ἐποίησά σοι | καὶ τί μοι ἀνταπέδωκας;
ἀντὶ | τοῦ μάννα χολήν, | ἀντὶ | τοῦ ὕδατος | ὄξος,
ἀντὶ τοῦ ἀγαπᾶν με | σταυρῷ με προσηλώσατε·
οὐκέτι στέγω λοιπόν· | καλέσω μου τὰ ἔθνη
κἀκεῖνα με δοξάσει | σὺν τῷ πατρὶ καὶ πνεύματι,
κἀγὼ αὐτοῖς δωρήσομαι | ζωὴν τὴν αἰώνιον.

9 ἐκδ. «οὔτε».—10 ἐκδ. «οὔτε»—21 βεβαια.—22 πρόστηθή μι.—27 ἐκδ. «τους λεπρούς σου ἐκάθηρα».—28 ὄντα | ἀνορθωσάμην.—33 δοξάζουσι.—34 δωρήσωμαι.

Ἦχος πλάγιος δ'. Στίχ. «Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου ὁ Θεός». Στίχ. «Ῥῦσαί με ἐκ τῶν ἐργαζομένων».

Σήμερον | τοῦ ναοῦ τὸ καταπέτασμα
εἰς ἔλεγχον ῥήγνυται | τῶν παρανόμων
καὶ τὰς ἰδίας ἀκτῖνας ὁ ἥλιος | κρύπτει,
δεσπότην ὁρῶν σταυρούμενον.

Ἦχος πλάγιος δ'. Στίχ. «Ἐξεγέρθητι εἰς συνάντησίν μου». Στίχ. «Ἐπιστρέψουσιν εἰς εσπέραν».

Οἱ νομοθέται τοῦ Ἰσραήλ, | Ἰουδαῖοι καὶ Φαρισαῖοι,
ὁ χορὸς τῶν αποστόλων βοᾷ πρὸς ὑμᾶς·
"Ἴδε ναός, | ὃν ὑμεῖς ἐλύσατε·
ἴδε ἀμνός, | ὃν ὑμεῖς ἐσταυρώσατε·
τάφῳ παρεδώκατε, | ἀλλ' ἐξουσία εαυτοῦ ἀνέστη·
μὴ πλανᾶσθε, Ἰουδαῖοι· | αὐτὸς γάρ ἐστιν
ὁ ἐν θαλάσσῃ σώσας | καὶ ἐν ἐρήμῳ θρέψας·
αὐτός ἐστιν ἡ ζωὴ καὶ τὸ φῶς | καὶ ἡ εἰρήνη τοῦ κόσμου".

Στίχ. «Καὶ σύ, Κύριε, ἐκγελάσῃ αὐτούς». Δόξα. Ἦχος πλ. δ'. Θεοτοκίον.

Χαῖρε πόλη τοῦ βασιλέως τῆς δόξης,
ἣν ὁ ὕψιστος μόνος διώδευσεν
καὶ μένειν ἐσφραγισμένην εὐδόκησεν
εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν καὶ ἀεί: (Θεοτοκίον).

Τὸν Ἐμμανουήλ, | ἀμνὸν Θεοῦ καὶ Λόγον,
βλέπουσα σαρκὶ | κρεμάμενον ἐν ξύλῳ
ἀμνὰς ἡ μόνη ἀμίαντος καὶ παρθένος
λύπῃ συνείχετο δακρύουσα.

Εὐθὺς κάθισμα· Ἦχος πλάγιος δ'.

Ὅτε παρέστης τῷ Καϊάφα ὁ Θεὸς
καὶ παρεδόθης τῷ Πιλάτῳ ὁ κριτής,
αἱ οὐράνιαι δυνάμεις | ἐκ τοῦ φόβου ἐσαλεύθησαν·

5 ἰδίας ακτίνας.—12 ἴδε αμνός.—13 ἑαυτῶ.—15 ἐνερήμω.—21 μένειν] ἐκδ. «πάλιν» || εὐδόκησεν] ἐκδ. «κατέλιπεν».—24 αμνόν.—26 ἀμνάς.—27 συνήχετω.—30 παρεδώθης τῶ πηλάτω.

ὅτε δὲ καὶ ὑψώθης ἐπὶ τοῦ ξύλου | ἐν μέσῳ δύο λῃστῶν,
καὶ ἐλογίσθης μετὰ ἀνόμων | ὁ ἀναμάρτητος,
διὰ τὸ σῶσαι τὸν ἄνθρωπον, | ἀνεξίκακε Κύριε.

Δόξα τὸ αὐτό. Ὁ διάκονος· «Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι». Εὐθὺς εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον (κζ', 3—32)· «Τῷ καιρῷ ἐκείνῳ ἰδὼν Ἰούδας ὅτι κατεκρίθη, μεταμεληθεὶς» κτλ. Τέλος· «ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ». Εὐθὺς ἐρχόμεθα εἰς τὸ Λιθόστρωτον, εἰς τὴν ἁγίαν Σοφίαν, λιτ(ανεύοντες καὶ) ψάλλοντες «Ἀντὶ τοῦ ἀγαπᾶν με, ἐνδιέβαλόν με· ἐγὼ δὲ προσηυχόμην. Κύριε, Κύριε, μὴ ἐγκαταλίπῃς με». Στίχ. «Ὁ Θεός, παράνομοι ἐπανέστησαν ἐπ' ἐμέ, καὶ κραταιοὶ ἐζήτησαν τὴν ψυχήν μου». Δόξα...καὶ νῦν. Ἦχος πλάγιος α'.

Ἀρχιερεῖς καὶ γραμματεῖς, | τί με διώκετε;
ἄπαξ δεῖ με παθεῖν | καὶ νικῆσαι τὸν ἐχθρόν,
ἵνα δείξω τοῖς λαοῖς | τὴν ἐκ νεκρῶν μου ἀνάστασιν.

Στίχ. «Ἐλάλησαν κατ' ἐμοῦ γλῶσσ»:

Ἀντιφώνου ιγ' ἦχος β'.

Τὸ ἄθροισμα τῶν Ἰουδαίων
τῷ Πιλάτῳ ᾐτήσαντο
σταυρωθῆναί σε, Κύριε·
αἰτίαν γὰρ ἐν σοὶ μὴ εὑρόντες
τὸν ὑπεύθυνον Βαραββᾶν ἠλευθέρωσαν
καὶ σὲ τὸν δίκαιον κατεδίκασαν,
μιαιφονίας ἔγκλημα κληρωσάμενοι·
ἀλλὰ δὸς αὐτοῖς, Κύριε, | κατὰ τὰ ἔργα αὐτῶν,
ὅτι κενὰ κατὰ σοῦ ἐμελέτησαν.

Ἦχος πλάγιος β'. Στίχ. «Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου». Στίχ. «Ὅτι κατεδίωξεν ὁ ἐχθρός».

Ὃν πάντα φρίσσει καὶ τρέμει | καὶ πᾶσα γλῶσσα
ὑμνεῖ Χριστόν, Θεοῦ δύναμιν | καὶ Θεοῦ σοφίαν,
οἱ ἱερεῖς ἐρράπισαν | καὶ ἔδωκαν αὐτῷ χολήν

6 μεταμεληθῆς.- 13 διώκεται.—19 πηλάτω.—22 βαραμβᾶν.—25 κατὰ τὰ ἔργα] ἐκδ. «κατὰ τὸ ἀνταπόδομα».

καὶ πάντα παθεῖν κατεδέξατο,
σῶσαι θέλων ἡμᾶς | ἐκ τῶν ἀνομιῶν ἡμῶν
τῷ οἰκείῳ αἵματι, | ὡς φιλάνθρωπος

Στίχ. «Καὶ ἠχηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου». Δόξα. Πλάγιος β'.

Παρεστῶσα | τῷ σταυρῷ καὶ καθορῶσα
ἑκουσίως | τὸν σὸν υἱὸν πάσχοντα,
παρθενομῆτορ, | τοῦτον ἐμεγάλυνας.

Καὶ νῦν καὶ ἀεί:

Τῶν ἐν θλίψει | καὶ δεινῇ στενοχωρίᾳ
κακουμένων | ὑπάρχεις ἀντίληψις
καὶ σωτηρία | καὶ σκέπη, πανάμωμε.

Ἀντιφώνου ιθ' ἦχος πλάγιος δ'.

Κύριε ὁ τὸν λῃστὴν συνοδοιπόρον λαβὼν
τὸν ἐν αἵμασι χεῖρας μολύναντα,
καὶ ἡμᾶς σὺν αὐτῷ καταρίθμησον,
ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Ἦχος πλάγιος δ'. Στίχ. «Ὁ Κύριος ἐβασίλευσεν· ὀργιζέσθωσαν». Στίχ. «Ἐξομολογησάσθωσαν τῷ ὀνόματι».

Μικρὰν φωνὴν ἀφῆκεν | ὁ λῃστὴς ἐν τῷ σταυρῷ·
μεγάλην πίστιν εὗρε, | μιᾷ ῥοπῇ ἐσώθη,
καὶ πρῶτος παραδείσου πύλας ἀνοίξας | εἰσῆλθεν·
ὁ αὐτοῦ τὴν μετάνοιαν | προσδεξάμενος, | Κύριε, δόξα σοι.

Ἦχος πλάγιος δ'. Στίχ. «Σὺ ἡτοίμασας εὐθύτητας». Στίχ. «Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν».

Ἡ πολυύμνητος ἀμνὰς τὸν ἄρνα θεασαμένη
πρὸς ἑκούσιον ἐρχόμενον πάθος
καὶ σταυρούμενον σαρκί | ἠλάλαξεν δακρύουσα
καὶ τὴν μακροθυμίαν | ὕμνει τὴν τούτου δοξάζουσα.

Δόξα πατρὶ καὶ υἱῷ κτλ. (Θεοτοκίον).

4 ἠχιδίασεν επεμέ. — 10 δεινὴ στενωχορία. — 12 σκέπει. — 15 λαβῶν. — 28 ἁμνὰς || ἄρνα.

*

Ἐκ παρθενικῆς | ἀνέτειλεν γαστρός σου
ὁ δημιουργὸς ἡλίου καὶ σελήνης,
ὃν καθορῶσα σταυρούμενον, Θεοτόκε,
πᾶσα ἡ κτίσις ἐκυμαίνετο.

Καὶ νῦν καὶ ἀεὶ κτλ.

Χαῖρε ἡ δι' ἀγγέλου | τὴν χαρὰν τοῦ κόσμου δεξαμένη·
χαῖρε ἡ τεκοῦσα | τὸν ποιητὴν καὶ κύριον·
χαῖρε ἡ ἀξιωθεῖσα | γενέσθαι μήτηρ Θεοῦ.

Ἀντιφώνου ιε'. Ἦχος πλάγιος β'.

Σήμερον | κρεμᾶται ἐπὶ ξύλου
ὁ ἐν ὕδασι τὴν γῆν κρεμάσας·
στέφανον ἐξ ἀκανθῶν | περιτίθεται
ὁ τῶν ἀγγέλων βασιλεύς·
ψευδῆ πορφύραν | περιβάλλεται
ὁ περιβάλλων | τὸν οὐρανὸν ἐν νεφέλαις·
ῥάπισμα κατεδέξατο
ὁ ἐν Ἰορδάνῃ ἐλευθερώσας τὸν Ἀδάμ·
ἥλοις προσηλώθη | ὁ νυμφίος τῆς ἐκκλησίας·
λόγχῃ ἐκεντήθη | ὁ υἱὸς τῆς παρθένου·
προσκυνοῦμέν του τὰ πάθη, Χριστέ·
δεῖξον ἡμῖν | καὶ τὴν ἔνδοξόν σου ἀνάστασιν.

Στίχ. «Ὁ Θεός μου ὁ Θεός μου, πρόσχες μοι· ἵνα τί ἐ»: Στίχ. «Πάντες οἱ θεωροῦντές με ἐξεμυκτήρισάν με». Ἦχος πλάγιος β'.

Μὴ ὡς Ἰουδαῖοι ἑορτάσωμεν·
καὶ γὰρ τὸ πάσχα ἡμῶν
ὑπὲρ ἡμῶν ἐτύθη Χριστὸς ὁ Θεός·
ἀλλ' ἐκαθάρωμεν ἑαυτοὺς
ἀπὸ παντὸς μολυσμοῦ
καὶ εἰλικρινῶς δεηθῶμεν αὐτῷ·
ἀνάστα, Κύριε· | σῶσον ἡμᾶς ὡς φιλάνθρωπος.

Ἦχος πλάγιος β'. Στίχ. «Ὅτι ἐκύκλωσάν με κύνες πολλοί». Στίχ. «Ὤρυξαν χεῖρα».

4 ἐκυμένετω.—19 ἐκεντίθη.—29 εἰλικρινῶς.

Ὁ σταυρός σου, Κύριε, | ζωὴ καὶ ἀντίληψις
ὑπάρχει τῷ λαῷ σου | καὶ ἐπ' αὐτῷ
πεποιθότες | σὲ τὸν σταυρωθέντα
Θεὸν ἡμῶν ὑμνοῦμεν· | ἐλέησον ἡμᾶς.

Στίχ. «Αὐτοὶ δὲ κατενόησαν καὶ ἐπεῖδόν με». Δόξα. Θεοτοκίον.

Φῶς τεκοῦσα | ἁμαρτίαις σκοτισθέντα
φώτισόν με, | παρθένε πανάμωμε,
ἵνα ὑμνῶ σε, | ἁγνὴ θεονύμφευτε.

Καὶ νῦν καὶ ἀεὶ κτλ. (Θεοτοκίον).

Τὴν ὑπερένδοξον | τοῦ Χριστοῦ μητέρα
καὶ τῶν ἀγγέλων ἁγιωτέραν
ἀσιγήτως ὑμνήσωμεν | καρδίᾳ καὶ στόματι,
Θεοτόκον αὐτὴν ὁμολογοῦντες,
ὡς κυρίως γεννήσασαν | Θεὸν σεσαρκωμένον
καὶ πρεσβεύουσαν ἀπαύστως | ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Κάθισμα· ἦχος δ'.

Ἐξηγόρασας ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου
τῷ τιμίῳ σου αἵματι·
τῷ σταυρῷ προσηλωθείς | καὶ τῇ λόγχῃ κεντηθείς,
τὴν ἀθανασίαν ἐπήγασας ἀνθρώποις·
Σωτὴρ ἡμῶν, δόξα σοι.

Ὁ διάκονος· «Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι». Εὐαγγέλιον ς' ἐκ τοῦ κατὰ Μᾶρκον (ιδ', 53—ιε', 32)· «Τῷ καιρῷ ἐκείνῳ οἱ στρατιῶται κρατήσαντες τὸν Ἰησοῦν». Τέλος· «ἵνα ἴδωμεν καὶ πιστεύσωμεν εἰς αὐτόν».

Εὐθὺς ποιοῦμεν λιτὴν ἐπὶ τὸν Ὀμφαλόν, μέσον τοῦ Ἁγίου Κήπου, ψάλλοντες στιχηρὸν ἦχου πλαγίου α'· «Δυνατὸς σύ, Κύριε, καὶ ἡ ἀλήθεια κύκλῳ σου». Στίχ. «Τὰ ἐλέη σου, Κύριε»: Δόξα. «Δυνατὸς σύ, Κύριε»: Εὐθὺς οἱ μακαρισμοί· ἦχος δ'· «Διὰ ξύλου»:

Τὸν τοῦ νόμου ποιητὴν | ἐκ μαθητοῦ ὠνήσαντο ἄνομοι
καὶ ὡς παράνομον αὐτὸν | τῷ Πιλάτου βήματι ἔστησαν

1 ἀντίληψις] ἐκδ. ρωμ. «ἀνάληψις». — 20 ἐπήγασας — 26 ὀμφαλῶν. — 27 σὺ] σοι. — 29 σὺ] σοι. — 32 πιλάτου.

κραυγάζοντες "σταύρωσον | τὸν ἐν ἐρήμῳ τούτοις μανναδοτήσαντα"·
ἡμεῖς δὲ τὸν δίκαιον | λῃστὴν μιμησώμεθα·
πίστει κράζωμεν | "μνήσθητι καὶ ἡμῶν | ἐν τῇ βασιλείᾳ σου".

Στίχ. «Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι».

Τῶν θεοκτόνων ὁ ἀσμὸς, | Ἰουδαίων ἔθνος τὸ ἄνομον,
πρὸς Πιλᾶτον ἐμμανῶς | ἀνακράζων ἔλεγεν "σταύρωσον
Χριστὸν" τὸν ἀναίτιον· | Βαραββᾶν δὲ μᾶλλον οὗτοι ἠτήσαντο·
ἡμεῖς δὲ φθεγξώμεθα | λῃστοῦ τοῦ εὐγνώμονος
τὴν φωνὴν πρὸς αὐτόν· | "μνήσθητι καὶ ἡμῶν | ἐν τῇ βασιλείᾳ σου".

Στίχ. «Μακάριοι οἱ πενθοῦντες, ὅτι»:

Ἡ ζωηφόρος σου πλευρὰ | ὡς ἐξ Ἐδὲμ πηγὴ ἀναβλύζουσα
τὴν ἐκκλησίαν σου, Χριστέ, | ὡς λογικὸν ποτίζει παράδεισον,
ἐντεῦθεν μερίζουσα | εἰς ἀρχάς, εἰς τέσσαρα εὐαγγέλια,
τὸν κόσμον ἀρδεύουσα, | τὴν κτίσιν φαιδρύνουσα
καὶ τὰ ἔθνη πιστῶς | διδάσκουσα προσκυνεῖν | τὴν βασιλείαν σου.

Στίχ. «Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσιν».

Σταυρουμένου σου, Χριστέ, | πᾶσα ἡ κτίσις βλέπουσα ἔτρεμε,
τὰ θεμέλια τῆς γῆς | διεδονεῖτο φόβῳ τοῦ κράτους σου,
φωστῆρες ἐκρύπτοντο | καὶ τοῦ ναοῦ ἐρράγη τὸ καταπέτασμα,
τὰ ὄρη ἐτρόμαξαν, | αἱ πέτραι ἐσχίσθησαν,
ὁ λῃστὴς ὁ πιστὸς | κράζει σοι σὺν ἡμῖν, | Σωτήρ, τὸ μνήσθητι.

Στιχ. «Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην».

Τὸν σταυρὸν τὸν τοῦ Χριστοῦ | ἐν διανοίᾳ πάντες κατέχοντες,
τὰς τοῦ βίου ἡδονὰς | ἀπονεκρῶσαι πάντες σπουδάσωμεν,
ναὸν τὰς ψυχὰς ἡμῶν | τοῦ ἁγίου πνεύματος καταρτίζοντες,
φωνὴν ἀναμέλποντες | λῃστοῦ τοῦ εὐγνώμονος
οἱ πιστοὶ πρὸς αὐτόν· | "μνήσθητι καὶ ἡμῶν | ἐν τῇ βασιλείᾳ σου".

1 ἐκδ. «τούτους» || μάννα δοτήσαντα. — 2 ἐκδ. «μιμησάμενοι». — 3 κράζομεν. — 5 ὁεσμός — 6 πιλάτον || ἀνακράζον. — 7 κῶδ. «ἀναίτιον»· ἐκδ. «ἀνεύθυνον» || βαραββᾶν. — 8 κῶδ. «φθεγξόμεθα»· ἐκδ. «φθεγγώμεθα». — 11 Η ζωηφόρωσου πλευρὰ· ὡς ἐξεδὲμ. — 13 κῶδ. «εἰς ἀρχὰς εἰς τέσσαραν· ἐκδ. «ὡς ἐξ ἀρχῆς, εἰς τέσσαρα». — 14 ἀρδεύουσα || κῶδ. «φαιδρύνουσα»· ἐκδ. «εὐφραίνουσα». — 18 δι' ἐδονεῖτο || κρατουσου. — 20 ἐκδ. «ἐτρόμασαν καὶ πέτραι». — 21 σοι] ἐλλείπει τῇ ἐκδόσει. — 22 πινοῦντες || διψουντ(ες). — 24 ἡδονὰς. — 25 ψυχᾶς.

Στίχ. «Μακάριοι οἱ ἐλεήμονες».

Ἐσταυρώθης δι' ἐμέ, | ἵνα ἐμοὶ πηγάσῃς ἀπάθειαν·
ἐκεντήθης τὴν πλευράν, | ἵνα κρουνοὺς ζωῆς ἀναβλύσῃς μοι·
ταῖς ἥλοις προσήλωσαι, | ἵνα ἐγὼ τῷ πάθει τῶν παθημάτων σου
τὸ ὕψος τοῦ κράτους σου | πιστούμενος κράζω σοι,
" ζωοδότα Χριστέ, | δόξα καὶ τῷ σταυρῷ καὶ τῷ πάθει σου ".

Στίχ. «Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ».

Προσηλώθης τῷ σταυρῷ διὰ πολλήν, Χριστέ, ἀγαθότητα·
ἐκεντήθης τὴν πλευράν, | δύο κρουνοὺς πηγάζων ἀφέσεως·
ἡ γῆ δὲ μὴ φέρουσα | καθορᾶν τὸ τόλμημα ἐκυμαίνετο·
αἱ πέτραι ἐρήγνυντο, | ἐσβέννυτο ὁ ἥλιος,
ἐσαλεύετο τὰ ὄρη καὶ οἱ βουνοί· | δόξα τῷ κράτει σου.

Στίχ. «Μακάριοι οἱ εἰρηνοποιοί».

Καθορῶσαί σε σταυρῷ | τεταμένον, μόνε μακρόθυμε,
αἱ δυνάμεις οὐρανῶν | ἀποροῦσαι τρόμῳ ἐξίσταντο,
ἡ γῆ ἐκυμαίνετο, | τῶν φωστήρων κάλλος ἐναπεσβέννυτο·
Ἀδὰμ ὁ κατάκριτος | ἀδίκως, φιλάνθρωπε,
κρινομένου σου | ἐδικαιοῦτο ὑμνῶν τὴν εὐσπλαγχνίαν σου.

Στίχ. «Μακάριοι οἱ δεδιωγμένοι».

Ἐν Κρανίῳ ὑψωθείς | τοῦ ἐχθροῦ τὴν κάραν συνέτριψας,
ἐπὶ ξύλου δὲ θανὼν | τοὺς καρποὺς τοῦ ξύλου τεθνήξαντας
ἐζώωσας, δέσποτα, | καὶ τοῦ παραδείσου πολίτας ἔδειξας,
ἀπαύστως δοξάζοντας | τὴν σὴν ἀγαθότητα
καὶ κράζοντας | " μνήσθητι καὶ ἡμῶν ἐν τῇ βασιλείᾳ σου ".

Στίχ. «Μακάριοι ἐστέ, ὅταν».

Τῇ σταθείσῃ ἀκρατῶς | πρὸς τὸ ξύλον πάλαι τῆς γνώσεως
τοῦ πρωτοπάτορος χειρὸς | ἀνορθῶν, Χριστέ, τὸ ὀλίσθημα
ἐτάνθης θελήματι | καὶ τὰς σὰς ἡλώθης χεῖρας, μακρόθυμε,
ὁ πλάσας τὸν ἄνθρωπον | χειρὶ δι' ἄμετρον | ἀγαθότητα·
" δόξα τῇ ὑπὲρ νοῦν εὐσπλαγχνία σου ".

2 διερὲ || κῶδ. «απάθειαν»· ἐκδ. «τὴν ἄφεσιν». — 3 ἐκεντίθης τὴν πλευρᾶν || κρονους.—4 κῶδ. «πάθει»· ἐκδ. «βάθει».—5 κράτουσου πιστουμενος.—6 μετὰ τὸ «σταυρῶ» ἡ ἐκδ. ἔχει «σῶτερ». —8 διαπολλήν.—9 ἐκεντίθης τὴν πλευρᾶν || ἀφέσεεως.—10 γῆ || ἐκυμένετο. — 11 ἐρίγνυντο. — 14 καθορώσα. — 15 ουρανόν. — 16 ἐκυμένετο || κἄλλος.— 20 υὑωθεὶς.—21 θανῶν.—22 ἐζώοσας. 25 ὅταν.—26 σταθήσης.—27 προτοπάτορος.— 28 χείρας. — 29 διἄμετρον.

Στίχ. «Χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν».

Τὸ χειρόγραφον ἡμῶν | ἐν τῷ σταυρῷ καὶ λόγχῃ διέρρηξας,
καὶ λογισθεὶς ἐν τοῖς νεκροῖς | τὸν ἐκεῖσε τύραννον ἔθησας,
ῥυσάμενος ἅπαντας | ἐκ δεσμῶν Θανάτου τῇ ἀναστάσει σου,
δι' ἧς εφωτίσθημεν, | φιλάνθρωπε Κύριε,
καὶ βοῶμεν σοι | " μνήσθητι καὶ ἡμῶν ἐν τῇ βασιλείᾳ σου ".

Δόξα. Τριῳδικόν.

Τὸν πατέρα καὶ υἱὸν | καὶ τὸ πνεῦμα πάντες τὸ ἅγιον
ὁμοφρόνως οἱ πιστοὶ | δοξολογεῖν ἀξίως εὐξώμεθα,
μονάδα θεότητος | ἐν τρισὶν ὑπάρχουσαν ὑποστάσεσιν,
ἀσύγχυτον μένουσαν, | ἁπλῆν ἀδιαίρετον | καὶ ἀπρόσιτον,
δι' ἧς λυτρούμεθα τοῦ πυρὸς τῆς κολάσεως.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς: Θεοτοκίον.

Ἀναρτούμενον σταυρῷ | ἑκουσίως βλέπουσα, ἄχραντε,
τὸν υἱόν σου καὶ Θεόν, | ἐκπληττομένη κλαίουσα ἔλεγες·
" πῶς ἔδυ τὸ κάλλος σου | τοῦ τὰ πάντα, Κύριε, καλλωπίσαντος;
τί ταῦτα ἀχάριστος ἀπέδωκεν δῆμός σοι
ἀντὶ τῶν ἀγαθῶν; | ὑμνῶ σου τὴν ὑπὲρ νοῦν ἀγαθότητα ".

Εὐθὺς κοντάκιον εἰς τὸ Μέσον τῆς Γῆς· ἦχος πλάγιος δ'· ἰδιόμελον τὸ σύνθ(ε)τ(ον).

Ὁ ποιμὴν ὁ καλὸς | ὁ τὴν ψυχὴν αὐτοῦ θήσας ὑπὲρ τῶν προβάτων,
σπεῦσον σῶσον, | ἅγιε, τὴν ποίμνην σου.

Ὁ οἶκος.

Τὸν νοῦν ἀνυψώσωμεν, | τὴν φρένα ὑφάψωμεν
τὸ πνεῦμα μὴ σβέσωμεν, | τὴν ψυχὴν διαναστῶμεν
καὶ σπουδάσωμεν σχεδὸν | συμπαθεῖν τῷ ἀπαθεῖ·
ἀσήσωμεν πάντα λογισμὸν πολυμέριμνον
καὶ προσηλωθῶμεν τῷ ἐν τῷ σταυρῷ·
μολῶμεν πάντες, | εἰ δοκεῖ, ὥσπερ ὁ Πέτρος
εἰς τὴν τοῦ Καϊάφα αὐλήν·
σὺν αὐτῷ βοήσωμεν Χριστῷ | τὰς τοῦ Πέτρου πάλαι φωνάς·

2 «καὶ λόγχῃ» ἐλλείπει ταῖς ἐκδόσεσι || διέρριξας || μετὰ τὸ «διέρρηξας» ἔχουσιν αἱ ἐκδόσεις «Κύριε». — 3 ἐκεῖσαι.—5 «φιλάνθρωπε κύριε» οὕτως ὁ κῶδιξ, αἱ δὲ ἐκδ. «Χριστὲ ὁ Θεὸς ἡμῶν». — 16 καλλωπήσαντος. — 27 ἀφείσωμεν. — 31 φωνᾶς.

"κἂν ἐν ξύλῳ ἀνέρχῃ, | κἂν ἐν τάφῳ κατέρχῃ,
μετὰ σοῦ ἔσομαι καὶ ὑνήσκομαι καὶ ψάλλω σοι
α α
Ν Ν σπεῦσον, σῶσον, | ἅγιε, τὴν ποίμνην σου".

Καὶ ὁ διάκονος· «Ὑπὲρ τοῦ καταξιωθῆναι». Εὐαγγέλιον ζ' ἐκ τοῦ κατὰ Ματθαῖον (κζ', 33—54)· «Τῷ καιρῷ ἐκείνῳ ἐλθόντες οἱ στρατιῶται εἰς τόπον λεγόμενον Γολγοθᾶν». Τέλος· «ἀληθῶς Θεοῦ υἱὸς ἦν οὗτος». Εὐθὺς λιτὴ ἔμπροσθεν τοῦ Ἁγίου Κρανίου ἔξω· καὶ τὸ τριῴδιον ψάλλομεν αὐτόθι· καὶ ψάλλομεν εἰς τὴν λιτὴν στιχηρόν· πλάγιος δ'.

Ὁ ἐν Ἐδὲμ παράδεισος ποτὲ | τὸ ξύλον τῆς βρώσεως
ἀνεβλάστησεν ἐν μέσῳ τῶν φυτῶν·
ἡ ἐκκλησία σου, Χριστέ, | τὸν σταυρόν σου ἐξήνθησεν
τὸν πηγάσαντα τῷ κόσμῳ τὴν ζωήν·
ἀλλὰ τὸ μὲν ἐθανάτωσεν | βρῶσιν φαγόντα τὸν Ἀδάμ,
ὁ δὲ ἐζωοποίησε | πίστει σωθέντα τὸν λῃστήν,
οὗ τῆς ἀφέσεως | κοινωνοὺς ἡμᾶς ἀνάδειξον,
Χριστὲ ὁ Θεὸς | ὁ τῷ πάθει σου λύσας
τὴν καθ' ἡμῶν μανίαν τοῦ ἐχθροῦ,
καὶ ἀξίωσον ἡμᾶς τῆς βασιλείας σου, Κύριε.

Δόξα.... καὶ νῦν. Πλάγιος δ'.

Τὸν ἄρνα πάλαι ἡ ἀμνὰς | ἐν σταυρῷ καθορῶσα κρεμάμενον
καὶ σκοτιζόμενον | ἡλίου φέγγος | κλαίουσα ἔλεγεν·
"Ἥλιε δόξης, υἱέ, | ἔδυς θανατούμενος,
ἀλλὰ ἀνάτειλον | τῆς ἐγέρσεως τὸ φῶς, ὡς φιλάνθρωπος.

Εὐθὺς προκείμενον· ἦχος δ'· «Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς καὶ ἐπὶ»: Στίχ. «Ὁ Θεὸς ὁ Θεός μου, πρόσχες μοι· ἵνα τί ἐγκατέλιπες με»; Καὶ τὸ «Πᾶσα πνοή». Εὐαγγέλιον η' κατὰ Λουκᾶν (κγ', 32—49)· «Τῷ καιρῷ ἐκείνῳ ἤγοντο σὺν τῷ Ἰησοῦ καὶ ἕτεροι δύο κακοῦργοι». Τέλος· «ἀπὸ τῆς Γαλιλαίας ὁρῶσαι ταῦτα». Εὐθὺς τὸ «Ἐλέησόν με ὁ Θεός», καὶ μετὰ τὸ «Ἐλέησον ὁ Θεὸς» Δόξα. Ἦχος γ'.

2 μετασοῦ || ψάλω. — 8 αὐτωθ(ι). — 12 ἐκκλησίασσου. — 14 βρῶσι. — 21 ἀμνὰς. — 22 κλέουσα. — 29 γαλιλαῖας.

Χριστὲ ὁ Θεὸς ἡμῶν | ὁ τὴν ἑκούσιον σταύρωσιν
εἰς κοινὴν ἐξανάστασιν | τοῦ γένους τῶν ἀνθρώπων
καταδεξάμενος | καὶ τῷ καλάμῳ τοῦ σταυροῦ
βαφαῖς ἐρυθραῖς τοὺς ἑαυτοῦ δακτύλους
αἱματώσας, τοῖς ἀφεσίμοις ἡμῖν
βασιλικῶς ὑπογράψαι | φιλανθρωπευσάμενος,
μὴ παρίδῃς ἡμᾶς κινδυνεύοντας
καὶ πάλιν τὴν ἀπὸ σοῦ διάστασιν·
ἀλλ' οἰκτείρησον, | μόνε μακρόθυμε,
τὸν ἐν περιστάσει λαόν σου | καὶ ἀνάστηθι
πολέμησον τοὺς πολεμοῦντας ἡμᾶς, | ὡς φιλάνθρωπος.

Καὶ ὁ διάκονος· «Σῶσον ὁ Θεὸς τὸν λαόν σου». Τὸ τριῴδιον φέρον ἀκροστιχίδα τήνδε· «Προσάββατόν τε».

Ὠδὴ ε'· ἦχος πλ. β'.

Πρὸς σὲ ὀρθρίζω | τὸν δι' εὐσπλαγχνίαν
ἑαυτὸν τῷ πεσόντι | κενώσαντα ἀτρέπτως
καὶ μέχρι παθῶν | ἀπαθῶς | ὑποκύψαντα, Λόγε Θεοῦ·
τὴν εἰρήνην | παράσχου μοι, φιλάνθρωπε·

Ῥυφθέντες πόδας | καὶ προκαθαρθέντες
μυστηρίου μεθέξει | τοῦ θείου νοῦ Χριστέ σου,
οἱ ὑπηρέται | ἐκ Σιὼν | Ἐλαιῶνος μέγα πρὸς ὄρος
συνανῆλθον | ὑμνοῦντές σε, φιλάνθρωπε.

Ὁρᾶτε, ἔφης, | φίλοι, μὴ θροεῖσθε·
νῦν γὰρ ἤγγικεν ὥρα | ληφθῆναί με, κτανθῆναι
χερσὶν ἀνόμων, | πάντες δὲ | σκορπισθήσεσθε ἐμὲ λιπόντες,
οὓς συνάξω | κηρῦξαί με φιλάνθρωπον.

Εὐθὺς τὸ κοντάκιον· ἦχος πλ. δ'.

Τὸν δι' ἡμᾶς σταυρωθέντα | δεῦτε πάντες ὑμνήσωμεν·
αὐτὸν γὰρ κατεῖδεν | Μαρία ἐπὶ ξύλου καὶ ἔλεγεν·
"εἰ καὶ σταυρὸν ὑπομένεις, | Κύριος ὑπάρχεις καὶ Θεός μου".

6 ὑπογράψαι. — 11 πολεμησον. — 13 τῆδε. — 16 ἐκδ. Νικοδήμου καὶ Βαρθολομαίου «σεαυτὸν» || κῶδ. «καινώσαντι». Νικόδ. καὶ Βαρθ. «κενώσαντα». Cod. V ἐνώσαντι. — 20 κῶδ. «νοῦ χε σου». Νικόδ. καὶ Βαρθ. «νῦν, Χριστέ, σοῦ οἱ ὑπηρέται». A «νοῦν». — 24 «ἡ ὥρα» Christ, ἐκ παραδρομῆς ἴσως. 24 λειφθῆναι. — 25 σκορπισθήσεσθε. — 26 κηρύξαι. — 29 καθίδεν. — 30 ἐκδ. «σὺ ὑπάρχεις ὁ υἱὸς καὶ θεός μου».

Ὁ οἶκος.

Τὸν ἴδιον ἄρνα | ἡ ἀμνὰς θεωροῦσα
πρὸς σφαγὴν ἑλκόμενον, | ἠκολούθει Μαρία
τρυχομένη μεθ' ἑτέρων γυναικῶν,
ταῦτα βοῶσα· | " ποῦ πορεύει, τέκνον;
τίνος χάριν | τὸν ταχὺν δρόμον τελεῖς;
μὴ ἕτερος γάμος | πάλιν ἐστὶν ἐν Κανᾶ
κἀκεῖ νῦν σπεύδεις, | ἵν' ἐξ ὕδατος αὐτοῖς
οἶνον ποιήσῃς; | συνέλθω σοι, τέκνον,
ἢ μείνω σοι μᾶλλον; | δός μοι λόγον, λόγε·
μὴ σιγῶν παρέλθῃς με | ὁ ἀγνὴν τηρήσας με ".

Καὶ ἀνά(γνωσις) πε(ρὶ) τῆς σταυρώσεως.

Ὠδὴ ἡ'.

Στήλην κακίας | ἀντιθέου παῖδες
θεῖοι παρεδειγμάτισαν,
κατὰ Χριστοῦ δὲ φρυαττόμενον
ἀνόμων συνέδριον | βουλεύεται κενά·
κτεῖναι μελετᾷ | τὸν ζωῆς κρατοῦντα παλάμῃ,
ὃν πᾶσα κτίσις εὐλογεῖ | δοξάζουσα εἰς τοὺς αἰῶνας.

" Ἀπὸ βλεφάρων " | μαθηταῖς " νῦν ὕπνον "
ἔφης, Χριστέ, " τινάξατε·
ἐν προσευχῇ δὲ γρηγορεῖτε
πειρασμῷ μήπως ὀλοισθε | καὶ μάλιστα Σίμων·
τῷ κραταιῷ γὰρ | μείζων πειρα· γνῶθί με, Πέτρε,
ὃν πᾶσα κτίσις | εὐλογεῖ δοξάζουσα εἰς τοὺς αἰῶνας ".

" Βέβηλον ἔπος | τῶν χειλέων οὔποτε
προήσομαι, δέσποτα·
σὺν σοὶ θανοῦμαι | ὡς εὐγνώμων,
κἂν οἱ πάντες ἀρνήσωνται " | ἐβόησε Πέτρος·

2 ἴδιον || ἀμνάς. - 3 ἑλκώμενον· ἠκολούθη.—4 τρυχωμένη μεθετέρων.—6 ταχὺ.— 9 ποιήσεις || συνεισέλθω. — 10 σε. — 11 σιγὼν || μετὰ τὸ τηρήσας αἱ ἑκδ. ἔχουσι· «σὺ γὰρ ὑπάρχεις ὁ υἱὸς καὶ θεός μου» — 12 «τὴν σταύρωσιν»· οὕτως ἔχει ὁ κῶδιξ· Μάξιμος δὲ ὁ Συμαῖος ἀνέγνω κακῶς οὕτως· «καὶ ἀναβαίνομεν εἰς τὴν Σταύρωσιν». — 15 παρεδειγμάτησαν. — 17 ἀνόμων || κενᾶ. — 20 αι ἑκδ. «μαθηταῖς». — 21 τεινάξατε. — 22 προσευχῇ. — 23 ὄλλυσθε. — 24 γνῶθημε.—25 αἰῶνας.—26 ἔπος.—28 θανοῦμε. — 29 ἀρνήσονται.

" σὰρξ οὐδὲ αἷμα | ὁ πατήρ σου ἀπεκάλυψέν μοι σε,
ὃν πᾶσα κτίσις | εὐλογεῖ δοξάζουσα εἰς τοὺς αἰῶνας ".

" Βάθος σοφίας | θείκης καὶ γνώσεως
οὐ πάν ἐξηρεύνησας,
ἄβυσσον δέ μου τῶν κριμάτων
οὐ κατέλαβες, ἄνθρωπε ", | ὁ Κύριος ἔφη·
" σὰρξ οὖν ὑπάρχων | μὴ καυχῶ· ἀρνήσῃ τρίτον γάρ με,
ὃν πᾶσα κτίσις | εὐλογεῖ δοξάζουσα εἰς τοὺς αἰῶνας ".

" Ἀπαγορεύεις, | Σίμων Πέτρε, ὅπερ πείσῃ
τάχος, ὡς εἴρηται,
καὶ σὲ παιδίσκη | οἷα θᾶττον
προσελθοῦσα πτοήσει σε " | ὁ Κύριος ἔφη
πικρῶς δακρύσας· | " ἔξεις ὅμως εὐίλατόν με,
ὃν πᾶσα κτίσις | εὐλογεῖ δοξάζουσα εἰς τοὺς αἰῶνας ".

Ὠδὴ θ'.

Τὴν τιμιωτέραν τῶν Χερουβὶμ
καὶ ἐνδοξοτέραν | ἀσυγκρίτως τῶν Σεραφίμ,
τὴν ἀδιαφθόρως | Θεὸν Λόγον τεκοῦσαν,
τὴν ὄντως Θεοτόκον, | σὲ μεγαλύνομεν.

Ὀλέθριος σπεῖρα θεοστυγῶν,
πονηρευομένων | θεοκτόνων συναγωγὴ
ἐπέστη, Χριστέ, σοι | καὶ ὡς ἄδικον εἵλκυσεν
τὸν κτίστην τῶν ἁπάντων, | ὃν μεγαλύνομεν.

Νόμον ἀγνοοῦντες οἱ ἀσεβεῖς,
φωνὰς προφητῶν τε | μελετῶντες διὰ κενῆς,
ὡς πρόβατον εἵλκυσαν | σὲ τὸν πάντων δεσπότην
ἀδίκως σφαγιάσαι, | ὃν μεγαλύνομεν.

Τοῖς ἔθνεσιν ἔκδοτον τὴν ζωὴν
σὺν τοῖς γραμματεῦσιν | ἀναιρεῖσθαι οἱ ἱερεῖς
παρέσχον πληγέντες | αὐτοφθόνῳ κακίᾳ
τὸν φύσει ζωοδότην, | ὃν μεγαλύνομεν.

1 ἀποκάλυψεν. — 2 κτίσης. — 6 μηκαυχῶ. — 12 πτωήσῃ. — 13 εὐήλατον. — 15 ωδή. — 16 τιμιωτέρα | χερουβείμ. — 17 ἐνδοξωτέρα | σεραφείμ. — 22 ἐκδ. «εἵλκυε» κῶδ. «εἵλκυον».—23 μεγαλύνωμεν. — 25 φωνας || διακενῆς.—26 ἵλκυον.—27 σφαγιάσαι || μεγαλύνωμεν. — 30 κακίαν. — 31 μεγαλύνωμεν.

Ἐκύκλωσαν κύνες ὡσεὶ πολλοί,
ἐκρότησαν, ἄναξ, | σιαγόνα σὴν ραπισμῷ·
ἠρώτων σε, σοῦ δὲ | ψευδῆ κατεμαρτύρουν,
καὶ πάντα ὑπομείνας | ἅπαντας ἔσωσας.

Ἐξαποστειλάριον· ἦχος γ'· ἰδιόμελον.

Τὸν ληστὴν αὐθημερὸν | τοῦ παραδείσου ἠξίωσας, Κύριε·
κἀμὲ τῷ ξύλῳ τοῦ σταυροῦ σου | φώτισον καὶ σῶσόν με.

Ἄλλο πρὸς τὸ «τοῖς μαθηταῖς συνέλθωμεν».

Ὁρῶσά σε κρεμάμενον | ἐν σταυρῷ, ζωοδότα,
ἡ σὲ ἀγνῶς κυήσασα,
τετρωμένη τὰ σπλάγχνα | καὶ θρηνωδοῦσα ἐβόα·
" ὦ γλυκύτατον τέκνον, | τί σοι ἀνταπεδώκασιν
ὁ παράνομος οὗτος | λαός, οὓς πρὶν
τούτους ἐν ἐρήμῳ μανναδοτήσας;
ἀνάστα, παντοδύναμε, | υἱὲ καὶ Θεέ μου.

Ὁ διάκονος· «Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι». Εὐαγγέλιον δ' ἐκ τοῦ κατὰ Ἰωάννην (ιθ'. 25—37)· «Τῷ καιρῷ ἐκείνῳ εἱστήκεισαν παρὰ τῷ σταυρῷ τοῦ Ἰησοῦ ἡ μήτηρ αὐτοῦ». Τέλος· «ὄψονται εἰς ὃν ἐξεκέντησαν». Εὐθὺς τοὺς αἴνους.

Ἦχος δ' πρὸς τὸ «Ἐδωκας σημείωσιν».

Ὅτε σὲ σταυρούμενον | ἡ κτίσις πᾶσα ἐώρακεν,
ἠλλοιοῦτο καὶ ἔτρεμεν, | ἡ γῆ δὲ ἐσείετο
ὅλη κλονουμένη, | μακρόθυμε Λόγε,
καὶ καταπέτασμα ναοῦ | φοβῷ ἐσχίσθη ὑβριζομένου σου
καὶ πέτραι διερράγησαν | ἀπὸ τοῦ φόβου καὶ ἥλιος
τὰς ἀκτῖνας συνέστειλεν, | ποιητήν σε γινώσκοντες.

Ὅμοιον.

Πῶς ὁ ἀνομώτατος | δῆμος τολμᾷ κατακρῖναί σε
τὸν κριτὴν τὸν αἰθάνατον, | τὸν τὸν νόμον δώσαντα
ἐν ἐρήμῳ πάλαι | Μωσῇ τῷ θεόπτῃ;
πῶς ἐπὶ ξύλου τὴν ζωὴν | τὴν τῶν ἁπάντων
ὁρῶντες θνήξαντα | ἀδιῶτες οὐ τρέμουσιν,

1 πολοι. — 2 σιαγωνα. — 3 ἠρώτον || ψευδῆ. — 6 αὐθημερῶν. — 7 τοῦ ξύλου. — 9 ὁρώσασε. — 12 ὦ. — 17 εἱστήκασαν. — 22 ἐσείετω—26 ἀκτεινας.—30 ἐνερήμω. — 32 ἀεδιῶτες.

ὡς τῶν αἰώνων ὑπάρχοντα | βασιλέα καὶ κύριον
καὶ δεσπότην τῆς κτίσεως·

Ὅμοιον.

Ῥήγνυται χειρόγραφον | τὸ ἀπ' αἰῶνος κυήσει σου
τῆς πλευρᾶς, πολυέλεε, | Ἀδὰμ τοῦ προπάτορος
καὶ ἡ ἀπωσμένη | φύσις τῶν ἀνθρώπων
ῥανίσιν αἵματος τοῦ σοῦ | καθαγιάζεται ἀνακράζουσα
" δόξα τῇ εὐσπλαγχνίᾳ σου, | δόξα τῇ θείᾳ σταυρώσει σου,
Ἰησοῦ παντοδύναμε, | ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν ".

Ἕτερα στιχηρὰ ἰδιόμελα· ἦχος α'.

Πᾶσα ἡ κτίσις | ἠλλοιοῦτο φόβῳ θεωροῦσά σε
ἐν σταυρῷ κρεμάμενον, Χριστέ· | ὁ ἥλιος ἐσκοτίζετο·
τὰ πάντα συνέπασχον | τῷ τὰ πάντα κτίσαντι·
ὁ ἑκουσίως δι' ἡμᾶς ὑπομείνας, | Κύριε, δόξα σοι.

Ἦχος β'.

Λαὸς δυσσεβὴς καὶ παράνομος | ἵνα τί | μελετᾷ κενά;
ἵνα τί | τὴν ζωὴν τῶν ἁπάντων | θανάτῳ κατεδίκασεν;
μέγα | θαῦμα, | ὅτι ὁ κτίστης τοῦ κόσμου
εἰς χεῖρας ἀνόμων παραδίδοται | καὶ ἐπὶ ξύλου | ἀνυψοῦται
ὁ φιλάνθρωπος, | ἵνα τοὺς ἐν τῷ Ἅδῃ δεσμώτας
ἐλευθερώσῃ κράζοντας | " μακρόθυμε Κύριε, δόξα σοι ".

Ἦχος β'.

Σήμερον | σὲ θεωροῦσα ἡ ἄμεμπτος παρθένος ἐν σταυρῷ,
Λόγε, ἀναρτώμενον | ὀδυρωμένη μητρῷα σπλάγχνα ἐτέτρωτο
τὴν καρδίαν πικρῶς | καὶ στενάζουσα ὀδυνηρῶς ἐκ βάθους ψυχῆς
παρειὰς σὺν θριξὶ καταξένουσα κατετρύχετο·
διὸ | καὶ τὸ στῆθος τύπτουσα | ἀνέκραζε γοερῶς
" οἴμοι, | τὸ φῶς τοῦ κόσμου !
τί ἔδυς | ἐξ ὀφθαλμῶν μου ὁ ἀμνὸς τοῦ Θεοῦ "
ὅθεν | αἱ στρατιαὶ τῶν ἀσωμάτων | φόβῳ συνείχοντο λέγουσαι
" ἀκατάληπτε Κύριε, δόξα σοι ".

4 ἀπαιῶνος. — 7 ῥανίσιν ‖ καθαγιάζεται. — 8 στρώσῃ. — 11 θεωρούσασε. — 14 διήμᾶς ὑπομείνας. — 16 μελετᾶ. — 19 χείρας. — 20 δεσμῶτας. — 21 ἐλευθερώσει. — 24 ἀναρτούμενον. — 26 ἐκδ. «ψυχῆς, αἷς οὐκ ἔγνω ὠδῖσιν ἐν τόκῳ τὸ πριν κατετρύχετο» ‖ παρειὰς] παρείαις ‖ καταξένουσαν. — 27 ἐκδ. «ἀνέκραγε». — 28 οἴμοι. — 29 ἀμνὸς. — 30 συνήχοντο.

Ἦχος γ΄.

Ἐπὶ ξύλου βλέπουσα κρεμάμενον, Χριστέ,
σὲ τὸν πάντων κτίστην καὶ Θεόν
ἡ σὲ ἀσπόρως τεκοῦσα ἐβόα πικρῶς·
Οὐϊέ μου, | ποῦ τὸ κάλλος | ἔδυ τῆς μορφῆς σου;
οὐ φέρω καθορᾶν σε αὐτίκως σταυρούμενον·
σπεῦσον οὖν ἀνάστηθι, ὅπως ἴδω κἀγὼ
σοῦ τὴν ἐκ νεκρῶν | τριήμερον ἐξανάστασιν.

Ἦχος β΄.

Σταυρωθέντος σου, Χριστέ, | πᾶσα ἡ κτίσις βλέπουσα ἔτρεμεν,
τὰ θεμέλια τῆς γῆς | διεσονήθησαν φόβῳ τῷ κράτει σου·
σοῦ γὰρ ὑψωθέντος σήμερον | γένος Ἑβραίων ἀπώλετο·
τοῦ ναοῦ τὸ καταπέτασμα | διερράγη διχῶς
καὶ νεκροὶ ἐκ τῶν τάφων ἐξανέστησαν·
ἑκατόνταρχος ἰδὼν τὸ θαῦμα ἔφριξεν,
παρεστῶσα δὲ ἡ μήτηρ σου | ἐβόα θρηνωδοῦσα μητρικῶς·
Οὐ πῶς | μὴ θρηνήσω | καὶ τὰ σπλάγχνα μου τύπτω
ὁρῶσά σε | γυμνὸν ὡς κατάκριτον | τῷ ξύλῳ κρεμάμενον
ὁ σταυρωθεὶς καὶ ταφεὶς καὶ ἀναστὰς | ἐκ νεκρῶν, Κύριε, δόξα σοι.

Ἦχος γ΄.

Δύο καὶ πονηρὰ ἐποίησεν | ὁ πρωτότοκος υἱός μου Ἰσραήλ·
ἐμὲ ἐγκατέλιπεν, | πηγὴν ὕδατος ζωῆς,
καὶ ὤρυξεν ἑαυτῷ | φρέαρ συντετριμμένον·
ἐμὲ ἐπὶ ξύλου ἐσταύρωσαν, | τὸν δὲ Βαραββᾶν ἠτήσαντο καὶ ἀπέλυσαν·
ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτῳ | καὶ ὁ ἥλιος τὰς ἀκτῖνας ἀπέκρυψεν.
σὺ δέ, Ἰσραήλ, οὐκ ἐνετράπης με, | ἀλλὰ θανάτῳ με παρέδωκας·
ἄφες αὐτοῖς, πάτερ ἅγιε· | οὐ γὰρ οἴδασιν τί ἐποίησαν.

Δόξα· ἦχος γ΄.

Ἕκαστον μέλος | τῆς ἁγίας σου σαρκὸς
ἀτιμίαν δι' ἡμᾶς ὑπέμεινεν·

6 καθοράνσε. — 8 ἐξανάστησιν. — 11 ἐκδ. «διεσονήθη φόβῳ τοῦ κράτους» || διεσομήθησαν. — 12 ἑβραίων || μετὰ τὸ «διχῶς» ἔχουσιν αἱ ἐκδόσεις «τὰ μνημεῖα ἠνεῴχθησαν». — 18 ὁρώσασε.—19 ἀναστὰς. — 24 ἐκδ. «ἐσταύρωσε . . . ἠτήσατο καὶ ἀπέλυσε» || βαρανβὰν. — 25 ἀκτείνας. — 26 τὸ πρῶτον «με» ἐλλείπει ταῖς ἐκδόσεσι. — 22 τὸ «σου» ἐλλείπει τῷ κώδικι—30 δι᾽ ἡμᾶς.

τὰς ἀκάνθας ἡ κεφαλή, | ἡ ὄψις τὰ ἐμπτύσματα,
αἱ σιαγόνες τὰ ῥαπίσματα,
τὸ στόμα τὴν ἐν ὄξει | κερασθεῖσαν χολὴν τῇ γεύσει,
τὰ ὦτα ' τὰς δυσσεβεῖς βλασφημίας,
ὁ νῶτος τὴν φραγγέλωσιν ' καὶ ἡ χεὶρ τὸν κάλαμον·
αἱ τοῦ ὅλου σώματος ἐκτάσεις ἐν τῷ σταυρῷ
τὰ ἄρθρα τοὺς ἥλους | καὶ ἡ πλευρὰ τὴν λόγχην·
ὁ παθὼν ὑπὲρ ἡμῶν | καὶ παθῶν ἐλευθερώσας ἡμᾶς,
ὁ συγκαταβὰς ἡμῖν φιλανθρωπίᾳ | καὶ ἀνυψώσας ἡμᾶς,
παντοδύναμε Σωτήρ, | ἐλέησον ἡμᾶς.

Εὐθὺς τὸ «Δόξα ἐν ὑψίστοις Θεῷ» ἕως «τοῖς γινώσκουσί σε», καὶ ὁ διάκονος «Ὑπὲρ τοῦ καταξιωθῆναι». Εὐαγγέλιον ι' κατὰ Μᾶρκον (ιε', 43—47)· «Τῷ καιρῷ ἐκείνῳ ἐλθὼν Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας». Τέλος· «ἐθεώρουν ποῦ τίθεται». Εὐθὺς «Καταξίωσον, Κύριε, τῇ ἡμέρᾳ ταύτῃ». Καὶ εὐθὺς ψάλλομεν στιχηρὰ (εἰς) ἦχον πλάγιον β'.

Σήμερον | ὁ δεσπότης καὶ κύριος ' παρίσταται Πιλάτῳ
καὶ σταυρῷ παραδίδοται | ὁ κτίστης τῶν ἁπάντων,
ὡς ἀμνὸς προσαγόμενος τῇ ἰδίᾳ βουλήσει·
τοῖς ἥλοις προσπήγνυται, | τὴν πλευρὰν κεντᾶται
καὶ τῷ σπόγγῳ προσψαύεται | ὁ μάννα ἐπομβρήσας·
ταῖς σιαγόσιν ῥαπίζεται | ὁ λυτρωτὴς τοῦ κόσμου
καὶ ὑπὸ τῶν οἰκείων δούλων ἐμπαίζεται ' ὁ πλάστης τῶν ἁπάντων·
ὦ δεσπότου φιλανθρωπίας ! | ὑπὲρ τῶν σταυρούντων παρεκάλει
τὸν ἴδιον πατέρα· | " πάτερ, ἄφες αὐτοῖς τὴν ἁμαρτίαν ταύτην·
οὐ γὰρ οἴδασιν οἱ ἄνομοι | τί ἀδίκως πράττουσιν ".

Στίχ. «Ἀντὶ τοῦ ἀγαπᾶν με ἐνδιέβαλλόν με, ἐγὼ δὲ προσηυχόμην». Ἦχος πλάγιος β'.

Τὸν νῶτόν μου | ἔδωκα εἰς μαστίγωσιν,
τὸ δὲ πρόσωπόν μου οὐκ ἀπεστράφη

2 σιαγῶνες. — 3 τὴν] τῇ | ' ἐκδ. «χολὴς γεῦσιν». — 5 φραγείλωσιν. — 7 πλευρά. — 9 φιλανθρωπίαν. — 17 καὶ κύριος] ἐκδ. «τῆς κτίσεως || πιλάτῳ. — 19 ἀμνὸς || ἰδία— 20 πλευρὰν. — 21 ἐπομβρίσας. — 22 κῶδ. «ταῖς σιαγώσιν» ἐκδ. «τὰς σιαγόνας» || λυτρωτὴς. — 23 οἰκείων] ἐκδ. «ἰδίων». — 24 ὦ—25 ἴδιον || μετὰ τὸ «πατέρα» αἱ ἐκδ. ἔχουσι «λέγων ἄφες» κτλ. — 26 οἰδασιν—27 ἀγαπᾶν με ἐνδιέβαλόν με || πρὸς ἠυχόμην— 29 μαστίγασιν. — 30 οὐκαπεστράφη.

ἀπὸ αἰσχύνης ἐμπτυσμάτων·
βήματι Πιλάτου παρέστην | καὶ σταυρὸν ὑπέμεινα
διὰ τὴν τοῦ Κόσμου σωτηρίαν.

Στίχ. «Ἀναστάντες μοι μάρτυρες ἄδικοι». Ἦχος πλάγιος β'.

Ἐξέδυσάν με | τὰ ἱμάτιά μου
καὶ ἐνέδυσάν με χλαμύδα κοκκίνην·
ἔθηκαν ἐπὶ τὴν κεφαλήν μου στέφανον ἐξ ἀκανθῶν
καὶ ἐπὶ τὴν δεξιάν μου χεῖρα ἔδωκαν κάλαμον,
ἵνα συντρίψω αὐτοὺς ὡς σκεύη κεραμέως.

Στίχ. «Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον». Ἦχος πλάγιος β'.

Φοβερὸν | καὶ παράδοξον μυστήριον
σήμερον ἐνεργούμενον καθορᾶται·
ὁ ἀναφὴ κρατεῖται, | δεσμεῖται
ὁ λύων τὸν Ἀδὰμ τῆς δουλείας·
ὁ ἐτάζων καρδίας καὶ νεφροὺς | ἀδίκως ἐτάζεται·
εἱρκτῇ | κατακλείεται | ὁ τὴν ἄβυσσον κλείσας·
Πιλάτῳ παρίσταται | ᾧ τρόμῳ παρίστανται
οὐρανῶν αἱ δυνάμεις·
ραπίζεται χειρὶ | τοῦ πλάσματος ὁ πλάστης·
ξύλῳ κατακρίνεται | ὁ κρίνων ζῶντας καὶ νεκρούς·
τάφῳ παραδίδοται | ὁ καθαιρέτης τοῦ Ἅδου·
ὁ πάντα φέρων συμπαθῶς | καὶ πάντας σώσας τῆς ἀρᾶς,
ἀνεξίκακε Κύριε, δόξα σοι.

Εἰς τὸ Δόξα.... καὶ νῦν· ἦχος πλάγιος β'.

Ὢ πῶς | ἡ παράνομος συναγωγὴ
τὸν βασιλέα τῆς κτίσεως | κατεδίκασεν θανάτῳ
μὴ αἰδεσθεῖσα τὰς εὐεργεσίας,
ἃς ἀναμιμνήσκων | προησφαλίζετο λέγων πρὸς αὐτούς·
Λαός μου, | τί ἐποίησά σοι;
οὐ θαυμάτων ἐνέπλησα τὴν Ἰουδαίαν;
οὐ νεκροὺς ἐξανέστησα μόνῳ τῷ λόγῳ;
οὐ πᾶσαν μαλακίαν ἐθεράπευσα καὶ νόσον;

1 τὸ «αἰσχύνης» ἐλλείπει τῇ ρωμ. ἐκδόσει. — 3 ἐλλείπει ταῖς ἐκδ. τὸ «τὴν». — 8 χεῖραν. — 9 κεραμαίως. — 10 ἑαυτ(οῖς). — 11 κλή(ρον). — 14 ἀναφεὶς. — 15 τὸν] τοῦ || δουλίας. — 17 εἱρκτῇ. — 18 ᾧ] ὧν. — 20 αἰδοῦ. — 23 ἀρᾶς.

τί οὖν μοι ἀνταποδίδοτε; | εἰς τί ἀμνημονεῖτέ μου,
ἀντὶ τῶν ἰαμάτων | πληγὰς ἐπιτιθέντες,
ἀντὶ ζωῆς νεκροῦντες, | κρεμῶντες ἐπὶ ξύλου
ὡς κακοῦργον τὸν εὐεργέτην,
ὡς παράνομον τὸν νομοδότην,
ὡς κατάκριτον τὸν πάντων βασιλέα;
μακρόθυμε Κύριε, δόξα σοι.

Καὶ ὁ διάκονος· «Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς». Εὐθὺς εὐαγγέλιον ιά κατὰ Ἰωάννην (ιθ', 38—42)· «Τῷ καιρῷ ἐκείνῳ ἠρώτησεν τὸν Πιλᾶτον Ἰωσήφ». Τέλος· «ἔθηκαν τὸν Ἰησοῦν». Εὐθὺς «Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι», τὸ τρισάγιον καὶ ὁ διάκονος τὴν ἐκτενήν· καὶ τότε εἰσελεύσετ(αι) ὁ πατριάρχης καὶ ὁ ἀρχιδιάκ(ονος) εἰς τὴν Νικητήριον τὴν Ἀγγελικήν, ὀπίσω τοῦ Ἁγίου Κρανίου, καὶ λαμβάνει τὸν τίμιον σταυρὸν ἀπ' ἐκεῖθεν, καὶ βαστάζει αὐτὸν δεδεμένον ἐπὶ τῶν ὤμων αὐτοῦ καὶ δένει οὐράριν ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ σύρει αὐτὸν ὁ ἀρχιδιάκων ἐπὶ τὴν Ἁγίαν Φυλακήν· Καὶ ποιοῦμεν λιτὴν ἐπὶ τὴν Ἁγίαν Φυλακὴν ψάλλοντες· «Κύριε, κατέκρινάν σε Ἰουδαῖοι θανάτῳ». Καὶ ἕτερον στιχηρὸν (εἰς) ἦχον πλάγιον β'· «Σήμερον ὁ δεσπότης καὶ κύριος παρίσταται Πιλάτῳ». Ζήτει, ὅτι ἐγράφη (ὅρα σ. 144). Καὶ μένει ὁ πατριάρχης εἰς τὴν Ἁγίαν Φυλακὴν καὶ ἡμεῖς ἔμπροσθεν αὐτοῦ ψάλλομεν τὸ τροπάριον καὶ προφητείαν. Τὸ τροπάριον ἦχος α'· «Σταυρωθέντος σου, Χριστέ, ἀνηρέθη ἡ τυραννίς· | ἐπατήθη ἡ δύναμις τοῦ ἐχθροῦ· | οὔτε γὰρ ἄνθρωπος οὐκ ἄγγελος, | ἀλλ' αὐτὸς ὁ Κύριος ἔσωσας ἡμᾶς· δόξα σοι». Προκείμενον, ἦχος δ'· «Ὁ Θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες· Κύριε, εἰς τὸ βοηθῆσαί μοι σπεῦσον». Στίχ. «Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες»: Προφητείας Ζαχαρίου τὸ ἀνάγνωσμα (ια', 10—13)· «Τάδε λέγει Κύριος· λήψομαι τὴν ῥάβδον μου τὴν καλὴν» κτλ. Τέλος· «εἰς τὸ χωνευτήριον, καθὰ συνέταξέν μοι Κύριος». Προκείμενον, ἦχος πλάγιος α'· «Σύ, Κύριε, φυλάξεις ἡμᾶς καὶ διατηρήσεις ἡμᾶς ἀπὸ τῆς γενεᾶς». Στίχ.

2 ἰαμάτων· πληγας. — 3 κρεμόντες. — 13 ὄπισω. — 14 ἀπεκειθ(εν). - 15 δεδεμὲ || ὦμ(ων) || δένη. — 20 μεινει. — 24 ἐκδ. «οὔτε γὰρ ἄνθρωπος, οὐκ ἄγγελος» || ἐκδ. «κύριε». — 29 χονευτήριον.

«Σῶσόν με Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος». Καὶ ὁ διάκονος τὴν ἐκτενὴν καὶ ἀπολύ(ει).

Καὶ τότε ἀναβαίνει ὁ πατριάρχης καὶ οἱ μοναχοὶ οἱ Σπουδ(αῖοι) ψάλλου(σιν) εἰς τὴν Ἁγίαν Κορυφὴν τὰς ὥρας καὶ τὰ τροπάρια τὰ δώδεκα συντόμως, ἵνα πάλιν νὰ καταβῇ· ὀφείλει δὲ γίνεσθαι ἡ ἁγία ζύμη οὕτως· ἵνα λάβῃ χαβάρα(ν) τριβομ(ένην) καὶ λυομένην καλῶς, καὶ τίθεται εἰς τὸν Ἅγιον Τάφον καὶ ῥανεῖ ἐπ' αὐτῇ οἴνου καὶ ὕδατος καὶ ῥοδόσταμα, καὶ ζυμώ(σει) αὐτὴν καὶ ποιεῖ αὐτῇ σταυροειδ(ῶς), εἰς τὸν Ἅγιον Λίθον κατὰ μίμησιν, τὰς σφραγῖδας ἃς ἐπέθηκεν ὁ Πιλᾶτος ἐπὶ τὸν λίθον τοῦ μνήματος τοῦ ἁγίου, καὶ σφραγίζει αὐτὰ(ς) ὁ πατριάρχης καὶ ἁγιάζει αὐτήν, καὶ κλειδ(όνει) τὸν Ἅγιον Τάφον καὶ ἔρχ(εται) σὺν τῷ κλήρῳ ἔμπροσθεν τοῦ Ἁγίου Κρανίου διὰ τὰ τροπ(άρια). Σημαίνει ς' ὥρα.

ΣΥΝ ΘΕΩΙ ΑΚΟΛΟΥΘΙΑ ΤΩΝ ΩΡΩΝ ΚΑΙ ΤΑ ΤΡΟΠΑΡΙΑ.

Ποίημα Σωφρονίου πατριάρχου Ἱεροσολύμων τοῦ ἀρχαίου καὶ φιλοσόφου.

Ὀφείλει οὕτως γίνε(σθαι)· ἵνα στήκου(ν) οἱ μοναχοὶ τοῦ Ἁγίου Σάβα καὶ Χαρίτωνος καὶ τοῦ Ἁγίου Θεοδ(οσίου) καὶ τῶν λοιπῶν μοναστηρίων ἔσωθεν τοῦ Ἁγίου Γολγοθᾶ· ψάλλου(ν) πραεία φωνῇ· καὶ ὁ πατριάρχης καὶ ὁ λοιπὸς κλῆρος ἔξωθεν, ἔμπροσθεν τοῦ Ἁγίου Κρανίου, ἵνα καὶ ἡμεῖς ψάλωμεν αὐτόθι. Ὁ διάκονος· «Εὐλόγησον δέσποτα». Ὁ πατριάρχης· «Εὐλογημένη ἡ βασιλεία τοῦ πατρὸς καὶ τοῦ υἱοῦ».

Τῇ πρώτῃ ὥρα τρισάγιον καὶ τὸ «Δεῦτε προσκυνήσωμεν». «Ἔλεος καὶ κρίσιν ἄσομαί σοι, Κύριε· ψαλῶ»: Ἀλληλούια. «Ὅτε οἱ ἔνδοξοι μαθηταί». Εὐθὺς προπάριον· ἦχος πλάγιος δ'.

3 μοναχοὶ] οἱ οἱ. — 4 τατροπ(αρια). — 6 γίνεσθαι] γίνε. — 7 λειομ. — 8 ἐπαυτῃ. — 9 ἅγιον λίθ(ον) καταμίμησιν τὰς σφραγίδ(ας). — 10 μνῆματος. — 11 αυτῆν] αὐτῇ. — 12 κλειδ(όνει) τὸ. — 13 διατ(ὰ) ‖ σημέ(νει). — 15 ἱεροσολύμ(ων) τοῦ ἀρ — 16 ὀφείλ. — 18 μοναστηρίων] κῶδ. «μοναχῶν» ‖ πραεία. — 23 δευτεπροσκυνήσωμεν. — 24 κρίσει.

Σήμερον | τοῦ ναοῦ τὸ καταπέτασμα
εἰς ἔλεγχον ῥήγνυται τῶν παρανόμων
καὶ τὰς ἰδίας ἀκτῖνας ὁ ἥλιος κρύπτει,
θεσπότην ὁρῶν σταυρούμενον.

Δευτερόνομεν β'. Στίχ. «Ἵνα τί ἐφρύαξαν ἔθνη καὶ λαοὶ ἐμελέτησαν»: Στίχ. «Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς». Πλάγιος δ'.

Ὡς πρόβατον ἐπὶ σφαγὴν | ἦλθες, Χριστὲ βασιλεῦ,
καὶ ὡς ἀμνὸς ἄμωμος | προσηλώθης τῷ σταυρῷ
ὑπὸ τῶν παρανόμων ἀνδρῶν
διὰ τὰς ἁμαρτίας ἡμῶν, φιλάνθρωπε.

Στίχ. «Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με· πολλοί»: Στίχ. «Πολλοὶ λέγουσι τῇ ψυχῇ μου· οὐκ ἔστι σωτηρία». Πλάγιος δ'.

Τοῖς συλλαβοῦσί σε παρανόμοις
ἀνεχόμενος οὕτως ἐβόας, Κύριε·
"εἰ καὶ ἐπατάξατε τὸν ποιμένα
καὶ διεσκορπίσατε τὰ ἕνδεκα πρόβατα,
τοὺς μαθητάς μου,
ἠδυνάμην πλείους ἢ δώδεκα
λεγεῶνας παραστῆσαι ἀγγέλων·
ἀλλὰ μακροθυμῶ, ἵνα πληρωθῇ
ἃ ἐδήλωσα ὑμῖν διὰ τῶν προφητῶν μου
ἄδηλα καὶ κρύφια"· Κύριε, δόξα σοι.

Δόξα ... καὶ νῦν. Προκείμενον, ἦχος δ'· «Ἡ καρδία αὐτοῦ συνήγαγεν ἀνομίαν ἑαυτῷ»: Στίχ. «Ἐξεπορεύετο ἔξω καὶ ἐλάλει ἐπὶ τὸ αὐτό»: Εὐθὺς "Προφητείας Ζαχαρίου τὸ ἀνάγνωσμα" (ιγ', 4 κἑ). Ἀρχ. «Τάδε λέγει Κύριος· ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καταισχυνθήσονται οἱ προφῆται». Τέλος· «Κύριος ὁ Θεός μου σὺ εἶ λέγει Κύριος παντοκράτωρ». Ὁ ἀπόστολος πρὸς Γαλάτας· ἐπιστολῆς Παύλου (τὸ ἀνάγνωσμα· ς', 14—18). Ἀρχ. «Ἀδελφοί, ἐμοὶ μὴ γένοιτο καυχᾶσθαι». Τέλος· «μετὰ τοῦ πνεύματος ὑμῶν, ἀδελφοί· ἀμήν».—Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα (γ', 9—15). Ἀρχ.

3 ιδίας ἀκτείνας.—5 Δευτερόμ. β'.—7 ἦλθες] ἐκδ. «ἤχθης».—8 ἀμνός.—10 διατας.—12 τὴν ψυχήν μου.—16 διεσκορπίσατε.—18 ἢ] ἡ.—24 ἑαυτῷ || ἐλάλη.—31 ἡσαΐου.

«Τάδε λέγει Κύριος· οὐαὶ τῇ ψυχῇ αὐτῶν, διότι βεβούλευνται βουλὴν» κτλ. Τέλος· «καὶ τὰ πρόσωπα τῶν ταπεινῶν καταισχύνετε φησὶ κύριος Σαββαώθ». Ὁ ἀπόστολος (ἐκ τῆς) πρὸς Φιλιππησίους ἐπιστολῆς. Ἀρχ. «Ἀδελφοί, τοῦτο φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ» κτλ. Τέλος· «ὅτι κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ πατρός· ἀμήν». — Προκείμενον, ἦχος πλάγιος β΄· «Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μου ἐστὶ διὰ παντός»: Στίχ. «Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με». Εὐθὺς τὸ εὐαγγέλιον· κατὰ Λουκᾶν (Ματθ. κζ΄, 1--32)· «Τῷ καιρῷ ἐκείνῳ πρωΐας γενομένης, συμβούλιον ἔλαβον πάντες οἱ»:—Τέλος· «ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ». Εὐθὺς «Τὰ διαβήματά μου».

Ὥρα γ΄ (δεῖ) ψάλλειν τὸν ν΄.—«Ὅτε οἱ ἔνδοξοι μαθηταί». «Δόξα». — «Θεοτόκε, σὺ εἶ ἡ ἄμωμος». — Τροπάριον· ἦχος πλάγιος δ΄.

Διὰ τὸν φόβον τῶν Ἰουδαίων | ὁ φίλος σου καὶ ὁ πλησίον Πέτρος
ἠρνήσατό σε, Κύριε, | καὶ ὀδυρόμενος οὕτως ἐβόα·
" τῶν δακρύων μου | μὴ παρασιωπήσῃς·
εἶπα γὰρ φυλάξαι τὴν πίστιν καὶ οὐκ ἐφύλαξα·
καὶ ἡμῶν τὴν μετάνοιαν | οὕτως δέξαι καὶ ἐλέησον ἡμᾶς.

Στίχ. «Τὰ ῥήματά μου ἐνώτισαι, Κύριε· σύνες τῆς κραυγῆς μου». Τροπάριον· ἦχος πλάγιος δ΄.

Πρὸ τοῦ τιμίου σου σταυροῦ
στρατιωτῶν ἐμπαιζόντων σε, Κύριε,
αἱ νοεραὶ στρατιαὶ καταπλήττοντο·
ἀνεβόησα γὰρ στέφανον ὕβρεως
ὁ τὴν γῆν ζωγραφήσας τοῖς ἄνθεσιν·
καὶ τὴν χλαῖναν χλευαζόμενος ἐφόρεσας

4 φρονεῖσθω. — 7 ἐγὼ.—12 ἄρει.—13 Ὥραι || προσέθηκα τὸ «δεῖ». — 16 πλήσιον. — 17 ἠρνήσατώσε || ὀδυρώμενος. — 19 μετὰ τὸ «πίστιν» αἱ ἐκδ. ἔχουσιν «οἰκτίρμον» || οὐκεφύλαξα.—21 τῇ κραυγ(ῆ)μ(ου).—26 ἀνεδείσω.—27 κῶδ. «ζογραφήσας»· ἐκδ. «στεφανώσας».

ὁ νεφέλαις περιβάλλων τὸ στερέωμα·
τοιαύτῃ γὰρ οἰκονομίᾳ | ἐγνώσθη σου ἡ εὐσπλαγχνία·
Χριστέ, τὸ μέγα ἔλεος, δόξα σοι.

Στίχ. «Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου»:—Στίχ. «Ἐλέησόν με, Κύριε, ὅτι ἀσθενής εἰμι». Ἦχος πλάγιος α'.

Ἑλκόμενος ἐπὶ σταυροῦ | οὕτως ἐβόας, Κύριε·
διὰ ποῖον ἔργον | θέλετέ με φονεῦσαι, Ἰουδαῖοι;
ὅτι τοὺς παραλύτους ὑμῶν συνέσφιγξα;
ὅτι τοὺς νεκροὺς ὡς ἐξ ὕπνου ἀνέστησα;
αἱμόρρουν ἰασάμην; | Χαναναίαν ἠλέησα;
διὰ ποῖον ἔργον θέλετέ με | φονεῦσαι, Ἰουδαῖοι;
ἀλλ' ὄψεσθε εἰς ὃν ἐκκεντᾶτε | Χριστόν, παράνομοι.

Στίχ. «Κύριε ὁ Θεός μου, ἐπὶ σοὶ ἤλπισα· σῶσόν με ἐκ πάντων τῶν δεινῶν». Στίχ. «Μή ποτε ἁρπάσῃ με ὡς λέων τὴν ψυχήν μου». Προκείμενον, ἦχος πλάγιος β'· «Ὤρυξαν χεῖράς μου καὶ πόδας μου· ἐξηριθμησαν πάντα τὰ ὀστᾶ μου». Στίχ. «Πάντες οἱ θεωροῦντές με ἐξεμυκτήρισάν με· ἐλάλησαν ἐν χείλεσιν· ἐκίνησαν κεφαλήν». Προφητεία Ἡσαΐου (ν', 4 — 8). Ἀρχ. «Κύριος δίδωσί μοι γλῶσσαν παιδείας» κτλ. Τέλος· «ἰδοὺ Κύριος βοηθεῖ μοι· τίς κακώσει με»; Ὁ ἀπόστολος· πρὸς Ῥωμαίους ἐπιστολῆς (Παύλου τὸ ἀνάγνωσμα· ε', 6 — 11). Ἀρχ. «Ἀδελφοί, ὅτι Χριστὸς ὄντων ἡμῶν ἀσθενῶν». Τέλος· «δι' οὗ νῦν τὴν καταλλαγὴν ἐλάβομεν». — Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα. Ἀρχ. «Τάδε λέγει Κύριος· ἐν τῇ ἡμέρᾳ ἐκείνῃ δύσεται ὁ ἥλιος μεσημβρίας» κτλ. Τέλος· «καὶ οὐ μὴ εὕρωσιν λέγει κύριος ὁ Θεός». —Ὁ ἀπόστολος· πρὸς Κορινθίους ἐπιστολῆς Παύλου (τὸ ἀνάγνωσμα 1, α', 18—β', 2). Ἀρχ. «Ἀδελφοί, ὁ λόγος ὁ τοῦ σταυροῦ τοῖς μὲν ἀπολλυμένοις μωρία ἐστὶ» κτλ. Τέλος· «εἰ μὴ Ἰησοῦν Χριστόν, καὶ τοῦτον ἐσταυρωμένον». Προκείμενον, ἦχος πλάγιος β'· «Διεμερί-

2 τοιαύτην.—3 ἐκδ. «σωτήρ, καὶ τὸ μέγα ἔλεος.—7 ἑλκόμενος.—8 διαποῖον || φονεῦσαι] ἐκδ. «σταυρῶσαι».—11 χαναναῖα.—12 διαποῖον ἔργον.—15 δεινῶν] Δι || ἁρπάσει με ὡς λέον.—19 ἡσαΐου.—20 παιδίας.—23 ὄντων.—24 ἡσαΐου.—30 διεμερήσαντο.

σαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον». Στίχ. «Ὁ Θεὸς ὁ Θεός μου, πρόσχες μοι· ἵνα τί ἐγκατέλιπές με»; — Εὐαγγέλιον ἐκ τοῦ κατὰ Μᾶρκον (ιε', 1–32). Ἀρχ. «Τῷ καιρῷ ἐκείνῳ συμβούλιον ποιήσαντες οἱ ἀρχιερεῖς μετὰ τῶν πρεσβυτέρων». Τέλος· «ἵνα ἴδωμεν καὶ πιστεύσωμεν εἰς αὐτόν». Εὐθὺς «Κύριος ὁ Θεὸς εὐλογητός, (εὐλογητὸς) Κύριος· ἡμέραν καθ' ἡμέραν. Κατευοδώσαι ἡμῖν ὁ Θεὸς ὁ Θεός».

Ὥρα ἕκτη μετὰ τὸ εἰπεῖν τὸ «Ὁ κατοικῶν ἐν βοηθείᾳ» καὶ τὸ «Ὅτε οἱ ἔνδοξοι μαθηταὶ» καὶ τὸ «Ὅτι οὐκ ἔχομεν παρρησίαν», ἀρχ(όμεθα) τροπ(αρίου)· ἦχ(ος) πλ(άγιος) δ'.

Τάδε λέγει Κύριος τοῖς Ἰουδαίοις·
Λαός μου, | τί ἐποίησά σοι, | ἢ τί σοι παρηνώχλησα;
τοὺς τυφλούς σου ἐφώτισα, | τοὺς λεπροὺς ἐκαθάρισα·
ἄνδρα ὄντα ἐπὶ κλίνης ἀνωρθωσάμην·
λαός μου, | τί ἐλύπησά σε | καὶ τί μοι ἀνταπέδωκας;
ἀντὶ τοῦ μάννα χολήν, | ἀντὶ | τοῦ ὕδατος ὄξος,
ἀντὶ τοῦ ἀγαπᾶν με | σταυρῷ με προσηλώσατε·
οὐκέτι στέγω λοιπόν· | καλέσω μου τὰ ἔθνη
κἀκεῖνα με δοξάσουσι | σὺν τῷ πατρὶ καὶ πνεύματι,
καγὼ αὐτοῖς δωρήσομαι | ζωὴν τὴν αἰώνιον.

Τὸ αὐτό. Στίχ. «Φύλαξόν με, Κύριε, ὡς κόρην ὀφθαλμοῦ». Στίχ. «Οἱ ἐχθροί μου τὴν ψυχήν μου περιέσχον». Ἦχος πλάγιος α'.

Δεῦτε, | χριστοφόροι, | λαοί, κατίδωμεν
τί συνεβουλεύσατο | Ἰούδας ὁ προδότης
σὺν ἱερεῦσιν ἀνόμοις | κατὰ τοῦ Σωτῆρος ἡμῶν·
σήμερον ἔνοχον θανάτου | τὸν ἀθάνατον Λόγον πεποίηκαν
καὶ Πιλάτῳ προδώσαντες ἐνθάδε Κρανίῳ ἐσταύρωσαν·
καὶ ταῦτα πάσχων | ἐβόα ὁ Σωτὴρ ἡμῶν
λέγων· | "Ἄφες αὐτοῖς, πάτερ, | τὴν ἁμαρτίαν ταύτην,
ὅπως γνῶσιν τὰ ἔθνη | τὴν ἐκ νεκρῶν μου ἀνάστασιν".

6 προσέθηκα τὸ δεύτερον «εὐλογητός». — 7 κατευοδώσει. — 8 μετατό. — 9 οὐκέχωμ(εν).—12 παρηνώχλησα.—13 κῶδ. «τοὺς λεπροὺς ἐκαθάρησα» [sic]· ἐκδ. «τοὺς λεπρούς σου ἐκάθηρα». - 14 ἐπικλίνης || κῶδ. «ἀνορθωσάμην»· ἐκδ. «ἀνωρθωσάμην». — 15 ἐλύπησά σε] ἐκδ. «ἐποίησά σοι». — 19 δοξάζουσιν. — 20 δωρήσωμαι. — 21 κόρην. — 25 ἰούδας.—26 συνίερεῦσιν.

Τὸ αὐτό. Στίχ. «Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου». Στίχ. «Εὐφρανθήσομαι καὶ ἀγαλλιάσομαι ἐν σοί». Ἦχος πλάγιος δ'.

Οἱ νομοθέται τοῦ Ἰσραήλ, | Ἰουδαῖοι καὶ Φαρισαῖοι,
ὁ χορὸς τῶν ἀποστόλων βοᾷ πρὸς ὑμᾶς·
Ἴδε ναός, | ὃν ὑμεῖς ἐλύσατε·
ἴδε ἀμνός, | ὃν ὑμεῖς ἐσταυρώσατε·
τάφῳ παρεδώκατε· | ἀλλ' ἐξουσία ἑαυτοῦ ἀνέστη·
μὴ πλανᾶσθε, Ἰουδαῖοι· | αὐτὸς γάρ ἐστιν
ὁ ἐν θαλάσσῃ σώσας | καὶ ἐν ἐρήμῳ θρέψας·
αὐτός ἐστιν ἡ ζωὴ καὶ τὸ φῶς | καὶ εἰρήνη τοῦ κόσμου.

Στίχ. «Καὶ σύ, Κύριε, ἐκγελάσῃς αὐτούς». Στίχ. «Διασκόρπισον αὐτοὺς ἐν τῇ δυνάμει σου». Δόξα... καὶ νῦν. Προκείμενον, ἦχος πλ. β'· «Εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου». Στίχ. «Ἐπὶ σοί, Κύριε, ἤλπισα· μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα». Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα (νβ', 13—νγ', 12). «Τάδε λέγει Κύριος· Ἰδοὺ συνήσει ὁ παῖς μου» κτλ. Τέλος· «καὶ διὰ τὰς ἁμαρτίας αὐτῶν παρεδόθη». — Ὁ ἀπόστολος· πρὸς Ἑβραίους ἐπιστολῆς Παύλου (τὸ ἀνάγνωσμα· β', 11—18)· «Ἀδελφοί, ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνός» κτλ. Τέλος· «δύναται τοῖς πειραζομένοις βοηθῆσαι». — Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα· «Τάδε λέγει Κύριος· τίς οὗτος ὁ παραγενόμενος ἐξ Ἐδώμ»; Τέλος· «κατήγαγον τὸ αἷμα αὐτῶν εἰς γῆν λέγει κύριος ὁ Θεός». — Ὁ ἀπόστολος· πρὸς Ἑβραίους ἐπιστολῆς (Παύλου τὸ ἀνάγνωσμα· δ', 11—28)· «Ἀδελφοί, Χριστὸς παραγενόμενος ἀρχιερεὺς τῶν μελλόντων» κτλ. Τέλος· «ὀφθήσεται τοῖς αὐτὸν ἀπεκδεχομένοις εἰς σωτηρίαν». Εὐθὺς προκείμενον, ἦχος πλάγιος β'· «Ἔδωκαν εἰς τὸ βρῶμά μου χολὴν καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος». Στίχ. «Σῶσόν με ὁ Θεός, ὅτι εἰσῆλθοσαν ὕδατα ἕως ψυχῆς μου». Εὐθὺς εὐαγγέλιον κατὰ Λουκᾶν (κβ', 66—κγ', 49)· «Τῷ καιρῷ ἐκείνῳ συνήχθη τὸ πρεσβυτέριον τοῦ λαοῦ, ἀρχιερεῖς καὶ γραμματεῖς».

6 ἴδε.—7 ἴδε ἀμνός.—8 ἀλλεξουσία ἑαυτῶ.—10 σῶσας.—12 σοὶ.—14 χειρας. 15 καταισχυνθήειν.—16 ἡσαΐου.—17 ἰδοὺ.—18 παρεδωθη.—21 ἡσαΐου.—25 ἀρχιερεῦς.—29 εἰσῆλθωσαν.

Τέλος· «ἀπὸ τῆς Γαλιλαίας ὁρῶσαι ταῦτα». Εὐθὺς «Ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου».

Ὥρα θ' μετὰ τὸ «Κλῖνον Κύριε τὸ οὖς σου» καὶ τὸ "Ὅτε οἱ ἔνδοξοι μαθηταὶ" καὶ τὸ "Ὁ οἰ' ἡμᾶς γεννηθεὶς ἐκ παρθένου", τροπάριον· ἦχος βαρύς.

Θάμβος ἦν κατιδεῖν | τὸν οὐρανοῦ καὶ γῆς ποιητὴν
ἐπὶ σταυροῦ κρεμάμενον, | ἥλιον σκοτισθέντα,
τὴν ἡμέραν δὲ πάλιν | εἰς νύκτα μετελθοῦσαν
καὶ τὴν γῆν | ἐκ τάφων ἀναπέμπουσαν
σώματα νεκρῶν, | μεθ' ὧν προσκυνοῦμέν σε·
Χριστέ, σῶσον ἡμᾶς.

Στίχ. «Σῶσόν με, Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος». Τὸ αὐτό. Στίχ. «Μάταια ἐλάλησεν ἕκαστος πρὸς τὸν πλησίον». Ἦχος β'.

"Ὅτε τῷ σταυρῷ | προσήλωσαν παράνομοι
τὸν Κύριον τῆς δόξης, | ἐβόα πρὸς αὐτούς·
"τί ὑμᾶς ἐλύπησα, | ἢ ἐν τίνι παρώργισα;
πρό ἐμοῦ | τίς ἐρρύσατο ὑμᾶς ἐκ θλίψεως;
καὶ νῦν | τί μοι ἀνταποδίδοτε;
πονηρὰ ἀντὶ ἀγαθῶν·
ἀντὶ στύλου πυρὸς | σταυρῷ με προσηλώσατε·
ἀντὶ νεφέλης | τάφον μοι ὠρύξατε·
ἀντὶ τοῦ μάννα | χολήν μοι προσηνέγκατε·
ἀντὶ τοῦ ὕδατος | ὄξος με ἐποτίσατε·
λοιπὸν καλῶ τὰ ἔθνη | κἀκεῖνα με δοξάσουσιν
σὺν πατρὶ καὶ ἁγίῳ πνεύματι".

Στίχ. «Ἕως πότε, Κύριε, ἐπιλήσει μου εἰς τέλος»; Στίχ. «Ἕως τίνος θήσομαι βουλὰς ἐν ψυχῇ μου»; Ἦχος πλ. β'.

Σήμερον | κρεμᾶται ἐπὶ ξύλου
ὁ ἐν ὕδασι τὴν γῆν κρεμάσας·
στέφανον ἐξ ἀκανθῶν
περιτίθεται ὁ τῶν ἀγγέλων βασιλεύς·

2 οἰκτειρμ(οἱ σου).—3 μὲ τὰ ‖ κλίνον ‖ ὅτε.—4 ἡμᾶς.—6 κατιδειν.—8 νύκταν.—10 μεθῶν.—11 τὸ «Χριστὲ» ἐλλείπει τῳ κώδικι.—12 ἐκλέλιπεν.—16 ἐντινι παρώργησα.—17 ἐκδ. «ὑμᾶς ἐρρύσατο».—19 ἀγαθόν.—21 ὠρίξατε.—23 με] ἐλλείπει τῇ ρωμ. ἐκδόσει ‖ ἐποτήσατε.—24 δοξάσωσιν.—27 βουλὰς.—28 κρεμνᾶτε.—30 ἐξακανθῶν.—31 βασιλεῦς.

ψευδῆ πορφύραν περιβαλλεται
ὁ περιβάλλων τον οὐρανὸν ἐν νεφελαις·
ράπισμα κατεδέξατο
ὁ ἐν Ἰορδάνῃ | ἐλευθερώσας τον Ἀδάμ·
ἤλοις προσηλώθη | ὁ νυμφίος τῆς ἐκκλησίας·
λόγχῃ ἐκεντήθη | ὁ υἱὸς τῆς παρθένου·
προσκυνοῦμέν σου τὰ πάθη, Χριστέ·
δεῖξον ἡμῖν | καὶ τὴν ἔνδοξόν σου ἀνάστασιν.

Στίχ. «Συναγωγὴ πονηρευομένων περιέσχον με». Στίχ. «Ὤρυξαν χεῖράς μου καὶ πόδας μου· ἐξηρίθμησαν»: Δόξα . . . καὶ νῦν. Εὐθὺς προκείμενον, ἦχος πλ. β'· «Ἐγενήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος, ἐν νεκροῖς ἐλεύθερος». Στίχ. «Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου». — Προφητείας Ἱερεμίου τὸ (ἀνάγνωσμα· ια', 18-20)· «Κύριε, γνώρισόν μοι καὶ γνώσομαι» κτλ. Τέλος· «ἀπεκάλυψα τὸ δικαίωμά μου». Ὁ ἀπόστολος· πρὸς Ἑβραίους ἐπιστολῆς Παύλου τὸ (ἀνάγνωσμα· ι', 19-31)· «Ἀδελφοί, ἔχοντες παρρησίαν εἰς τὴν εἴσοδον τῶν ἁγίων» κτλ. Τέλος· «τοῦ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος». — Προφητείας Ζαχαρίου τὸ ἀνάγνωσμα· «Ἥξει κύριος ὁ Θεός μου καὶ πάντες οἱ ἅγιοι μετ' αὐτοῦ» κτλ. Τέλος· «ἑστηκότας αὐτῶν ἐπὶ τοὺς πόδας αὐτῶν». Ὁ ἀπόστολος· πρὸς Τιμόθεον ἐπ(ιστολῆς Παύλου τὸ ἀνάγνωσμα· ς', 13 — 16)· «Τέκνον Τιμόθεε, παραγγέλλω σοι ἐνώπιον» κτλ. Τέλος· «ᾧ τιμὴ κράτος αἰώνιον». Προκείμενον, ἦχος πλ. β'. «Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου καὶ ἡ κραυγή μου πρὸς σὲ ἐλθέτω». Στίχ. «Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ· ἐν ᾗ ἂν ἡμέρα θλίβομαι, κλῖνον πρός με τὸ οὖς σου».—Εὐαγγέλιον κατὰ Ἰωάννην (ιη', 28—ιθ', 37)· «Τῷ καιρῷ ἐκείνῳ ἄγουσιν τὸν Ἰησοῦν ἀπὸ τοῦ Καϊάφα εἰς τὸ πραιτώριον». Τέλος· «ὅψονται εἰς ὃν ἐξεκέντησαν».

Καὶ εὐθὺς συναχθήσονται οἱ τρεῖς χοροὶ εἰς ἕνα χορὸν μέγαν, ἔμπροσθεν τοῦ Ἁγίου Κρανίου· καὶ ἄρχεται ὁ δομέστικος τὸ Δόξα. Τὸ Δόξα . . καὶ νῦν· ἦχος πλάγιος α' μεγάλῃ φωνῇ.

1 ψευδῆ.—6 ἐκεντίθη.—9 ὤριξαν.—20 εστηκότας.—25 κραυγῆ.—26 κλίνον.—30 ἓν.

Ὁρῶσά σε | ἡ κτίσις ἅπασα
ἐπι σταυροῦ | γυμνὸν κρεμάμενον
τὸν δημιουργὸν καὶ κτίστην τῶν απάντων,
ἠλλοιοῦτο φόβῳ καὶ ἐπωδύρετο·
ὁ ἥλιος δὲ | τὸ φῶς ἡμαύρωσεν
καὶ ἡ γῆ ἐκυμαίνετο·
πέτραι δὲ ἐσχίζοντο
καὶ ναοῦ φατνότης διερρήγνυτο·
νεκροὶ ἐξανίσταντο | ἐκ μνημάτων
καὶ ἀγγέλων αἱ δυνάμεις ἐξίσταντο λέγουσαι·
"Ὦ τοῦ θαύματος! | ὁ κριτὴς | κρίνεται
καὶ πάσχει θέλων | διὰ τὴν τοῦ κόσμου
σωτηρίαν καὶ ἀνάπλασιν.

Καὶ εὐθύς· «Μὴ δὴ παραδώῃς ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομα, καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην»: Καὶ τὸ τρισάγιον καὶ «Παναγία τριὰς» καὶ τὸ «Πάτερ ἡμῶν»· καὶ μετὰ τοῦτο ποιοῦμεν λιτὴν ἐπὶ τὴν Ἁγίαν Ἀνάστασιν, ὁ πατριάρχης καὶ ὅλος ὁ κλῆρος, ψάλλοντες τὸ κοντάκιον· ἦχος πλ. δ΄.

Τὸν δι' ἡμᾶς σταυρωθέντα
δεῦτε πάντες ὑμνήσωμεν·
αὐτὸν γὰρ κατεῖδεν Μαρία
ἐπὶ ξύλου καὶ ἔλεγεν·
"εἰ καὶ σταυρὸν ὑπομένεις,
σὺ ὑπάρχεις ὁ υἱὸς καὶ Θεός μου".

Δόξα· ἦχος γ΄· «Χριστὲ ὁ Θεὸς ἡμῶν | ὁ τὴν ἑκούσιον σταύρωσιν»: Προεγράφη· ζήτει: καὶ οὕτως εἰσελεύσομεν εἰς τὸ Ἅγιον Βῆμα, καὶ εἰσελεύσεται ὁ πατριάρχης (καὶ) ἁγιάσει τὴν ἁγίαν ζύμην καὶ μυρίσει αὐτὴν καὶ ἐξέλθῃ συντόμως, ἵνα ψάλωμεν τὸν ἑσπερινόν· καὶ μετὰ τὸν ἑσπερινὸν εἰσέλθ(ῃ) εἰς τὸν Ἅγιον Τάφον, ἵνα ρογεύῃ τὴν ἁγίαν ζύμην παντὶ τῷ λαῷ, ὅτι ἐν ταύτῃ τῇ ἁγίᾳ καὶ μεγάλῃ ἡμέρᾳ οὐ δεῖ τελέσαι λειτ(ουργίαν) εἰς τὴν Ἁγίαν Ἀνάστασιν καὶ μόνον.

---

1 ὁρώσα. — 4 ἐποδύρετο. — 6 ἐκυμένετω. — 11 κριτὴς. — 12 διατὴν. — 14 διατὸ — 16 τριας. — 19 διήμας. — 21 καθίδεν. — 23 εἰ || ὑπομένης. — 27 ἁγίασῃ τὴν. — 29 ἐξέλθοι || ψάλλομεν τὸ. — 29 μετὰ τὸ ἑσπ εἰσελ. — 30 ρογεύει. — 31 τελέσαι.

Ἀκολουθία τοῦ ἑσπερινοῦ.

Ἵσταται ὁ πατριάρχης εἰς τὸ Ἅγιον Βῆμα καὶ οἱ β' χοροὶ ἔνθεν καὶ ἔνθεν, καὶ ἄρχεται τὸ «Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον». Στιχηρὰ εἰς τὸ «Κύριε ἐκέκραξα»· ἦχος β'· ἰδιόμελα.

Ὅτε | ἐκ τοῦ ξύλου σε νεκρὸν | ὁ Ἀριμαθαῖος καθεῖλεν
τὴν τῶν ἁπάντων ζωήν, | σμύρνῃ καὶ σινδόνι σε.
Χριστέ, ἐνείλησε | καὶ τῷ πόθῳ ἠπείγετο
καρδία καὶ χείλει | σῶμα τὸ ἀκήρατον
σοῦ περιπτύξασθαι, | ὅμως συστελλόμενος φόβῳ
χαίρων ἀνεκραύγαζεν· " δόξα | τῇ συγκαταβάσει σου, φιλάνθρωπε ".

Ὅμοιον.

Ὅτε ἐν τῷ τάφῳ τῷ καινῷ | ὑπὲρ τοῦ παντὸς κατετέθης
ὁ λυτρωτὴς τοῦ παντός, | Ἅιδης ὁ παγγέλαστος
τῷ φόβῳ ἔπτηξεν, | οἱ μοχλοὶ συνετρίβησαν,
ἐθλάσθησαν πύλαι, | μνήματα ἠνοίχθησαν,
νεκροὶ ἀνέστησαν, | τότε | ὁ Ἀδὰμ εὐχαρίστως
χαίρων ἀνεβόα σοι " δόξα | τῇ συγκαταβάσει σου, φιλάνθρωπε ".

Ὅμοιον.

Ὅτε αἱ δυνάμεις σε, Χριστέ, | πλάνον ὑπ' ἀνόμων ἐώρων
συκοφαντούμενον, | ἔφριττον τὴν ἄφατον
οἰκονομίαν σου | καὶ χερσὶν σφραγιζόμενον
τὸν λίθον τοῦ τάφου, αἷς τὴν τοῦ Κυρίου μου
πλευρὰν ἐλόγχευσαν· | ὅμως | τῇ ἡμῶν σωτηρίᾳ
χαίρουσαι ἐβόων σοι " δόξα | τῇ συγκαταβάσει σου, φιλάνθρωπε ".

Ἕτερα στιχηρὰ ψαλλόμενα.

Ἦχος β'.

Σήμερον | συνέχει τάφος
τὸν συνέχοντα παλάμῃ τὴν κτίσιν·

1 τὸ ἐξ.—2 ἵστατ(αι). —3 εὐλογη. — 5 ἐκδ. ρωμ. «Ἀριμαθείας». — 6 σινδώνη. — 7 κῶδ.«ἐνείλισσε»· ἐκδ. «ἐκήδευσε» || ἐπείγεται.—8 χείλη.—13 αἴδης.—14 κῶδ. «τῷ φόβῳ»· ἐκδ. «ἰδών σε» || ἔπτυξεν. — 15 ἠνεῴχθησαν.— 16 ἐκδ. «ἀνίσταντο».—19 πλάνος ὑπανόμων ἑώρων.—21 οἰκονομίαν] ἐκδ. «μακροθυμίαν» || ἐκδ. «καὶ τὸν λίθον τοῦ μνήματος χερσὶ σφραγισθέντα, αἷς σου τὴν ἀκήρατον πλευρὰν».—23 πλευρὰν ἐλόγχευσαν || τὴν ἡμῶν σωτηρίαν.—24 ἐβόων.—28 τῇ κτίσειν.

καλύπτει λίθος
τον καλύψαντα ἀρετῇ τοὺς οὐρανούς·
ὑπνοῖ ἡ Ζωὴ | καὶ Ἅιδης τρέμει
καὶ Ἀδὰμ τῶν δεσμῶν ἀπολύεται·
δόξα | τῇ σῇ οἰκονομίᾳ,
δι' ἧς τελείας πάντα
σαββατισμὸν αἰώνιον ἐδωρήσω ἡμῖν ὡς Θεός,
τὴν παναγίαν ἐκ νεκρῶν σου ἀνάστασιν.

Τί τὸ ὁρώμενον σήμερον;
τίς ἡ παροῦσα κατάπαυσις;
ὁ βασιλεὺς τῶν αἰώνων
τὴν διὰ πάθους τελέσας οἰκονομίαν
ἐν τάφῳ σαββατίζει,
καινὸν ἡμῖν παρέχων σαββατισμόν·
αὐτῷ | βοήσωμεν·
" ἀνάστα ὁ Θεὸς κρίνων τὴν γῆν,
ὅτι σὺ βασιλεύεις εἰς τοὺς αἰῶνας
ὁ ἀμέτρητον ἔχων τὸ μέγα ἔλεος ".

Ἦχος β' εἰς τὸ Δόξα.

Δεῦτε ἴδωμεν | τὴν ζωὴν ἡμῶν
ἐν τάφῳ κειμένην,
ἵνα τοὺς ἐν τάφῳ κειμένους ζωοποιήσῃ·
δεῦτε σήμερον
τὸν ἐξ Ἰούδα ὑπνοῦντα θεώμενοι,
προφητικῶς αὐτῷ ἐκβοήσωμεν·
" ἀναπεσὼν κεκοίμησαι ὡς λέων·
τίς ἐγερεῖ σε, βασιλεῦ;
ἀλλ' ἀνάστηθι αὐτεξουσίως
ὁ δοὺς ἑαυτὸν ὑπὲρ ἡμῶν ἑκουσίως·
Κύριε, δόξα σοι ".

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς:

Ἡ ἁγνὴ | παρθένος | καὶ μόνη Θεοτόκος
σὺν τῷ παρθένῳ μαθητῇ | τῷ σταυρῷ παρισταμένη
τῷ ἐξ αἱμάτων αὐτῆς | ὀδυνηρῶς ἐβόα·

6 διῆς.—9 ὁρώμενον.—10 κατάστασις?—11 βασιλεῦς.—12 διαπάθους.—18 ἀμέτρητον.—26 κεκοίμησε ὡς λέον.—28 ἀλλἀνάστηθι.—34 τὸν ἐξαιμάτων αὐτῆς· ὀδυνηρῶς.

Τί τοῦτο, | τέκνον, τὸ παράδοξον
καὶ ξένον θαῦμα βλέπω;
πῶς ὁ κατέχων τῇ χειρί σου τὰ σύμπαντα
ἐτάνθης | ἐπὶ τοῦ ξύλου,
ὁ τείνας οὐρανὸν ὡσεὶ δέρριν;
ὤρυξαν χεῖρας καὶ πόδας σου, τέκνον,
καὶ τὴν θείαν σου πλευρὰν ἐξεκέντησαν·
πεπλήρωταί μοι νῦν ὁ λόγος τοῦ πρεσβύτου·
ῥομφαία | τὴν καρδίαν μου διεσπάραξεν·
οὐ φέρω καθορᾶν σε γυμνὸν ἐπὶ τοῦ ξύλου·
οὐ Θωμᾶς οὐδὲ Πέτρος | συναποθνήσκουσιν ἄρτι,
μόνον, Λόγε τοῦ πατρὸς | καὶ υἱέ μου, λιπόντες σε·
Ἰωσὴφ δὲ τὴν εἰς σὲ
ὄντως ἐφύλαξε φιλίαν μέχρι τέλους·
συστέλλει σὺν ἐμοὶ τὸ ἄχραντόν σου σῶμα
καὶ ἐν τῷ καινῷ αὐτοῦ μνημείῳ
κηδεύει παραδόξως·
ἀλλὰ ἀνάστηθι, | ὡς δυνατὸς Θεὸς τοῦ παντός,
ὅπως καγὼ | ἐν οὐρανῷ καὶ ἐπὶ γῆς δοξασθήσομαι.

Εὐθὺς τὸ «Φῶς ἱλαρὸν» καὶ μετὰ τὸ «Φῶς ἱλαρὸν» προκείμενον ἦχος α'· «Δίκασον, Κύριε, τοὺς ἀδικοῦντάς με· πολέμησον τοὺς πολεμοῦντάς με». Στίχ. «Ἐπιλαβοῦ ὅπλου καὶ θυρεοῦ καὶ ἀνάστηθι εἰς τὴν βοήθειαν μου». — Τῆς Ἐξόδου τὸ ἀνάγνωσμα (λγ', 11—23)· «Ἐλάλησεν Κύριος πρὸς Μωσῆν, ἐνώπιος ἐνωπίῳ, ὡς εἴ τις λαλήσει πρὸς τὸν ἑαυτοῦ» κτλ. Τέλος· «τὸ δὲ πρόσωπόν μου οὐκ ὀφθήσεταί σοι». — Προκείμενον, ἦχος δ'· «Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον». Στίχ. «Ὁ Θεὸς ὁ Θεός μου, πρόσχες μοι· ἵνα τί ἐγκατέλιπές με»; Ἰὼβ τὸ ἀνάγνωσμα (μβ', 12 κἑ)· «Εὐλόγησον, Κύριε, τὰ ἔσχατα τοῦ Ἰὼβ μᾶλλον ἢ τὰ ἔμπροσθεν» κτλ. Τέλος· «μητρὸς δὲ Βοσσόρρας, ὥστε εἶναι αὐτὸν πέμπτον ἀπὸ Ἀβραάμ».— Εὐθὺς προκείμενον, ἦχος πλ. β'· «Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου». Στίχ. «Κύριε ὁ Θεὸς

6 χεῖρας.—7 πλευρὰν.—9 ῥομφαῖα.—10 καθορᾶνσε.—12 λειπόντες.—14 ὄντως.—15 συνεμοὶ τὸ ἄχραντος.—21 ἀδικοῦντας.—22 πολεμοῦντας.—26 οὐκωφθήσεταίσοι.

τῆς σωτηρίας μου· ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου». Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα (νβ', 13—νγ', 12)· «Ἰδοὺ συνήσει ὁ παῖς μου καὶ ὑψωθήσεται καὶ δοξασθήσεται καὶ μετεωρισθήσεται». Ζήτει εἰς τὴν ἕκτην ὥραν (σελ. 152)· καὶ μετὰ τὴν προφητείαν ταύτην λέ(γε) τὸν ἀπόστολον· Πρὸς Κορινθίους ἐπιστολῆς Παύλου (τὸ ἀνάγνωσμα· 1, α', 18—β', 2)· «Ἀδελφοί, ὁ λόγος ὁ τοῦ σταυροῦ τοῖς μὲν ἀπολλυμένοις». Ζήτει εἰς τὴν γ' ὥραν (σελ. 150). Καὶ εὐθὺς Ἀλληλούια, ἦχος πλ. β'. «Σῶσόν με ὁ Θεός, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου· ἐνεπάγην εἰς ὕλην βυθοῦ καὶ οὐκ ἔστιν ὑπόστασις». Στίχ. β'· «Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης καὶ καταιγὶς κατεπόντισέν με». Στίχ. γ'· «Ἔδωκαν εἰς τὸ βρῶμά μου χολὴν καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος· γενηθήτω ἡ τράπεζα αὐτῶν ἐνώπιον αὐτῶν εἰς παγίδα καὶ εἰς ἀνταπόδωσιν». Στίχ. δ'· «Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν». Εὐθὺς εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον (κζ', 1—61)· «Τῷ καιρῷ ἐκείνῳ συμβούλιον ἔλαβον πάντες οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ». Τέλος· «καθήμεναι ἀπέναντι τοῦ τάφου». Ὁ ἀρχιδιάκω(ν) τὸ εὐαγγέλιον τοῦτο ἀνα(γινώσκει), καὶ μετὰ τὸ εὐαγγέλιον λέγει «Καταξίωσον Κύριε τῇ ἑσπέρᾳ ταύτῃ», καὶ ψάλλομεν στιχηρὰ ἦχ(ου) πλ(αγίου) δ', πρὸς τὸ «Ὦ τοῦ παραδόξου θαύματος».

Ὦ τοῦ φοβεροῦ ὁράματος !
σήμερον νεκροειδῶς | ἐν σινδόνι εἱλίσσεται
ὁ ἐνδύων Κύριος | οὐρανὸν ἐν τοῖς νέφεσιν·
ὑπὸ μνημεῖον | τεθεὶς ἐνθάπτεται
αὐτὸς συνέχων χειρὶ τὰ σύμπαντα·
ὢ οἷον ἔλεος, | οἷα συγκατάβασις,
ὑπὲρ ἡμῶν | ἀθανατιζόμεθα·
Χριστὸν δοξάσωμεν.

Στίχ. «Ἔθεντό με ἐν λάκκῳ».

Ὦ τοῦ φοβεροῦ ὁράματος !
ὁ φῶς οἰκῶν θεϊκῶς | σαρκικῶς τάφον ᾠκησεν

2 ἰδοὺ. — 9 εἰσήλθωσαν. — 10 οὐκέστιν. — 11 κατεπόντησαν. — 12 ἐπότησαν. — 22 ὁράματος. — 23 ἡλίσσεται. — 24 ἐνδύων. — 27 οἷα. — 28 ἡμῖν ἀθανατιζόμεθα.

καὶ ὁρᾶται σήμερον | τοῖς ἐν Ἅιδου ἐξαίσιον·
διεμπιπρᾶται | Ἅιδης φθειρόμενος·
ἀναζωοῦται | Ἀδὰμ λαμπόμενος·
ὧ τῆς ἐκπλήξεως | τῶν ἐκεῖ ὁράσεων,
ὅτι' ὧν Χριστός | σώζει τοὺς πιστεύοντας
καὶ προσκυνοῦντας αὐτόν.

Στίχ. «Ὅτι οὐκ ἐγκαταλείψεις (τὴν ψυχήν μου) εἰς Ἅιδου, οὐδὲ δώσεις».

Ὦ τοῦ παραδόξου θαύματος !
ὁ τῶν ἁπάντων Θεὸς | καὶ τῇ φύσει ἀθάνατος
ἐν νεκροῖς λογίζεται | ἀφυπνώσας ὡς ἄνθρωπος,
καὶ ἐν μνημείῳ λίθῳ σφραγίζεται
καὶ τοῖς ἐν Ἅιδῃ συναναστρέφεται,
θέλων λυτρώσασθαι | παγγενῆ τὸν ἄνθρωπον
ἐκ τῆς φθορᾶς | Ἅιδου χειρωσάμενος
τὸ δεσμωτήριον.

Εἰς τὸ Δόξα... καὶ νῦν ἦχος. α'.

Σὲ τὸν ἀναβαλλόμενον | τὸ φῶς ὥσπερ ἱμάτιον,
καθελὼν Ἰωσὴφ ἀπὸ τοῦ ξύλου | σὺν Νικοδήμῳ
καὶ θεωρήσας νεκρὸν γυμνὸν ἄταφον,
εὐσυμπάθητον θρῆνον ἀναλαβών, | ὀδυρόμενος ἔλεγεν·
"οἴμοι, γλυκύτατε Ἰησοῦ,
ὃν πρὸ μικροῦ ὁ ἥλιος | ἐν σταυρῷ κρεμάμενον
θεασάμενος ζόφον περιεβάλλετο | καὶ ἡ γῆ τῷ φόβῳ ἐκυμαίνετο
καὶ διερρήγνυτο | ναοῦ τὸ καταπέτασμα·
ἀλλ' ἰδοὺ νῦν βλέπω σε | ὅτι' ἐμὲ ἑκουσίως
ὑπελθόντα θάνατον· πῶς σε κηδεύσω, Θεέ μου,
ἢ πῶς σινδόσιν εἰλήσω;
ποίαις χερσὶν δὲ προσψαύσω | τὸ σὸν ἀκήρατον σῶμα;
ἢ ποῖα ἄσματα μέλψω | τῇ σῇ ἐξόδῳ, οἰκτίρμον;
μεγαλύνω τὰ πάθη σου· | ὑμνολογῶ καὶ τὴν ταφήν σου,
σὺν τῇ ἀναστάσει κραυγάζων, | Κύριε, δόξα σοι ".

Εὐθὺς εἰσελεύσεται ὁ πατριάρχης εἰς τὸν Ἅγιον Τάφον καὶ ρογεύει τὴν ἁγίαν ζύμην· καὶ εὐθὺς τὸ «Νῦν ἀπολύεις» καὶ κά-

5 σώζων.—7 οὐκεγκαταλίψεις.—8 ὦ.—10 λογίζεσθαι· ἀφ' ὑπνώσας.—18 συννικοδήμω.—20 ὀδυρώμενος.—21 οἴμοι | προμικρού.—23 θεάμενος || ἐκυμένετω.—25 ἀλλιδού.—27 εἰλήσω.—29 ποία || οἰκτείρμον.

θισμα ἦχ(ου) β'. «Ὁ εὐσχήμων Ἰωσὴφ ἀπὸ τοῦ ξύλου καθελών». Καὶ ὁ διάκονος τὴν αἴτησιν καὶ ὁ ἱερεὺς εὐχὴν τῆς ἀπολύσεως.

Εὐχή.

«Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ σωτὴρ τοῦ κόσμου, ὁ καταξιώσας ἐν τῇ ὥρᾳ ταύτῃ θεῖναι τὴν θείαν σου ψυχὴν ἀντίλυτρον ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, ὡς ἂν ῥυσθῶμεν τῆς τοῦ θανάτου κατοχῆς καὶ ἁμαρτίας καὶ δουλεύσωμέν σοι ἐν καινότητι ζωῆς· ὁ τῷ οἰκείῳ αἵματι καθαρισμὸν ποιησάμενος ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν καὶ κράξας φωνῇ μεγάλῃ "πάτερ εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου", ῥῦσαι ἡμᾶς ἀπὸ πάσης διαβολικῆς περιστάσεως· χάρισαι ταῖς ψυχαῖς ἡμῶν κατάνυξιν καὶ τοῖς λογισμοῖς ἡμῶν μέριμναν τῆς ἐξετάσεως τῆς ἐν τῇ φοβερᾷ καὶ δικαίᾳ σου κρίσει· καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας ἡμῶν καὶ νέκρωσον τὰ μέλη ἡμῶν τὰ ἐπὶ τῆς γῆς, ἵνα, ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν· καὶ μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀφ' ἡμῶν, ἀλλὰ χεῖρα βοηθείας ὀρέξας ἀνάστησον ἡμᾶς ἀπὸ τοῦ πτώματος τῶν ἀνομιῶν ἡμῶν· σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, Θεὸς τοῦ ἐλεεῖν καὶ σώζειν καὶ ἀφιέναι ἁμαρτίας, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σοι πατρί, ἅμα τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν».

Καὶ ἀπολύ(ει).

ΤΑΞΙΣ ΤΗΣ ΑΓΡΥΠΝΙΑΣ.

Ἐν ταύτῃ τῇ νυκτὶ εἰς τὴν Ἁγίαν Ἀνάστασιν δεῖ εἶναι. Ἔρχονται οἱ μοναχοὶ Σπουδαῖοι καὶ ἄρχονται ὀπίσω τοῦ ζωοποιοῦ καὶ παναγίου Τάφου ἄνευ φωνῆς· ἀλλ' ἐν πραότητι καὶ φόβῳ πολλῷ

5 θηναι. — 7 κατωχῆς || καινώτητι. — 13 καθειλωσον. — 17 ἀφήμων || ὠρέξας. — 20 ἀναπέμπωμεν. — 25 τηνυκτι || δεῖ] δή. — 26 μοναχοι] χ χ ὁ σπου || ὀπίσω. — 27 φωνας ἀλλενπραότητι.

ἄρξονται τὸ «Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον» καὶ στιχολο(γοῦσι) τὸ «Μακάριος ἀνὴρ» καὶ τὸ Κύριε ἐκέκραξα» καὶ τὰ στιχηρὰ τὰ προγεγραμμένα εἰς τ(ὸν) ἑσπ(ερινὸν) ἕως τὸ «Νῦν ἀπολύεις». Καὶ τοτε ποιοῦσι λιτὴν ἐπὶ τὸ Ἅγιον Κρανίον καὶ ἐπὶ τὸν Ἅγιον Κωνσταντῖνον καὶ τῇ Ἁγία Φυλακῇ, ψάλλοντες ἀπὸ τὰ προγεγραμμένα στιχηρά· καὶ οὕτως, ἕως εἰσέλθωσιν εἰς τὴν Πόλην τῶν Μυροφόρων. Καὶ γίνεται ἀνάγνωσις, ἕως καταβαίνει ὁ πατριάρχης καὶ ἄρξεται τὸ ἐξάψαλμον.

ΤΩΙ ΣΑΒΒΑΤΩΙ ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

ὁ δευτεράριος θυμιάσει τὸν ναὸν ὅλον μετὰ δύο λαμπάδων, καὶ ὁ πατριάρχης καὶ ὁ κλῆρος ψάλλου(σι) τὸ ἐξάψαλμον μετὰ σιγήσεως καὶ ἡσυχίας πολλῆς, καὶ εὐθὺς τὸ «Θεὸς Κύριος». Ἦχος β', κάθισμα.

Ὁ εὐσχήμων Ἰωσὴφ | ἀπὸ τοῦ ξύλου καθελὼν
τὸ ἄχραντόν σου σῶμα | σινδόνι καθαρᾷ
εἱλήσας καὶ ἀρώμασιν ἐν μνήματι καινῷ
κηδεύσας ἀπέθετο· | ἀλλὰ τριήμερος ἀνέστη ὁ Κύριος
παρέχων τῷ κόσμῳ | τὸ μέγα ἔλεος

Εἰς τὸ Δόξα.

Ὅτε κατῆλθες πρὸς τὸν θάνατον ἡ Ζωὴ ἡ ἀθάνατος,
τότε τὸν Ἅδην ἐνέκρωσας τῇ ἀστραπῇ τῆς θεότητος·
ὅτε δὲ τοὺς τεθνεῶτας ἐκ τῶν καταχθονίων ἀνέστησας,
πᾶσαι αἱ δυνάμεις αἱ ἐπουρανίων ἐκραύγαζον
"Ζωοδότα, Χριστὲ ὁ Θεός, δόξα σοι".

Καὶ νῦν. Ἦχος β'.

Ὑπερδεδοξασμένη ὑπάρχεις, Θεοτόκε· | ὑμνοῦμέν σε·
διὰ γὰρ τοῦ σταυροῦ τοῦ υἱοῦ σου
κατελύθη ὁ Ἅδης | καὶ ὁ Θάνατος τέθνηκεν·

1 ἄρξουντ(αι) || ψυχῆ. — 2 τοκε. — 4 τὸ] τὸν. — 5 κωνσταντίνον. — 10 θυμιασι.— 12 ἡσυχίας.—15 ἄχραντοσσου || σινδὼνι καθαρᾷ.—16 ἠλίσας καὶ ἀρώμασιν.—17 κηδεῦσας.—27 υἱοῦ.

νεκρωθέντες ἀνέστημεν | καὶ ζωῆς ἠξιώθημεν·
τὸν παράδεισον ἐλάβομεν, | τὴν ἀρχαίαν ἀπόδοσιν· διὸ
εὐχαριστοῦντες βοῶμεν, | ὡς κραταιὸν
Χριστὸν τὸν Θεὸν ἡμῶν | καὶ μόνον πολυέλεον.

Καὶ εὐθὺς ἀνάγνωσις τοῦ ἁγίου Γρηγορίου ἐπισκόπου Νύσσης, ὅ ἐστιν "Ἐπαινετὸς καὶ οὗτος ὁ νόμος τῆς ἐκκλησίας" (Combefis, Auctarium novum σ. 828). Καὶ εὐθὺς μετὰ τὴν ἀνάγνωσιν στιχολογ(οῦμεν) τὸ «Μακάριοι οἱ ἄμωμοι»· ἦχος πλάγιος α'.

Τροπάρια ψαλλόμενα εἰς τὸ "Ἄμωμοι".

Ἦχος πλ. α'.

Τῶν ἀγγέλων | ὁ δῆμος κατεπλάγη
ὁρῶν σε τῇ ταφῇ προδοθέντα
καὶ σινδόνι | καὶ σμύρνῃ ὡς νεκρὸν εἰλιχθέντα·
ὃν ὁ Ἰωσὴφ | μνήματι κατέθετο,
τὸν τὰ πάντα ὁρακὶ | συμπεριέποντα.

Ὅμοιον.

Τῶν ἀγγέλων | ὁ δῆμος κατεπλάγη
ὁρῶν σε κηδευόμενον κάτω
καὶ σινδόνι | καὶ σμύρνῃ εἰλιττόμενον ἄπνουν,
ἐν δὲ τῷ καινῷ | μνήματι θαπτόμενον
ὥσπερ ξένον | τοῦ Ἰωσὴφ τὸν ὕψιστον.

Ὅμοιον.

Τῶν ἀγγέλων | ὁ δῆμος κατεπλάγη
ὁρῶν σε ἐν νεκροῖς λογισθέντα,
ὁ Ἀδὰμ δὲ | χορεύων σὺν τῇ Εὔᾳ ἐβόα
"τὸ ἀπολωλὸς πρόβατον ἐγώ εἰμι·
ἀνακάλεσαι με, | Σωτήρ, καὶ σῶσόν με.

Δόξα. Ὅμοιον.

Προσκυνοῦμεν | πατέρα καὶ τὸν τούτου
υἱόν τε καὶ τὸ ἅγιον πνεῦμα,
τὴν ἁγίαν τριάδα ἐν μιᾷ τῇ οὐσίᾳ,

2 ἐλάβωμεν.—6 οὕτως.—11 τηροῦμεν ὧδε τὴν ψαλτικὴν στίξιν, ὡς ἐν τῷ κώδικι κεῖται· οὕτω δὲ στικτέον καὶ τὰ ἐν τῇ 6-ῃ σελίδι ὁμογενῆ τροπάρια || κατεπλάγει. — 13 εἰλιχθέντα. — 14 κατέθεντο.—17 κατεπλάγει.—19 εἰλιττόμενον—23 κατεπλάγει. — 25 ευᾶ. — 27 ἀνακαλεσάμε.

*

σὺν τοῖς Σεραφὶμ κράζοντες τὸ " ἅγιος
ἅγιος ἅγιος εἶ, Κύριε ".

(Καὶ νῦν) Ὅμοιον.

Ζωοδότην | τεκοῦσα ἁμαρτίας,
παρθένε, τὸν Ἀδὰμ ἐλυτρώσω,
χαρμονὴν δὲ τῇ Εὔᾳ ἀντὶ λύπης παρέσχες·
ῥεύσαντα ζωῆς | ἴθυνε πρὸς ταύτην δὲ
ὁ ἐκ σοῦ σαρκωθεὶς | Θεὸς καὶ ἄνθρωπος.

Εὐθὺς ὑπακοή. Ἦχος β'.

Μετὰ τὸ πάθος πορευθεῖσαι ἐν τῷ μνήματι
πρὸς τὸ μυρίσαι τὸ σῶμά σου
αἱ γυναῖκες, Χριστὲ ὁ Θεός,
εἶδον ἀγγέλους ἐν τῷ τάφῳ καὶ ἐξέστησαν·
φωνῆς γὰρ ἤκουον ἐξ αὐτῶν,
ὅτι ἀνέστης Κύριος
δωρούμενος ἡμῖν τὸ μέγα ἔλεος.

Εὐθὺς ἀνάγνωσμα· λόγος τοῦ ἁγίου Ἐπιφανίου· «Τί τοῦτο σήμερον; σιγὴ πολλὴ ἐν τῇ»: (Migne, Patrol. Gr. τ. 43, σ. 440). Εὐθὺς τὸ «Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα»:

Τροπάρια ψαλλόμενα εἰς τὸν ν' (ψαλμόν).

Ἦχος β'.

Ὁ συνέχων ἅπασαν τὴν οἰκουμένην
ἐν νεκροῖς λογίζεται
καὶ ἐν τῷ Ἅιδῃ κατελθὼν
ἀθανασίαν χαρίζεται
τοῖς ἀπ' αἰῶνος ἐκεῖσε καθεύδουσιν·
ὁ ἐλεήμων Θεός, ἐλέησόν με.

Εἰς τὸ Δόξα· «Ταῖς τῆς Θεοτόκου πρεσβείαις». Εὐθὺς τὸν κανόνα φέροντα ἀκροστιχίδα τήνδε· τοῦ μὲν Μάρκου «Καὶ σήμερον δέ», τοῦ δὲ Κοσμᾶ «Καὶ σάββατον μέλπω μέγα», χωρὶς τῶν θεοτοκίων.

1 σεραφείμ. — 6 εὔα. — 7 ἤθυνε προστάτην. — 10 πορευθῆσαι. — 11 μυρῆσαι. — 18 σιγὴ πολλή. — 26 ἀπαἰῶνος ἐκεῖσαι. — 27 ὦ ἐλ. ὁ θεος. — 28 τὸν] τὸ. — 29 τῆδε.

Ὠδὴ α'. Ἦχος πλ. β'.

Κύματι θαλάσσης | τὸν κρύψαντα πάλαι
διώκτην τύραννον | ὑπὸ γῆν ἔκρυψαν
τῶν σεσωσμένων οἱ παῖδες· | ἀλλ' ἡμεῖς ὡς αἱ νεάνιδες
τῷ Κυρίῳ ἄσωμεν· | ἐνδόξως γὰρ δεδόξασται.

Ἅφρων γηραλέε, | ἀκόρεστε Ἅδη,
χαίνων ὑπόδεξαι | τὴν ἁπάντων ζωήν·
καταπιὼν γὰρ ἐμέσεις | ἃς προπέπωκας δικαίων ψυχάς·
καθελεῖ σε Κύριος· | ἐνδόξως γὰρ δεδόξασται.

Ἰησοῦ Θεέ μου, | ὑμνῶ σου τὰ πάθη·
ἐκὼν γὰρ τέθνηκας | ὑπὲρ τῆς πάντων ζωῆς
καὶ ἐν σινδόνι καὶ σμύρνῃ | κηδευθῆναι κατηξίωσας·
τὴν ταφὴν δοξάζω σου, | ὑμνῶ σου τὴν ἔγερσιν.

Τοῦ Μάρκου μοναχοῦ.

Κύριε σωτήρ μου, | ἐξόδιον ὕμνον
καὶ ἐπιτάφιον | ᾠδὴν σοι ἄσομαι
τῷ τῇ ταφῇ σου ζωὴν καὶ | τὰς εἰσόδους προξενήσαντι
καὶ θανάτῳ Θάνατον | καὶ Ἅδην θανατώσαντι.

Ἄνω σε ἐν θρόνῳ | καὶ κάτω ἐν τάφῳ
τὰ ὑπερκόσμια | καὶ ὑποχθόνια
κατανοοῦντα, Σωτήρ μου, | ἐδονεῖτο τῇ νεκρώσει σου·
ὑπὲρ νοῦν ὡράθης γὰρ | νεκρὸς ζωαρχικώτατος.

Ἵνα σου τῆς δόξης | τὰ πάντα πληρώσῃς,
καταπεφοίτηκας | ἐν κατωτάτοις τῆς γῆς·
ἀπὸ γὰρ σοῦ οὐκ ἐκρύβη | ἡ ὑπόστασίς μου ἡ ἐν Ἀδάμ,
καὶ ταφεὶς φθαρέντα με | καινοποιεῖς, φιλάνθρωπε.

Θεοτοκίον.

Σεσωματωμένον | τὸν σύνθρονον Λόγον
πατρὸς καὶ πνεύματος, | παρθένε, τέτοκας
τὸν προσηλώσαντα κόσμου | τὸ χειρόγραφον ἐν ξύλῳ σταυροῦ
καὶ ἐν τάφῳ σήμερον | τεθέντα ἑκουσίᾳ βουλῇ.

4 ἀλλήμεις ὡς αι.—6 γηραλεῖε || ἀκόραστε.—7 χάνον.—8 προπέποκας.—9 καθελεισαι. - 11 ἐκὼν.—13 ἐξῶδιον.—16 ἐπὶ τάφιον || ἄσωμεν. — 17 εκδ. «ζωῆς μοι τας εισοδους διανοίξαντι» || ζωὴ.—20 ὑπὲρ κόσμια.—25 ὑπὸ || οὐκεκρύβη.— 31 βουλή.

Ὠδὴ γ΄ Μάρκου.

Σὲ τὸν ἐπὶ ὑδάτων | κρεμάσαντα
πᾶσαν τὴν γῆν ἀσχέτως | ἡ κτίσις κατιδοῦσα
ἐν τῷ Κρανίῳ | κρεμάμενον | θαμβητικῶς συνείχετο,
" οὐκ ἔστιν ἅγιος | πλήν σου, Κύριε ", | κραυγάζουσα.
Σύμβολα τῆς ταφῆς σου | παρέδειξας,
τὰς ὁράσεις πληθύνας· | νῦν δὲ τὰ κρύφιά σου
θεανδρικῶς διετράνωσας | καὶ τοῖς ἐν Ἅιδῃ, δέσποτα,
" οὐκ ἔστιν ἅγιος | πλήν σου, Κύριε ", | κραυγάζομεν.
Ἥπλωσας τὰς ἀγκάλας | καὶ ἥνωσας
τὰ τὸ πρὶν διεστῶτα, | καταστολῇ δέ, Σῶτερ,
τῇ ἐν σινδόνι καὶ μνήματι | πεπεδημένους ἔλυσας,
" οὐκ ἔστιν ἅγιος | πλήν σου, Κύριε ", | κραυγάζοντας.
Μνήματι καὶ σφραγῖσιν, | ἀχώρητε,
συνεσχέθης βουλήσει· | καὶ γὰρ τὴν δύναμίν σου
ταῖς ἐνεργείαις ἐγνώρισας | θεουργικῶς τοῖς μέλπουσιν,
" οὐκ ἔστιν ἅγιος | πλήν σου, Κύριε ", | κραυγάζουσιν.

Θεοτοκίον.

Τὴν σὴν, παρθένε, μήτραν | κατῴκησεν
ὁ ἑκουσίως τάφῳ | κατατεθεὶς καὶ κόσμων
τῆς καταδίκης ἐρρύσατο· | ὦ εὐσεβοῦντες ψάλλομεν
" οὐκ ἔστιν ἅγιος | πλήν σου, Κύριε ", | φιλάνθρωπε.

Εὐθὺς κανδάκιον.

Ἦχος α΄, πρὸς τὸ «Ὅταν ἔλθῃ ὁ Θεός».

Ἐν σινδόνι καθαρᾷ | καὶ ἀρώμασιν θείοις
τὸ σῶμά σου τὸ ἅγιον | ἐξαιτήσας Ἰωσὴφ
τὸν Ἰησοῦν σμυρνίζει | καὶ τάφῳ κατατίθεται
τῷ ἑαυτοῦ ὁ παναοίδιμος· | ὅθεν ὄρθριαι
αἱ μυροφόροι γυναῖκες | ἀνεβόων σοι
" δεῖξον ἡμῖν, ὡς προεῖπας | Χριστέ, τὴν ἀνάστασιν ".

Ὁ οἶκος.

Ψάλλων Δαυὶδ | προϋπέφηνεν
τὴν κατάπαυσιν, | Ἰησοῦ, τοῦ πάθους σου,

δ οὐκέστιν. — 9 οὐκέστιν || ἐκδ. «κραυγάζουσιν». — 12 σινδόνη. — 13 οὐκέστιν. — 14 σφραγίσειν. — 15 συνέσχέθης. — 17 οὐκέστιν [| κραυγάζουσιν] ἐκδ. «φιλάνθρωπε». — 22 οὐκέστιν. — 25 ἀρώμασιν. — 28 τω] τὸν. — 29 ἀνεβόουν.

"Ἄρατε πύλας οἱ ἄρχοντες" | λέγων
"καὶ αἱ πύλαι αἰώνιοι ἐπάρθητε·
οἱ μοχλοὶ καταθλάσθητε·
ὁ τῆς δόξης γὰρ Κύριος | ἐπὶ σὲ ἐλεύσεται
ἐν τῷ Ἅδῃ, ὡς γέγραπται,
καὶ ἀναστήσει | τοὺς ἀπ' αἰῶνος θανέντας
παραβάσει, τὸν Ἀδὰμ μετὰ τῆς Εὔας
καὶ ἁγίων τὰς χορείας, | πάντας τοὺς παρανόμους
καὶ μετὰ τὸν Νῶε | καὶ ἕως νῦν ἐκλάμψαντας·
μεθ' ὧν ἐξαιτοῦμέν σε | καὶ ἡμῖν ἀναδεῖξαι,
(Ν α Ν α) Χριστὲ τὴν ἀνάστασιν.

Καὶ ἀνάγνω(σις). Καὶ εὐθὺς

Ὠδὴ δ' τοῦ Μάρκου.

Τὴν ἐν σταυρῷ σου θείαν κένωσιν
προορῶν Ἀμβακοὺμ | ἐξεστηκὼς ἐβόα·
"σὺ δυναστῶν διέκοψας | κράτος, ἀγαθέ,
ὁμιλῶν τοῖς ἐν Ἅδῃ | ὡς παντοδύναμος.

Ἑβδόμην σήμερον ἡγίασας,
ἣν εὐλόγησας πρὶν | καταπαύσει τῶν ἔργων·
παράγεις γὰρ τὰ σύμπαντα | καὶ καινοποιεῖς
σαββατίζων, Σωτήρ μου, | καὶ ἀνακτώμενος.

Ῥωμαλεότητι τοῦ κρείττονος
ἐκνικήσαντός σου | τῆς σαρκὸς ἡ ψυχή σου
διήρηται· σπαράττουσιν | ἄμφω γὰρ δεσμοὺς
τοῦ Θανάτου καὶ Ἅδου, | Λόγε, τῷ κράτει σου.

Ὁ Ἅδης, Λόγε, συναντήσας σοι
ἐπικράνθη, βροτὸν | ὁρῶν τεθεωμένον,
κατάστικτον τοῖς μώλωψι | καὶ πανσθενουργόν,
τῷ φρικτῷ τῆς μορφῆς δὲ | διαπεφώνηκε.

Θεοτοκίον.

Ἐν σοί, παρθένε, κατηλλάγημεν
οἱ βροτοὶ τῷ Θεῷ | καὶ τῆς ἀθανασίας

1 ἄρατε. — 5 ἅδει. — 6 ἀπαιῶνος. — 7 εὐας. — 8 χοριας || παρανόμου. — 10 μεθων. — 15 ἐξεστηκῶς. — 16 κρτος. — 19 ἡν. — 22 ρωμαλαιότητι. — 23 ψυχῆ. — 24 διείρηται || ἄμφω. — 28 πανσθενουργών. — 31 κατηλλάγειμεν.

ἐτύχομεν, πανάμωμε· | ὁ σὸς γὰρ υἱὸς
ἐν τῷ τάφῳ ὑπνώσας | ζωὴν παρέσχεν ἡμῖν.

Ὠδὴ ε' τοῦ Μάρκου.

Θεοφανείας σου, Χριστέ, | τῆς πρὸς ἡμᾶς
συμπαθῶς γενομένης,
Ἡσαΐας φῶς ἰδὼν ἀνέσπερον
ἐκ νυκτὸς ὀρθρίσας ἐκραύγαζεν
"ἀναστήσονται οἱ νεκροὶ
καὶ ἐγερθήσονται | οἱ ἐν τοῖς μνημείοις
καὶ πάντες οἱ ἐν τῇ γῇ | ἀγαλλιάσονται".
Νεοποιεῖς τοὺς γηγενεῖς | ὁ πλαστουργὸς
χοϊκὸς χρηματίσας,
καὶ σινδὼν καὶ τάφος συνεμφαίνουσι
τὸ συνόν σοι, Λόγε, μυστήριον·
ὁ εὐσχήμων γὰρ βουλευτὴς
τὴν τοῦ σε φύσαντος | μορφὴν σχηματίζει,
ἐν σοὶ μεγαλοπρεπῶς | καινοποιούμενος.
Διὰ θανάτου τὸ ἄνητόν, | διὰ ταφῆς
τὸ φθαρτὸν σχηματίζεις·
ἀφθαρτίζεις γὰρ θεοπρεπέστατα
ἀπαθανατίσας τὸ πρόσχημα·
ἡ γὰρ σαρξ σου διαφθορὰν
οὐκ οἶδεν, δέσποτα, | οὐδὲ ἡ ψυχή σου
εἰς Ἅιδην θεοπρεπῶς | ἐγκαταλέλειπται.
Ἐξ ἀλοχεύτου προελθὼν | καὶ λογχευθεὶς
τὴν πλευράν, πλαστουργέ μου,
ἐξ αὐτῆς εἰργάσω τὴν ἀνάπλασιν
τὴν τῆς Εὔας, Ἀδὰμ γενόμενος,
ἀφυπνώσας ὑπερφυῶς
ὕπνον φυσίζωον | καὶ ζωὴν ἐγείρας
ἐξ Ἅιδου καὶ τῆς φθορᾶς, | ὡς παντοδύναμος.

4 τῆς] τὴν.—5 κῶδ. «γεναμένην»· ἐκδ. «γενομένης».—6 ἡσαΐας.—12 χρηματήσας.—13 κῶδ. «συνέμφαίνουσι»· οὕτω καὶ ἡ ρωμ. ἐκδοσις, ἡ δ' ἑνετικὴ (Νικοδήμου ἑορτοδρόμιον σ. 390) «ὑπεμφαίνουσι». — 16 μορφὴν] ἐκδ. «βουλήν». — 17 ἐκδ. «καινοποιοῦντός με» ἢ «καινοποιοῦντος ἡμᾶς».—18 διαθανάτου || σχηματίζεις] ἐκδ. «μεταβάλλεις».—21 ἀπαθανατήσας || κῶδ. «πρόσχημα»· ἐκδ. «πρόσλημμα».—22 διαφθορὰν.—23 οὐκοἶδεν || ψυχή.—24 θεοπρεπῶς] ἐκδ. «ξενοπρεπῶς».—25 ἐξαλογχεύτου. — 29 ἀφυπνώσας ὑπὲρ φυῶς.—31 ἐκδ. «ἐξ ὕπνου καὶ τῆς σαρκὸς» ἢ «τῆς φθορᾶς».

Θεοτοκίον.

" Ἐν τοῖς νεκροῖς πῶς ἡ Ζωὴ | καὶ ἐν θνητοῖς,
ὁ Σωτήρ, ἐλογίσθη;
πῶς θανάτου γεύεται ὁ πλάστης μου;
πῶς δὲ κατοικεῖ ὑποχθόνια;
πάντως γὰρ ζωῶσαι νεκρούς,
νεκρῶσαι Θάνατον " | μητρικῶς θρηνοῦσα
ἐβόα πρὸς τὸν υἱὸν | ἡ ἀπειρόγαμος.

Ὠδὴ ς' τοῦ Κοσμᾶ.

Συνεσχέθη, | ἀλλ' οὐ κατεσχέθη
στέρνοις κητῴοις Ἰωνᾶς·
σοῦ γὰρ τὸν τύπον φέρων
τοῦ παθόντος καὶ ταφῇ δοθέντος
ὡς ἐν θαλάμῳ | τοῦ θηρὸς ἀνέθορε·
προσεφώνει δὲ | τῇ κοιλωδίᾳ·
" οἱ φυλασσόμενοι | μάταια καὶ ψευδῆ
ἔλεον αὐτοῖς | ἐγκατελίπετε ".

Ἀνῃρέθης, | ἀλλ' οὐ διῃρέθης,
Λόγε, ἧς μετέσχες σαρκός·
εἰ γὰρ καὶ λέλυταί σου
ὁ ναὸς ἐν τῷ καιρῷ τοῦ πάθους,
ἀλλὰ καὶ οὕτω | μία ἦν ὑπόστασις
τῆς θεότητος | καὶ τῆς σαρκός σου·
ἐν ἀμφοτέροις γὰρ | εἷς ὑπάρχεις υἱός,
Λόγος τοῦ Θεοῦ, | Θεὸς καὶ ἄνθρωπος.

Βροτοκτόνον, | ἀλλ' οὐ θεοκτόνον
ἔφυ τὸ πταῖσμα τοῦ Ἀδάμ·
εἰ γὰρ καὶ πέπονθέν σου
τῆς σαρκὸς ἡ χοϊκὴ οὐσία,
ἀλλ' ἡ θεότης | ἀπαθὴς διέμεινε·
τὸ φθαρτὸν δέ σου | πρὸς ἀφθαρσίαν
μετεστοιχείωσας | καὶ ἀφθάρτου ζωῆς
ἔδειξας πηγήν | ἐξ ἀναστάσεως.

13 ταφην.—14 ἐκδ. «ἐκ θαλάμου».—16 ψευδη.—17 αυτον εγκατελιπατε.—18 αλλου.—25 λογου.—26 αλλου. —27 ἔφοιτοπταίσμα.— 29 χοϊκη.—33 εξαναστασεως.

Βασιλεύει, | ἀλλ' οὐκ αἰωνίζει
Ἅδης τοῦ γένους τῶν βροτῶν·
σὺ γὰρ τεθεὶς ἐν τάφῳ
κραταιᾷ ζωαρχικῇ παλάμῃ
τὰ τοῦ Θανάτου | κλεῖθρα διεσπάραξας
καὶ ἐκήρυξας | τοῖς ἀπ' αἰῶνος
ἐκεῖ καθεύδουσιν | λύτρωσιν ἀψευδῆ,
Σῶτερ, γεγονὼς | νεκρῶν πρωτότοκος.

(Θεοτοκίον).

Ἀποφάσει | τῇ πρὸς τὸν γενάρχην
πάντας βροτοὺς δὲ τῇ φθορᾷ
καταδεδικασμένους
οἰκτειρήσας ἐσαρκώθη κόρης
ἐξ ἀπειράνδρου | Λόγος ὁ ὑπέρθεος
καὶ τὸ φύραμα | ὅλον ὁ πλάστης
ἀναλαβόμενος | ἔλυσε τὴν ἀράν·
τάφῳ δὲ τεθεὶς | ζωὴν παρέσχεν πιστοῖς.

Τὸ κοντάκιον.

Ἦχος πλ. β', πρὸς τὸ «Χειρόγραφον εἰκόνα».

Τὴν ἄβυσσον | ὁ κλείσας | νεκρὸς ὁρᾶται,
καὶ σμύρνῃ καὶ σινδόνι | ἐνειλημένος
ἐν μνημείῳ κατατίθεται θνητὸς | ὁ ἀθάνατος·
γυναῖκες δὲ αὐτὸν | ἦλθον μυρίσαι
κλαίουσαι πικρῶς καὶ ἐκβοῶσαι·
" τοῦτο σάββατόν ἐστιν | τὸ ὑπερευλογημένον,
ἐν ᾧ Χριστὸς ἀφυπνώσας | ἀναστήσεται τριήμερος ".

Ὁ οἶκος.

Ἄνω τῶν ἀσωμάτων | ἐξέστησαν αἱ δυνάμεις,
ὁρῶσαι τὸν βασιλέα | ἀφυπνώσαντα ὡς ἄνθρωπον·
κάτω δὲ στρατιώτης | πλευρὰν τὴν τοῦ ζωοδότου
ἐκέντησεν | καὶ ἐξῆλθεν αἷμα καὶ ὕδωρ, ὡς γέγραπται,
δύο πηγὰς μυστικῶς | ἀναβλύσας ὁ φιλάνθρωπος,
ἐν αἷς ἀποπλύνωμεν | τὰ ψυχικὰ ἡμῶν μολύσματα

1 οὐκαιωνίζει. — 4 ἐκδ. «κραταιᾷ». — 5 κλεῖθρα. — 6 κῶδ «ἀπαιῶνος» ἐκδ. «αἰώνων». — 7 γεγονῶς. — 21 ἐνειλημμένος. — 22 ἐκδ. «ὡς θνητός».—23 μυρῖσαι. — 26 ἀφυπνώσας.— 29 ἀφυπνώσαντα.—30 πλευρᾶν.—33 ἀπὸ πλύνωμεν.

καὶ καθαροὶ αὐτῷ | μετὰ πίστεως προσέλθωμεν
σὺν Ἰωσὴφ καὶ Νικοδήμῳ τοῖς ὁσίοις
καὶ τοῦ ξύλου καθέλωμεν,
καὶ θάψωμεν τὸν ἐν θρόνῳ καὶ ἐν τάφῳ
ὑπάρχοντα, | καὶ βοήσωμεν σήμερον·
α α
(N N) "τοῦτο σάββατόν ἐστιν | τὸ ὑπερευλογημένον,
ἐν ᾧ Χριστὸς ἀφυπνώσας | ἀναστήσεται τριήμερος".

Ὠδὴ ζ' Κοσμᾶ.

Ἄφραστον θαῦμα! | ὁ ἐν καμίνῳ ῥυσάμενος
τοὺς ὁσίους | παῖδας ἐκ φλογὸς
ἐν τάφῳ νεκρὸς ἄπνους κατατίθεται
εἰς σωτηρίαν | ἡμῶν τῶν μελῳδούντων·
"λυτρωτὰ ὁ Θεός, | εὐλογητὸς εἶ".

Τέτρωται Ἅδης | ἐν τῇ καρδίᾳ δεξάμενος
τὸν τρωθέντα | λόγχῃ τὴν πλευράν,
καὶ στένει πυρὶ | θείῳ δαπανώμενος
εἰς σωτηρίαν | ἡμῶν τῶν μελῳδούντων·
"λυτρωτὰ ὁ Θεός, | εὐλογητὸς εἶ".

Ὄλβιος τάφος! | ἐν ἑαυτῷ γὰρ δεξάμενος
ὡς ὑπνοῦντα τὸν δημιουργόν,
ζωῆς θησαυρὸς | θεῖος ἀναδέδεικται
εἰς σωτηρίαν | ἡμῶν τῶν μελῳδούντων·
"λυτρωτὰ ὁ Θεός, | εὐλογητὸς εἶ".

Νόμῳ θανόντων | τὴν ἐν τῷ τάφῳ κατάθεσιν
ἡ τῶν ὅλων | δέχεται ζωή,
καὶ τοῦτον πηγὴν | δείκνυσιν ἐγέρσεως
εἰς σωτηρίαν | ἡμῶν τῶν μελῳδούντων·
"λυτρωτὰ ὁ Θεός, | εὐλογητὸς εἶ".

Μία ὑπῆρχεν | ἡ ἐν τῷ Ἅδῃ ἀχώριστος
καὶ ἐν τάφῳ | καὶ ἐν τῇ Ἐδὲμ
θεότης Χριστοῦ | σὺν πατρὶ καὶ πνεύματι,
εἰς σωτηρίαν | ἡμῶν τῶν μελῳδούντων·
"λυτρωτὰ ὁ Θεός, | εὐλογητὸς εἶ".

6 ὑπὲρ εὐλογημένον.—12 μελῳδοῦντων.—16 δαπανώμενος.—29 ἀδει.

Ὠδὴ η΄ Κοσμᾶ

Ἐκστηθι φρίττων, οὐρανέ, | καὶ σαλευθήτωσαν
τὰ θεμέλια τῆς γῆς· | ἰδοὺ γὰρ
ἐν νεκροῖς λογίζεται | ὁ ἐν ὑψίστοις οἰκῶν
καὶ τάφῳ σμικρῷ ξενοδοχεῖται·
οἱ παῖδες εὐλογεῖτε, | ἱερεῖς ἀνυμνεῖτε
καὶ ὑπερυψοῦτε | αὐτὸν εἰς τοὺς αἰῶνας.

Λέλυται ἄχραντος ναός, | τὴν πεπτωκυῖαν δὲ
συνανίστησι σκηνήν· | Ἀδὰμ γὰρ
τῷ προτέρῳ δεύτερος | ὁ ἐν ὑψίστοις οἰκῶν
κατῆλθες μέχρις Ἅδου ταμείων·
οἱ παῖδες εὐλογεῖτε, | ἱερεῖς ἀνυμνεῖτε
καὶ ὑπερυψοῦτε | εἰς πάντας τοὺς αἰῶνας.

Πέπαυται τόλμα μαθητῶν, | Ἀριμαθαῖος δὲ
ἀριστεύει Ἰωσήφ· | νεκρὸν γὰρ
καὶ γυμνὸν θεώμενος | τὸν ἐπὶ πάντων Θεόν,
αἰτεῖται καὶ κηδεύει κραυγάζων
" οἱ παῖδες εὐλογεῖτε, | ἱερεῖς ἀνυμνεῖτε
καὶ ὑπερυψοῦτε | αὐτὸν εἰς τοὺς αἰῶνας ".

Ὦ τῶν θαυμάτων τῶν καινῶν! | ὦ ἀγαθότητος
καὶ ἀφράστου ἀνοχῆς! | ἰδοὺ γὰρ
ὑπὸ γῆν σφραγίζεται | ὁ ἐν ὑψίστοις οἰκῶν
καὶ πλάνος Θεὸς συκοφαντεῖται·
οἱ παῖδες εὐλογεῖτε, | ἱερεῖς ἀνυμνεῖτε
καὶ ὑπερυψοῦτε | αὐτὸν εἰς τοὺς αἰῶνας.

(Θεοτοκίον).

Οἶκος τῆς δόξης ἀληθῶς | σὺ ὤφθης, πάναγνε,
ὡς τὸν πάντων ποιητὴν | τεκοῦσα
ἀνωδύνως, ἄχραντε· | ὃν καθορῶσα σταυρῷ
κρεμάμενον, | ὡς ἄπνουν δὲ καὶ τάφῳ
νεκρὸν κατατεθέντα, | θρηνωδοῦσα ἐβόας·
" σὲ ὑπερυψοῦμεν | εἰς πάντας τοὺς αἰῶνας ".

2 ἐκτισθη. — 6 οἱ] ἐκδ. «ὃν». — 7 αὐτὸν] ἐκδ. «εἰς πάντας». — 10 οἰκῶν. — 11 ἐκδ. «κατῆλθε».—12 οἱ] ἐκδ. «ὃν» || ανυμνεῖτε. — 13 ὑπερύψοῦτε. — 19 ὑπερύψοῦται || αὐτὸν] ἐκδ. «Χριστόν». — 20 ὦ. — 21 καὶ] ἐκδ. «ὦ» || ἰδοὺ. — 22 ἐνυψίστοις. — 23 πλᾶνος·—24 οἱ] ἐκδ. «ὃν».—25 αὐτὸν] ἐκδ. «εἰς πάντας».—30 ἄπνουν.

Ὠδὴ θ' Κοσμᾶ.

— Μὴ ἐποδύρου μου, μῆτερ, | καθορῶσα ἐν τάφῳ
ὃν ἐν γαστρὶ ἄνευ σπορᾶς συνέλαβες υἱόν·
ἀναστήσομαι γὰρ καὶ δοξασθήσομαι
καὶ ὑψώσω ἐνδόξως | ἀπαύστως ὡς Θεος
τοὺς ἐν πίστει καὶ πόθῳ | σὲ μεγαλύνοντας.

— Ἐπὶ τῷ ξένῳ σου τόκῳ | τὰς ὠδῖνας φυγοῦσα
ὑπερφυῶς | ἐμακαρίσθην, ἄναρχε υἱέ·
νῦν δέ σε, Θεέ μου, | ἄπνουν ὁρῶσα νεκρὸν
τῇ ῥομφαίᾳ τῆς λύπης | σπαράττομαι δεινῶς·
ἀλλ' ἀνάστηθι, ὅπως | μεγαλυνθήσομαι.

— Γῆ με κυλύπτει ἐκόντα, | ἀλλὰ φρίττουσιν Ἅδου
οἱ πυλωροὶ | ἡμφιεσμένον βλέποντες στολὴν
ἡμαγμένην, μῆτερ, τῆς ἐκδικήσεως·
τοὺς ἐχθροὺς ἐν σταυρῷ γὰρ | πατάξας ὡς Θεὸς
ἀναστήσομαι αὐθις | καὶ μεγαλύνω σε.

— Ἀγαλλιάσθω ἡ κτίσις, | εὐφραινέσθωσαν πάντες
οἱ γηγενεῖς· | ὁ γὰρ ἐχθρὸς σκυλεύεται Ἅδης·
μετὰ μύρων γυναῖκες προϋπαντάτωσαν·
τὸν Ἀδὰμ σὺν τῇ Εὔᾳ λυτροῦμαι παγγενῆ
καὶ τῇ τρίτῃ ἡμέρᾳ | ἐξαναστήσομαι.

— Μὴ ἐποδύρου με, μῆτερ, | ὡς θνητὸν ἐν τῷ τάφῳ
κατατιθέμενον ὁρῶσα σὸν υἱόν·
τὸ τοῦ Ἅδου κράτος σκυλεύσας ὡς δυνατὸς
τριημέρῳ ἐγέρσει | τὸν κόσμον φωτίσω
καὶ δοξάσω τοὺς πίστει | σὲ μεγαλύνοντας.

Εὐθὺς «Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν» καὶ τὸ ἐξαποστειλάριον πρὸς τὸ "Τοῖς μαθηταῖς συνέλθωμεν".

Ἐν μνήματι κατέπαυσεν | ἐν Σαββάτῳ, ὡς πάλαι,
ἐξ ἔργων ὧν ἐποίησεν | ὁ θεάνθρωπος Λόγος,
ὃν συναντήσας ὁ Ἅδης | ἐπικράνθη ἐμέσας
οὓς ἐξ Ἀδὰμ προπέπωκε, | θάνατος δὲ νεκροῦται,
καὶ γηγενεῖς γηθοσύνως | μέλπομεν σὺν ἀγγέλοις
"ἀνάστηθι, βοήθησον | ὁ Θεὸς τὸν λαόν σου".

2 μου sic — 5 ἐκδ. «ἐν δόξῃ». — 6 μεγαλύνομεν. — 7 ωδίνας. — 10 ρομφαια. — 12 ἐκώντα. — 19 προϋπαντάτωσαν. — 20 εὔα. — 22 με sic. — 30 ἐξεργων. — 33 μέλπωμεν.

Οὐσιῶν ἰδιότησιν | ὁ υἱός σου, παρθένε,
ὡς μὲν βροτὸς ἀφύπνωσεν, | ὡς Θεὸς δὲ ἀνέστη·
διαφθορὰν οὐχ ὑπέστη· | ὃν ἀεὶ εὐμενίζου
τῷ λαῷ καὶ τῇ πόλει σου | φῶς ἡμῖν ἀποστέλλειν,
ἡμερινοῦ | καὶ νυκτὸς προσκόμματος διασῴζον·
ὃς σὺν πατρὶ καὶ πνεύματι | εἷς Θεὸς προσκυνεῖται.

Τοῦ ἀκηράτου σώματος | ἐναπῳωρημένου,
κατατεθέντος τάφῳ τε, | ἵστατο ἡ παρθένος
ολοφυρμῷ ἐκβοῶσα | ' δέσποτα πανοικτίρμον,
ἀνάστηθι ὡς εὐσπλαγχνος, | πλῆσον χαρᾶς τὸν κόσμον,
ὃν εἰς γῆν, | Σῶτερ, κατελήλυθας ἑκουσίως·
θαυμάστωσον, μακρόθυμε, | καὶ ἐν τούτῳ σὴν δόξαν.

Εὐθὺς τοὺς αἴνους.

Στιχηρὰ ἦχου β' εἰς τοὺς αἴνους, πρὸς τὸ "Ὅτε ἐκ τοῦ ξύλου".

Ὅτε | ἐν τῷ τάφῳ σαρκικῶς
θέλων συνεκλείσθης ὁ φύσει | τῇ τῆς θεότητος
μένων ἀπερίγραπτος | καὶ ἀδιόριστος,
τὰ Θανάτου ἀπέκλεισας | ταμεῖα καὶ Ἅδου
ἅπαντα ἐκένωσας, Χριστέ, βασίλεια,
τότε | καὶ τὸ Σάββατον τοῦτο
θείας εὐλογίας καὶ δόξης
καὶ τῆς σῆς λαμπρότητος ἠξίωσας.

Ὅμοιον.

Ὅτε | ἡ τεκοῦσά σε ἀμνὰς
ὑπὸ Ἰουδαίων ἑώρα | σταυρούμενον, Ἰησοῦ,
δάκρυσιν συνείχετο | ἡ ἄμεμπτος ἐπὶ σοί,
μητρικῶς τε ὠδύρετο | ἐν τάφῳ ἰδοῦσα
σῶμα τοῦ Κυρίου μου νεκρὸν τιθέμενον·
ὅμως | ἀνιστάμενον γνοῦσα,
χαίρουσα ἐβόησε " δοξα
τῇ συγκαταβάσει σου, φιλάνθρωπε ".

1 ἰδιώτης. — 4 πόλη || ἀποστέλλων. — 5 διασώζων. — 7 ἐναπειωρημένου. — 9 ὁλοφυρμῶ || πανοικτείρμων. — 10 τοῦ κόσμου. — 11 κατελύληθας. — 18 ἀπερήγραπτος καὶ ἀδιώριστος. — 20 ἐκένωσας. — 21 τοῦτου. — 25 τεκούσασε ἀμνὰς. — 26 ἑώρα. — 28 ὀδύρετο || ἰδοῦσα. — 30 ὁμωσαν στάμενον.

Ἕτερα στιχηρὰ ἤχου α΄, πρὸς τὸ "Πανεύφημοι μάρτυρες".

Ὁ συνέχων, Κύριε, | τῆς γῆς | ἅπαντα τὰ πέρατα,
νῦν συνεσχέθης ἐν μνήματι·
διὸ ἐμφάνηθι | τοῖς σὲ προσδοκῶσιν·
σπεῦσον, ἐξεγέρθητι | ὁ ἄδυτος τῆς κτίσεως ἥλιος
καὶ φωταγώγησον | τὰς καρδίας τῶν τὴν θείαν σου
δοξαζόντων, | φιλάνθρωπε, ἔγερσιν.

Ὅμοιον.

Ἰδοὺ νῦν ἀνάκειται | ὑπνῶν | βασιλεὺς ἐν μνήματι,
ὁ κατὰ φύσιν ἀθάνατος· | βοήσωμεν αὐτῷ·
"ἡ ζωὴ τῶν πάντων, | ἀνάστα, βοήθησον
ἡμῖν διὰ παντὸς κινδυνεύουσιν,
ὅπως ἰδόντες σε | θυμηδίας καὶ φαιδρότητος
πληρωθῶμεν | ἀνυμνολογοῦντές σε.

Ὅμοιον.

Χριστὸς ἡ ζωὴ ἡμῶν | παθὼν | ἐν τῷ τάφῳ τέθειται,
μετὰ ψυχῆς δὲ γενόμενος | ἐν τοῖς κενεῶσι
τῆς γῆς, τὰ τοῦ Ἅδου | ζοφερὰ βασίλεια
σκυλεύει, ἁφαρπάσαι βουλόμενος
πάντας ἐξ αἰῶνος | οὓς κατέπιεν ὁ Θάνατος
βασιλεύσας | ἐπὶ τὸ ἀνθρώπινον.

Εἰς τὸ Δόξα πλ. β΄.

Δεῦτε μακαρίσωμεν ἅπαντες
Ἰωσὴφ τὸν ἀοίδιμον, ὃς τὴν ζωὴν τῶν ἁπάντων
ἐν νυκτὶ πρὸς Πιλᾶτον εἰσῆλθε καὶ ἠτήσατο
"δός μοι" λέγων "τὸν ξένον
τὸν μὴ ἔχοντα ποῦ τὴν κεφαλὴν αὐτοῦ κλῖναι·
δός μοι τοῦτον τὸν ξένον,
ὃν ὁ μαθητὴς ὁ δόλιος εἰς θάνατον παρέδωκεν·
δός μοι τοῦτον τὸν ξένον,
ὃν ἡ μήτηρ ὁρῶσα | ἐν σταυρῷ κρεμάμενον,
θρηνῳδοῦσα ἐβόα καὶ μητρικῶς ἠλάλαζεν:

4 ἐμφάνηθι. — 9 βασιλεῦς. — 10 καταφύσιν. — 12 διαπαντὸς || κινδυνεύοντας. 13 θυμηδίας. — 16 τέθηται. — 19 ἁφάρπασαι. — 20 ἐξαιῶνος· οὓς. — 27 αὐτοῦ κλῖναι.

οἴμοι, | τέκνον ἐμόν, | καὶ σπλάγχνον μου γλυκύτατον·
τοῦ Συμεὼν γὰρ ἡ ῥῆσις πεπλήρωται σήμερον,
λέγοντος ἐν τῷ ναῷ:
καὶ σοῦ μὲν τὴν καρδίαν | ρομφαία διελεύσεται,
ἀλλ' ἡ χαρὰ τῆς ἀναστάσεώς σου | τὸν θρῆνόν σου μετέβαλεν·
προσκυνῶ σου τὰ πάθη καὶ τὴν ἁγίαν ἀνάστασιν ".

Καὶ νῦν. Ἦχος β'.

Σὺν ταῖς ἄλλαις | ὀλοφυρομέναις | γυναιξὶν
ἡ σὲ τεκοῦσα, Χριστέ, | καὶ δάκρυσιν συγκεχυμένη
ἐν τῷ τάφῳ σε ἐπεζήτει·
μὴ εὑροῦσα δὲ τὸ ἄχραντον σῶμά σου,
ἐλεεινῶς θρηνοῦσα ὠδύρετο:
οἴμοι, | τέκνον ἐμόν· | ποῦ μετετέθης;;
πῶς δὲ καὶ ἐκλάπης; | γυμνὸν ἐσμυρνισμένον,
ἀλλ' ἐγερθέντα κατιδοῦσά σε | τὸν ὡραιότατον Κύριον,
πρώτη τὴν χαρὰν | εὐηγγελίσατο τοῖς ἀποστόλοις σου·
μεθ' ὧν ἀκαταπαύστως βοῶμεν | " δόξα ἐν ὑψίστοις Θεῷ
καὶ ἐπὶ γῆς εἰρήνη, | ἐν ἀνθρώποις εὐδοκία ".

Καὶ εὐθὺς οἱ ψάλται τὴν δοξολογίαν· εὐθὺς ἄρχεται καὶ ὁ πατριάρχης σὺν τῷ κλήρῳ, ποιοῦσιν εἴσοδ(ον) εἰς τὸ Ἅγιον Βῆμα. καὶ ἀναβαίνει ὁ πατριάρχης εἰς τὸ σύνθρονον καὶ γίνεται καθέδρα καὶ ψάλλου(σι) τὸ τροπ(άριον) τοῦτο (εἰς) ἦχον β'.

Ὁ συνέχων τὰ πέρατα | τάφῳ συσχεθῆναι κατεδέξω, Χριστέ,
ἵνα τῆς τοῦ Ἅδου καταπτώσεως | λυτρωσῃς τὸ ἀνθρώπινον
καὶ ἀθανατίσας ζωώσῃς ἡμᾶς | ὡς Θεὸς ἀθάνατος.

Καὶ μετὰ τοῦτο ψάλλου(σι) τρεῖς διάκονοι τὰ ἐπακουστὰ ἔμπροσθεν τοῦ Ἁγίου Τάφου. Μετὰ τὴν συναπτὴν ἦχος β'· «Ἕνεκε τῆς ταλαιπωρίας τῶν πτωχῶν καὶ τῶν στεναγμῶν τῶν πενήτων, νῦν ἀναστήσομαι λέγει Κύριος». Στίχ. «Σῶσόν με, Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος». — Ἕτερον ἐπακουστόν· ἦχος δ'· «Ἀνάστα, Κύριε· βοήθησον ἡμῖν καὶ λύτρωσαι». Στίχ. «Σὺ εἶ αὐτὸς ὁ βασιλεὺς

1 οἴμοι || σπλάγχνων. — 2 ῥῆσις. — 4 καρδίαν· ρομφαῖα. — 8 συνταῖς || ὀλοφυρωμέναις. — 10 ἐπεζήτη. — 12 ὠδύρετο. — 13 οἴμοι. — 14 ἐσμυρνησμένον. — 15 ἀλλέγερθέντα || ὡραιώτατον. — 17 μεθῶν.—24 λυτρώση.—25 ἀθανατήσας. —28 τοὺς ἀναστεναγμούς.— 30 ἐκλέλιπ(εν).

καὶ ὁ Θεός μου». Τὸ αὐτὸ προκείμενον, ἦχος δ'· «Ἀνάστα, Κύριε· βοήθησον ἡμῖν καὶ λύτρωσαι ἡμᾶς ἕνεκε τοῦ ὀνόματός σου». Στίχ. «Ὁ Θεός, ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν».—Προφητείας Ἰεζεκιὴλ τὸ ἀνάγνωσμα (λζ', 1—14)· «Ἐγένετο ἐπ' ἐμὲ χειρ Κυρίου καὶ ἐξήγαγέν με» κτλ. Τέλος· «ἐλάλησα καὶ ποιήσω λέγει Κύριος Κύριος».—Προκείμενον, ἦχος πλ. β'. «Ἀνάστηθι, κύριε ὁ Θεός μου· ὑψωθήτω ἡ χειρ σου· μὴ ἐπιλάθῃ τῶν πενήτων σου εἰς τέλος». Στίχ. α'. «Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου». Στίχ. β'. «Εὐφρανθήσομαι καὶ ἀγαλλιάσομαι ἐν σοί». Εὐθὺς ὁ ἀπόστολος· Πρὸς Κορινθίους ἐπιστολῆς (Παύλου τὸ ἀνάγνωσμα ε', 6—8)· «Ἀδελφοί, μικρὰ ζύμη ὅλον τὸ φύραμα» κτλ. Τέλος· «ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας». — Πρὸς Γαλάτας ἐπ(ιστολῆς Παύλου τὸ ἀνάγνωσμα· γ', 13—14)· «Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας» κτλ. Τέλος· «ἐπαγγελίαν τοῦ πνεύματος λάβωμεν διὰ τῆς πίστεως». Εὐθὺς ἀλληλούια, ἦχος δ'. Στίχ. «Ἀναστήτω ὁ Θεὸς καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες». Εὐαγγέλιον κατὰ Ματθαῖον, κεφάλαιον τνα', ἀνάγ(νωσμα)· «Τῷ καιρῷ ἐκείνῳ τῇ ἐπαύριον, ἥτις ἐστὶν μετὰ τὴν Παρασκευήν». Τέλος· «σφραγίσαντες τὸν λίθον μετὰ τῆς κουστωδίας» (Ματθ. κζ', 62—65)· Καὶ εὐθὺς μετὰ τὸ εὐαγγέλιον ψάλλομεν στιχηρὰ (εἰς) ἦχον πλαγιον β'.

Τὴν σήμερον μυστικῶς
ὁ μέγας Μωσῆς προδιετυποῦτο λέγων
" καὶ εὐλόγησεν ὁ Θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην·
τοῦτο γάρ ἐστιν | τὸ εὐλογημένον σάββατον·
αὕτη ἐστιν | ἡ τῆς καταπαύσεως ἡμέρα,
ἐν ᾗ | κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ
ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ
διὰ τῆς κατὰ τὸν θάνατον οἰκονομίας
τῇ σαρκὶ σαββατίσας
καὶ εἰς ὃ ἦν | πάλιν ἐπανελθών·
διὰ τῆς ἀναστάσεως ἐδωρήσατο ἡμῖν

4 ἐπερέ.—12 ειλικρινίας.—19 παρασκευειν.—22 μυστικῶς.—25 γαρ εστιν.—29 διατης.—32 διατης

ζωὴν τὴν αἰώνιον,
ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

Στίχος· ἦχος πλ. β΄. «Ἐξέγειρον τὴν δυναστείαν σου».

Ἠτήσατο Ἰωσὴφ | τὸ σῶμα τοῦ Ἰησοῦ
καὶ ἀπέθετο ἐν τῷ καινῷ αὐτοῦ μνημείῳ·
ἔδει γὰρ αὐτὸν ἐκ τάφου, | ὡς ἐκ παστάδος προελθεῖν·
ὁ συντρίψας κράτος Θανάτου | καὶ ἀνοίξας πύλας παραδείσου
ἀνθρώποις, δόξα σοι.

Στίχος· ἦχος πλ. δ΄. «Νῦν ἀναστήσομαι λέγει Κύριος».

Σήμερον | ὁ Ἅδης στενων βοᾷ· | συνέφερέ μοι,
εἰ τὸν ἐκ Μαρίας γεννηθέντα μὴ ὑπεδεξάμην·
ἐλθὼν γὰρ ἐπ' ἐμὲ | τὸ κράτος μου ἔλυσεν·
πύλας χαλκᾶς συνέτριψε·
ψυχάς, ἃς κατεῖχον τὸ πρίν, | Θεὸς ὢν ἀνέστησε·
δόξα, Κύριε, τῷ σταυρῷ σου καὶ τῇ ἀναστάσει σου".

Δόξα. Ἦχος πλ. δ΄.

Σήμερον | ὁ Ἅδης στενων βοᾷ·
"κατελύθη μου ἡ ἐξουσία·
ἐδεξάμην θνητόν, | ὥσπερ ἕνα τῶν θανόντων·
τοῦτον γὰρ κατέχειν | ὅλως οὐκ ἰσχύω,
ἀλλὰ πολλῶν μετὰ τούτου, | ὧν ἐβασίλευον·
ἐγὼ εἶχον τοὺς νεκροὺς ἀπ' αἰῶνος·
ἀλλὰ οὗτος | ἰδοὺ πάντας ἐγείρει·
δόξα, Κύριε, τῷ σταυρῷ σου καὶ τῇ ἀναστάσει σου.

Ἦχος πλ. δ΄.

Σήμερον | ὁ Ἅδης στενων βοᾷ·
"κατεπόθη μου τὸ κράτος·
ὁ ποιμὴν ἐσταυρώθη | καὶ τὸν Ἀδὰμ ἀνέστησεν·
ὧνπερ ἐβασίλευον ἐστέρημαι,
καὶ οὓς κατέπιον ἰσχύσας, πάντας ἐξήμεσα·

5 μετὰ τὸ «ἀπέθετο» ἔχουσι τὰ ἔντυπα «αὐτό» || αὐτοῦ.—6 ἐκδ. «ἐκ τοῦ τάφου || παστάδος] ἐκδ. «τοῦ τόκου» || προελθών. — 7 κρᾶτος. — 12 ἐπεμέ. — 13 χαλκᾶς. — 14 τοπρὶν.—19 ἐκδ. «ἐδεξάμην γὰρ» || θανέντων. — 20 ἐκδ. «καὶ τοῦτον κατέχειν». — 21 πολλῶ || τοῦτον || ἐκδ. «ἀφαιροῦμαι, ὧν ἐβασίλευον» || ἐβασίλευων. — 22 ἀπαιῶνος. — 23 ἰδου.—29 ὄνπερ || ἐστέρημαι. — 30 ἐξέμεσα.

ἐκένωσε τοὺς τάφους ὁ σταυρωθείς·
οὐκ ἰσχύει τοῦ Θανάτου τὸ κράτος·
δόξα, Κύριε, τῷ σταυρῷ σου καὶ τῇ ἀναστάσει σου".

Εὐθὺς ὁ διάκονος τὴν αἴτησιν καὶ ἀπολύ(ει).

Καὶ ἐν τῇ δευτέρᾳ ὥρᾳ τῆς ἁγίας ταύτης ἡμέρας ἔρχονται οἱ(-αἱ), μυροφόροι καὶ ἄρξουνται πλύνειν τὰς κανδήλας καὶ ἀρτύσουν αὐτὰς καὶ θήσουν αὐτὰς ἔσωθεν τοῦ παναγίου καὶ ζωοποιοῦ Τάφου, παρόντος τοῦ πατριάρχου καὶ τοῦ ἀρχιδιακόνου καὶ τοῦ δευτεραρίου καὶ παραμοναρίου καὶ τρεῖς διάκονοι καὶ ψάλται· καὶ ἐν τῷ πολεμεῖν τὸ ἔργον αἱ μυροφόροι, ψάλλου(ν) τὸν κα(νόνα) καὶ τὴν ἀκολουθίαν τῶν ὡρῶν συντόμως. Καὶ ὅταν πληρώσουν πλύνειν τὰς κανδήλας καὶ ἀρτίζουν αὐτάς, ἄρχε Δόξα ἦχ(ου) πλ. β'· «Τὴν σήμερον μυστικῶς». Ζήτει αὐτό, ὅτι προεγράφη (σ. 177). Καὶ ὁ διάκονος τὴν αἴτησιν καὶ ἀπο(λύει). Καὶ τότε κλειδόνει ὁ πατριάρχης τὸν Ἅγιον Τάφον καὶ λαμβάνει τὰ κλειδ(ία) μετ' αὐτοῦ, καὶ τότε σβήσουν τὰς κανδήλας τοῦ ναοῦ ὅλ(ας)· καὶ ἀναβαίνει ὁ πατριάρχης εἰς τὰ Κατηχούμενα, ἵνα ψάλλῃ τὰς ὥρας αὐτ(οῦ)· καὶ ὅταν γίνετ(αι) ὥρα θ', σημ(αίνει) καὶ κατ(α)βα(ίνει), ἵνα ἐπιτελῇ τὴν ἀκολουθίαν . . . . . καθὼς συμφέρει ἡ ἀκολουθία εἰς τὸν ἑσπερινὸν καὶ ἡ λειτουρ(γία).

[Γίνεται] ἡ ἀκολουθία οὕτως τὸ ἑσπέρας. Ὅταν γίνετ(αι) ὥρα θ', καταβαίνει ὁ πατριάρχης σὺν τῷ κλήρῳ, ἀλλαγμένοι ἄσπρα, εἰς τὴν Ἁγίαν Ἀνάστασιν, ἄνευ φωταψία(ς) καὶ θυμιατ(οῦ)· καὶ τότε ἄρξουντ(αι) τὸ ἑσπερινὸν ὄπισθεν τοῦ Ἁγίου Τάφου ἐν γαληνότητι. «Εὐλόγει ἡ ψυχή μου». Στιχολογ(οῦμεν) τὸ «Μακάριος ἀνήρ»: τὸ «Κύριε ἐκέκραξα» ἦχος α'.

7 αὐτὰ καὶ θ. αὐτὰ || εἰ ἐσωθ(εν).—11 ὅταν || πλῆνειν.—12 αὐτα.—14 κλειδωνει.—16 μεταυτοῦ.—18 ὅταν.—19 ἵνα ἐπιτελεῖ || μετὰ τὸ «ακολουθίαν» ὑπάρχει οπή || καθὼς συμφέρῃ.—23 φωταυσία. — 24 γαληνότητ(ι). — 25 εὐλογη ἡ ψυχῆ.

Στιχηρὰ ἀναστάσιμα εἰς τὸ «Κύριε ἐκέκραξα». Ἦχος α΄.

Τὰς ἑσπερινὰς ἡμῶν εὐχὰς | πρόσδεξαι, ἅγιε Κύριε,
καὶ παράσχου ἡμῖν | ἄφεσιν ἁμαρτιῶν,
ὅτι μόνος εἶ ὁ δείξας | ἐν κόσμῳ τὴν ἀνάστασιν.

Ἦχος α΄.

Κυκλώσατε, λαοί, Σιών, | καὶ περιλάβετε αὐτήν
καὶ δότε δόξαν ἐν αὐτῇ | τῷ ἀναστάντι ἐκ νεκρῶν,
ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν
ὁ λυτρωσάμενος ἡμᾶς | ἐκ τῶν ἀνομιῶν ἡμῶν.

Ἦχος α΄.

Δεῦτε, λαοί, ὑμνήσωμεν | καὶ προσκυνήσωμεν Χριστῷ,
δοξάζοντες αὐτοῦ τὴν ἐκ νεκρῶν ἀνάστασιν,
ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν
ὁ ἐκ τῆς πλάνης τοῦ ἐχθροῦ | τὸν κόσμον λυτρωσάμενος.

Ἀνατολικά. Ἦχος α΄.

Εὐφράνθητε, οὐρανοί· | σαλπίσατε, τὰ θεμέλια τῆς γῆς·
νοήσατε τὰ ὄρη· | εὐφροσύνη·
ἰδοὺ γὰρ ὁ Ἐμμανουὴλ τὰς ἁμαρτίας ἡμῶν
τῷ σταυρῷ προσήλωσε,
καὶ ζωὴν ὁ διδοὺς | θάνατον ἐνέκρωσεν,
τὸν Ἀδαμ ἀναστήσας, | ὡς φιλάνθρωπος.

Ὁ σταυρὸν ἑκουσίως καταδεξάμενος Σωτὴρ
καὶ ταφὴν ὑπομείνας
καὶ ἀναστὰς ἐν νεκρῶν, Χριστὲ ὁ Θεὸς ἡμῶν,
ὄλεσον ὡς οἰκτίρμων
τῶν βαρβάρων τὰ ἔθνη τῇ δυνάμει σου
καὶ σῶσον τοὺς δοξάζοντας,
εὐσπλαγχνε, τὴν τριήμερόν σου ἀνάστασιν.

Τῷ σαρκὶ ἑκουσίως | σταυρωθέντι δι' ἡμᾶς,
παθόντι καὶ ταφέντι | καὶ ἀναστάντι ἐκ νεκρῶν
ὑμνήσωμεν λέγοντες·
" στήριξον ὀρθοδοξίαν, | τὴν ἐκκλησίαν σου, Χριστέ,
καὶ εἰρήνευσον | τὴν ζωὴν ἡμῶν,
ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

4 δεῖξας. — 18 ἰδου. — 23 ὑπομεῖνας.—25 ὦλεσον.—29 διἡμᾶς.—32 ὀρθοδοξίαν.

Τὸν τῷ πατρὶ συνάναρχον | καὶ συναΐδιον Δόγον,
τὸν ἐκ παρθενικῆς νηδύος | σαρκωθέντα ἀῤῥάστως
καὶ σταυρὸν καὶ θάνατον
δι' ἡμᾶς ἑκουσίως καταδεξάμενον | καὶ ἀναστάντα ἐν δόξῃ
ὑμνήσωμεν λέγοντες·
" Ζωοδότα Κύριε, δόξα σοι, | ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν ".

Ὁ βασιλεὺς τῶν οὐρανῶν διὰ φιλανθρωπίαν
ἑκὼν ἐσταυρώθη καὶ ἑκὼν ἐτάφη·
τοῦτον συναντήσας | ὁ Ἅδης ἐπικράνθη·
τοῦτον ἐδέξαντο αἱ ψυχαὶ τῶν δικαίων·
Ἀδὰμ ἀνέστη | ἰδὼν τὸν κτίστην ἐν τοῖς καταχθονίοις·
ὦ τοῦ θαύματος !
πῶς ἡ ζωὴ θανάτου γεύεται;
πῶς δὲ τὸ φῶς ἐν Ἅδῃ ἔρχεται;
πάντως ὡς ἠβουλήθη,
ἵνα φωτίσῃ κόσμον κραυγάζοντα καὶ λέγοντα
" Ζωοδότα, Κύριε, δόξα σοι | ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν ".

Εἰς τὸ Δόξα ἦχος α'.

Τὴν παγκόσμιον δόξαν,
τὴν ἐξ ἀνθρώπων σπαρεῖσαν
καὶ τὸν δεσπότην τεκοῦσαν,
τὴν ἐπουράνιον πόλιν,
ὑμνήσωμεν. Μαριὰμ τὴν παρθένον,
τῶν ἀσωμάτων τὸ ἄσμα
καὶ τῶν πιστῶν τὸ ἐγκαλλώπισμα·
αὕτη γὰρ ἀνεδείχθη οὐρανὸς
καὶ ναὸς τῆς θεότητος·
αὕτη τὸ μεσότειχον
τῆς ἔχθρας καθελοῦσα
εἰρήνην ἀντεισῆξε
καὶ τὸ βασίλειον ἠνέῳξε·
ταύτης οὖν κατέχοντες
τῆς πίστεως τὴν ἄγκυραν
ὑπέρμαχον ἔχομεν

7 βασιλεὺς || διαφιλανθρωπία. — 16 φωτίσει. — 20 σπαρίσαν. — 21 τεκοῦσα. — 22 πόλιν. — 23 ἐκδ. «Μαρίαν». — 24 ἄσμα. — 25 ἐγκαλώπισμα. — 28 μεσώτειχον. — 30 ἀντεισῆξε. — 33 ἄγκηραν. — 34 ἔχωμεν.

τὸν ἐξ αὐτῆς τεχθέντα Κύριον·
θαρσεῖτε τοίνυν,
θαρσεῖτε, λαὸς τοῦ Θεοῦ·
καὶ γὰρ αὐτὸς πολεμήσει
τοὺς ἐχθρούς, ὡς φιλάνθρωπος.

Εὐθὺς γίνεται εἴσοδος καὶ τὸ «Φῶς ἱλαρόν», καὶ γίνεται καθέδρα. Ὁ ψάλτης προκείμενον· «Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο». Στίχος· «Ἐνεδύσατο ὁ Κύριος δύναμιν καὶ περιεζώσατο». Στίχ. «Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται». Καὶ τότε ἄρχ(ονται) οἱ ἀναγνῶ(σται) ἀναγινώ(σκειν) τὰς προφητ(είας) τὰς ιε′ οὕτως. α′ «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν». Τέλος· «καὶ ἐγένετο πρωὶ ἡμέρα μία» (Γεν. α′, 1-5).—β′ Ἡσαΐου (ξ′, 1—16)· «Φωτίζου, φωτίζου ἡ νέα Ἱερουσαλήμ». Τέλος· «καὶ ἐξαιρούμενός σε ὁ Θεὸς Ἰσραήλ».—γ′ τῆς Ἐξόδου τὸ (ἀνάγνωσμα· ιβ′, 1—11)· «Εἶπεν Κύριος πρὸς Μωσῆν· ὁ μὴν οὗτος». Τέλος· «καὶ ἔδεσθε αὐτὸ μετὰ σπουδῆς· πάσχα Κυρίου». Εὐθὺς προκείμενον, ἦχος γ′· «Κύριος φωτισμός μου καὶ σωτήρ μου, τίνα φοβηθήσομαι»; Στίχ. «Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου ἀπὸ»:—δ′ Ἰωνᾶ τὸ ἀν(άγνωσμα· α′—δ′)· «Ἐγένετο λόγος Κυρίου πρὸς Ἰωνᾶν τὸν τοῦ Ἀμαθὶ λέγων»· Τέλος· «ἢ ἀριστερὰν καὶ κτήνη πολλά».—ε′ Ἰησοῦ τοῦ Ναυῆ· «Παρενέβαλον οἱ υἱοὶ Ἰσραὴλ ἐν Γαλγάλοις». Τέλος· «καὶ ἐποίησεν Ἰησοῦς οὕτω». — ς′ τῆς Ἐξόδου τὸ ἀνά(γνωσμα· ιγ′, 20—ιε′, 19)· «Ἐξάραντες υἱοὶ Ἰσραὴλ ἐκ Σοκχώθ». Τέλος· «οἱ δὲ υἱοὶ Ἰσραὴλ ἐπορεύθησαν διὰ ξηρᾶς ἐν μέσῳ τῆς θαλάσσης».

Ἐν ταύτῃ τῇ προφητείᾳ ὀφείλει ἵστανται οἱ δύο χοροί, καὶ ἵστανται μέσον αὐτῶν τρεῖς ψάλται· καὶ ὅταν πληρωθῇ ἕως τὸ "Ἄσωμεν τῷ Κυρίῳ", νὰ τὸ ψάλλουν αὐτὸ οἱ τρεῖς ψάλται· καὶ ἀποκρίνουσιν αὐτῶν (=αὐτοῖς) οἱ δύο χοροὶ "Ἐνδόξως γὰρ δεδόξασται"· καὶ οὕτως, ἕως ὅτου λέ(γουσιν) "οἱ δὲ υἱοὶ Ἰσραήλ",

2 ἐκδ. «θαρσείτω».—3 ἐκδ. «θαρσείτω.—4 πολεμεῖσει.—5 ἐκδ. «παντοδύναμος».—8 εὐπρέπεια ἀνεδύσατο.—11 ἀρχή.—13 ἡσαΐου.—16 ἔδεσθαι αὐτόν || σπουδής.—22 ναυΐ.—24 σοχώθ.—26 οφειλη.—27 μέσων.—28 νατὸ ψάλλουν αὐτά.

εἶτα λέγ(ουσιν) "Ἄσωμεν" εἰς τ(ὸν) ἦχον β'.—ζ' Εὐθὺς ὁ ἀναγνώστης· Προφητείας Σοφονίου τὸ ἀνάγνωσμα (γ', 8 – 15)· «Τάδε λέγει Κύριος· ὑπόμεινόν με εἰς ἡμέραν ἀναστάσεώς μου εἰς μαρτύριον». Τέλος· «καὶ οὐκ ὄψῃ κακὰ οὐκέτι».—η' Βασιλειῶν τὸ ἀνάγνωσμα (Γ', ιζ', 2—24)· «Ἐγένετο ῥῆμα Κυρίου πρὸς Ἠλιοὺ λέγον». Τέλος· «καὶ ῥῆμα Κυρίου ἐν τῷ στόματί σου ἀληθινόν».—θ' Ἡσαΐου τὸ (ἀνάγνωσμα· ξα', 20 - ξβ', 5)· «Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ». Τέλος· «οὕτως εὐφρανθήσεται Κύριος ἐπὶ σοί».—ι' Γενέσεως τὸ (ἀνάγνωσμα· κβ', 1—18)· «Ὁ Θεὸς ἐπείραζεν τὸν Ἀβραὰμ καὶ εἶπεν πρὸς αὐτόν». Τέλος· «ἀνθ' ὧν ὑπήκουσας τῆς ἐμῆς φωνῆς». — ια' Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα (ξα', 1 — 10)· «Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέν με». Τέλος· «καὶ εὐφροσύνῃ εὐφρανθήσονται ἐπὶ Κύριον».—ιβ' Βασιλειῶν τὸ (ἀνάγνωσμα· Δ', δ', 8—37)· «Ἐγένετο ἡμέρα καὶ διέβη Ἐλισαιέ». Τέλος· «καὶ ἔλαβεν τὸν υἱὸν αὐτῆς καὶ ἐξῆλθεν».—ιγ' Προφητείας Ἡσαΐου τὸ ἀνά(γνωσμα)· «Τάδε λέγει Κύριος· ποῦ ἐστιν ὁ ἀναγαγών». Τέλος· «καὶ τῶν ὁδῶν σου μνησθήσονται». — ιδ' Προφητείας Ἱερεμίου τὸ ἀνάγνωσμα «Τάδε λέγει Κύριος· ἰδοὺ ἡμέραι ἔρχονται». Τέλος· «οὐ μὴ μνησθῶ ἔτι».—ιε' Προφητείας Δανιὴλ τὸ ἀνά(γνωσμα· γ', 1 κἑ)· «Ἔτους ὀκτωκαιδεκάτου». Τέλος· «αἰνοῦμεν εὐλογοῦμεν προσκυνοῦμεν τὸν Κύριον».

Καὶ ὀφείλει δὲ πάλιν ἵστανται οἱ δύο χοροὶ καὶ ἕτεροι τρεῖς ψάλται, ἵνα ψάλλωμεν τὸ "Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον" (εἰς) ἦχον πλάγιον α'· καὶ ἀποκρίνουσιν οἱ δύο χοροὶ "Ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας"· καὶ οὕτως, ἕως τέλους τῆς προφητείας. Καὶ μετὰ τοῦτο εὐθὺς εἰσέλθῃ ὁ πατριάρχης εἰς τὸ Ἅγιον Βῆμα καὶ ρογεύει τὸ θυμίαμα τῶν μητροπολιτῶν καὶ ἐπισκόπων καὶ πρε(σβυτέρων), καὶ ἄρξουνται θυμιά-

2 σοφωνίου.—4 οὐ κόψῃ. — 6 λεγων || ἡσαΐου. — 11 ανθῶν ἐπήκουσας || ἡσαΐου. — 12 ἐπεμὲ || ἕνεκεν.—17 ἡσαΐου.—20 ἰδού.—22 ὀκτὼ καὶ δεκάτω. — 24 ἵστανται sic.—25 ψάλωμ(εν).—30 ἄρξουν θυμιάσιν.

σειν αὐτὸς καὶ οἱ ἀρχιερεῖς καὶ ἱερεῖς μετ' αὐτοῦ θυμιάσου(ν) τὸν ναὸν ἔξωθεν τοῦ Ἁγίου Τάφου, καὶ κυκλόνουν αὐτὸν γ' φοράς· καὶ αὐτὸς κεκλεισμένος· ὁμοίως καὶ ὁ ναὸς τρεῖς φοράς. Εὐθὺς ἐξέλθουσιν καὶ ἀναβαίνου(ν) εἰς τὸν Ἅγιον Γολγοθᾶν μετὰ τὸ θυμιάσειν κάτωθεν, ὁμοίως καὶ τὸν Ἅγιον Κῆπον καὶ τὸν Ἅγιον Κωνσταντῖνον καὶ τὴν Ἁγίαν Φυλακήν, ἕως οὗ ἔλθωσιν εἰς τὴν πύλην τῆς Ἁγίας Ἀναστάσεως, ἡ καλεῖται ἡ Πύλη τῶν Μυροφόρων. Τότε παραλαμβάνουσιν οἱ ὑποδιάκονοι τοὺς θυμιατοὺς ἐκ τῶν ἀρχιερέων καὶ ἱερέων, καὶ εἰσελεύσονται ὅλοι εἰς τὸ Ἅγιον Βῆμα, καὶ ἄρξε(ται) ὁ πατριάρχης τὸ "Κύριε ἐλέησον", ἐκτενῶς καὶ ἀκαταπαύστως· καὶ τότε ἐξέλθ(ῃ) ὁ πατριάρχης ἐκ τοῦ Βήματος αὐτός τε καὶ ὁ ἀρχιδιάκο(νος) καὶ ὁ πρωτοδιάκω(ν)— κρατοῦσιν τὰς χεῖρας αὐτοῦ ἔνθεν καὶ ἔνθεν — καὶ προπορεύεται ἔμπροσθεν αὐτῶν (ὁ) σακελλάριος καὶ ἀκολουθ(εῖ) αὐτῷ ὀπίσω ὁ παραμο(νάριος) καὶ ὁ καστρίσιος· καὶ τότε πίπτει ὁ πατριάρχης ἔμπροσθεν τοῦ Ἁγίου Βήματος ἐπὶ πρόσωπον, εἰς τὸ ἔδαφος, καὶ δεηθῇ μετὰ δακρύων ὑπὲρ τῶν τοῦ λαοῦ ἀγνοημάτων· καὶ ἐκτείνει τὰς χεῖρας αὐτοῦ πρὸς τὸ ὕψος. Ποιεῖται οὕτως τρίς, καὶ οἱ σὺν αὐτῷ ὁμοίως· καὶ ὁ λαὸς τὸ "Κύριε ἐλέησον" μὲ φωνὰς ἀδιαλείπτως. Καὶ τότε ἐν τῷ εἰσελθεῖν ὁ πατριάρχης εἰς τὸν Ἅγιον Τάφον καὶ οἱ μετ' αὐτοῦ, πίπτει ἐπὶ πρόσωπον τρὶς καὶ δεηθ(ῇ) καὶ παρακαλεῖ περὶ ἑαυτοῦ τε καὶ τοῦ λαοῦ· καὶ τότε ἄψει ἐκ τὸ ἅγιον φῶς καὶ δίδει εἰς τ(ὸν) ἀρχιδ(ιάκονον), καὶ ὁ ἀρχιδιάκω(ν) τῷ λαῷ· καὶ μετὰ τοῦτο εὐγένει ὁ πατριάρχης καὶ οἱ σὺν αὐτῷ, ψάλλοντ(ες) στιχηρὸν ἦχου α'. Εὐθὺς λιτὴ εἰς τὸν Ἅγιον Κωνσταντῖνον.

Φωτίζου φωτίζου ἡ νέα Ἱερουσαλήμ·
ἡ γὰρ δόξα Κυρίου ἐπὶ σὲ ἀνέτειλε·
χόρευε νῦν καὶ ἀγάλλου Σιών,

1 μεταυτοῦ. — 2 κυκλώνουν αὐτῶ γ' φορὰς. — 3 κεκλημ | φορὰς. — 5 θυμιάσειν] θυμιάσουν. — 6 κωνσταντίνον. — 7 πύλιν || ἡ] ον. — 9 ὅλη. — 13 χείρας. — 14 ἐμπροσθεν αὐτον || σακελά(ριος) || ὀπίσω. 16 βήματος || εἰσ'εδάφους. — 18 χείρας || τρεῖς. — 19 φωνὰς ἀδιαλήπτως. — 21 μεταυτοῦ || τρεῖς. — 24 εὐγένη | συναυτῶ.

σὺ δὲ ἀγνὴ τέρπου Θεοτόκε
ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

Στίχ. «Σοὶ πρέπει ὕμνος, ὁ Θεός, ἐν Σιὼν καὶ σοὶ ἀποδοθήσεται εὐχὴ ἐν Ἰερουσαλήμ». Ἦχος α΄.

Φωτίζου φωτίζου ἡ νέα Ἰερουσαλήμ·
ἥκει γὰρ σοι τὸ φῶς
καὶ ἡ δόξα Κυρίου ἐπὶ σὲ ἀνατέταλκεν·
τοῦτον τὸν οἶκον ὁ πατὴρ ᾠκοδόμησε·
τοῦτον τὸν οἶκον ὁ υἱὸς ἐστερέωσεν·
τοῦτον τὸν οἶκον
τὸ πνεῦμα τὸ ἅγιον ἀνεκαίνισεν,
τὸ φωτίζον καὶ στηρίζον
καὶ ἁγιάζον τὰς ψυχὰς ἡμῶν.

Στίχ. «Ἐπαίνει, Ἰερουσαλήμ, τὸν Κύριον· αἶνει τὸν Θεόν σου»: Ψάλλουντ(αι) οἱ δύο χοροὶ κατὰ στίχον τὸ «Φωτίζου φωτίζου ἡ νέα», καὶ οὕτως ψάλλομεν τὸ «Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ», «Δόξα τῳ πατρὶ καὶ τῷ υἱῷ καὶ τῳ ἁγίῳ πνεύματι»· καὶ οὕτως, ἕως οὗ πληρῶσιν τοὺς τρεῖς ψαλμ(οὺς) ἕως τοῦ Ἁγίου Κωνσταντίνου μετὰ λα(μ)π(ά)δ(ων). Εὐθὺς τὸ "Καταξίωσον, Κύριε, τῇ ἑσπέρα ταύτῃ»· καὶ μετὰ τὸ "Καταξίωσον" ψάλλομεν στιχηρὰ ἦχου [sic], πρὸς τὸ «Ὦ τοῦ παραδόξου θαύματος».

Φῶς ἑσπερινὸν ἐπέλαμψεν | τοῖς ἐν σκότει πᾶσιν,
μυστικῶς προάγγελον, | τοῦ πάσχα ἡ προπομπὴ
καὶ τῆς ἐγέρσεως· | ἰδοὺ γὰρ ὡς ὁ ὑπνῶν
ἐκ τῶν νεκρῶν ἐξανίσταται Κύριος,
τὰς πύλας καὶ τοὺς μοχλοὺς
τῇ θείᾳ δυναστείᾳ συντρίψας Χριστός,
καὶ ἀνακαινίζει πάντας | ὡς Θεὸς ἀθάνατος
τοὺς ἐν Ἅδῃ φθαρέντας,
τοῦ Θανάτου καθελὼν τὴν ἰσχύν.

Στίχ. «Φῶς ἀνέτειλε τῷ δικαίῳ καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ».

3 σιὼν.—6 ἥκει. — 11 ἀνεκενισεν. — 12 φωτίζων.—13 ἁγιάζων. — 15 ψαλουν (= ψάλλουσιν) || χοροὶ ?] ψαλμοὶ || κατασ. —16 ψάλμοι.—18 τὰς τρεῖς ψαλ.—20 τῆς ἑσπέρας ταύτης. — 23 προάγγελος· τὸ πάσχα. — 25 ἰδοὺ. — 30 καθελὼν. — 31 τῇ καρδία] τῇ καρε:

Ὅμοιον.

Ἔλαμψεν ἡμῖν ἡ πάμφωτος | καὶ σεπτὴ ἑσπέρα
τῆς Χριστοῦ ἐγέρσεως, | φωτίζουσα μυστικῶς
τὸν κόσμον σήμερον, | τῶν ζώντων καὶ τῶν νεκρῶν
πρὸς εὐφροσύνην φαιδρύνουσα πνεύματα·
διὸ Κυρίῳ, πιστοί, | πνευματικὴν ἑορτὴν ἑορτάσωμεν,
ὡς ἀπολυθέντες σκότους | καὶ φωτὶ τῆς γνώσεως
τὰς ψυχὰς ἐλλαμφθέντες | τῆς ἐνδόξου ἀναστάσεως.

Στίχ. «Ἐν τῷ φωτί σου ὀψόμεθα φῶς· παράτεινον τὸ ἔλεός σου».

Ὅμοιον.

Ἱερουσαλήμ, φαιδρύνθητι· | ἡ Σιών, εὐφραίνου·
οὐρανοί, ἀγάλλεσθε· | ἡ γῆ καὶ τὰ ἐν αὐτῇ,
ἀνακαινίζεσθε· | ἀπόστολοι τοῦ Χριστοῦ
σὺν μυροφόροις τῷ τάφῳ προφθάσατε·
κηρύξατε πανταχοῦ | τὴν ἐκ νεκρῶν τοῦ Σωτῆρος ἀνάστασιν,
καὶ πνευματικὴν ὁ κόσμος | ἑορτὴν εὕρταζε,
τοῦ Σαββάτου ἑσπέραν, | ὡς τὸ πάσχα προεκλάμπουσαν.

Εἰς τὸ Δόξα ἦχος α'· «Ὁ βασιλεὺς τῶν οὐρανῶν | διὰ φιλανθρωπίαν ἑκὼν ἐσταυρώθη καὶ ἑκὼν ἐτάφη. Ζήτει εἰς τὸ «Κύριε ἐκέκραξα»· γέγραπται (σ. 181). Καὶ εὐθὺς τὸ «Νῦν ἀπολύεις». Κάθισμα ἀπολ(υτίκιον), ἦχος α'· «Τοῦ λίθου σφραγισθέντος ὑπὸ τῶν Ἰουδαίων καὶ στρατιωτῶν». Εἶτα δίδει εὐχὴν ὁ πατριάρχης καὶ ἀνέρχεται ἐν τῷ Φωτιστηρίῳ, ἵνα βαπτίσῃ, καὶ πάλιν ὑποστρέφει εἰς τὸν Ἅγιον Κωνσταντῖνον καὶ ἄρξεται ἡ λειτουργία.

Ἀκολουθία τῆς λειτουργίας εἰς τὸν Ἅγιον Κωνσταντῖνον.

Στιχ(ηρὸν) εἰς τ(ὴν) εἴσοδ(ον)· ἦχος πλάγιος δ'· «Ὁ ἄγγελός σου, Κύριε, ὁ τὴν ἀνά(στασιν)»: Εὐθὺς Δόξα, ἦχος πλάγιος β'· τὸ κοντάκιον.

9 παράτειν. — 14 συμμυροφόροις τὸν τάφον. — 18 εἰς τὸ δόξα] εἰσ ℳ ϗ. — 19 διαφιλανθρωπίαν· ἑκὼν ‖ ἑκὼν. — 20 γέγραπται ?] ϥϥ

Τὴν ἄβυσσον ὁ κλείσας νεκρὸς ὁρᾶται
καὶ σμύρνῃ καὶ σινδόνι ἐνειλημένος
ἐν μνημείῳ κατατίθεται ὡς θνητὸς ὁ ἀθάνατος·
γυναῖκες δὲ αὐτὸν ἦλθον μυρίσαι,
κλαίουσαι πικρῶς καὶ ἐκβοῶσαι "·
" τοῦτο τὸ Σάββατόν ἐστιν | τὸ ὑπερευλογημένον,
ἐν ᾧ Χριστὸς ἀφυπνώσας | ἀναστήσεται τριήμερος ".

Καὶ ἀντὶ τὸ τρισάγιον λέ(γομεν)· «Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε· ἀλληλούια». Καὶ εὐθὺς προκείμενον, ἦχος πλάγιος δ'· «Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι». Στίχος· «Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ». Πρὸς Ῥωμαίους (ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα· ς', 3 - 11)· «Ἀδελφοί, ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν» κτλ. Τέλος· «ζῶντας δὲ τῷ Θεῷ ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν». Ἀντὶ τὸ " Ἀλληλούια" λέ(γομεν) τοῦτο τὸ στιχηρόν· ἦχος βαρύς· «Ἀνάστα ὁ Θεὸς κρίνων τὴν γῆν». Στίχ. «Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν, ἐν μέσῳ δὲ θεοὺς»: Ὁ β' τῶν διακό(νων) ἀνα(γινώσκει) τὸ εὐα(γγέλιον). Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου εὐαγγελίου (κη', 1 - 7)· «Ὀψὲ σαββάτων τῇ ἐπιφωσκούσῃ». Τέλος· «ἐκεῖ ὄψεσθε αὐτόν». Στιχηρὸν ψαλλόμενον εἰς τὰ ἅγια· ἦχος α'.

Τῆς λαμπρᾶς καὶ ἐνδόξου ἑορτασίμου ἀναστάσεως
τὰ σύμβολα μαθοῦσαι αἱ τοῦ Κυρίου μαθήτριαι,
ταῦτα τοῖς ἀποστόλοις εὐηγγελίζοντο λέγουσαι·
" μηκέτι κρύπτεσθε,
ἀλλὰ κηρύξατε τοῦ Σωτῆρος τὴν τριήμερον ἔγερσιν·
τὸν Ἅδην ἐσκύλευσεν | καὶ ἡμῖν ἐδωρήσατο
ἀφθαρσίαν καὶ ζωὴν καὶ ἀνάστασιν,
ὡς ἀγαθὸς καὶ φιλάνθρωπος ".

Στίχ. «Ἐξέγειρον τὴν δυναστείαν σου καὶ ἐλθέ»: καὶ ἀντὶ τὸ χερουβικόν, στιχηρὸν (εἰς) ἦχον πλάγιον δ'.

Ἐξηγέρθης, Χριστέ, ἐκ τοῦ μνήματος
ὡς δυνατὸς καὶ κατήσχυνας τοὺς μισοῦντάς σε·

2 ἐνειλημμένος.—17 συναγωγὴ θῶν || διακώ(νων).—19 σαββάτον τὴ επιφοσκουσει.

ἤτησαν γὰρ Πιλάτῳ περιφρουρῆσαι τὸ σῶμά σου,
καὶ σφραγῖδας τῷ λίθῳ ἐπεθηκαν
καὶ φυλακὰς κατέστησαν·
ὢ τῆς αὐτῶν πωρώσεως!
ἄκοντες | τὴν ἀνάστασιν ὑπέδειξαν·
μὴ θέλοντες ἡμᾶς εὐηργέτησαν | τοὺς εἰς σὲ πιστεύοντας·
ὥσπερ γὰρ προῆλθες ἐν κόσμῳ
καὶ τῆς παρθένου τὴν μήτραν | ἐτήρησας ἄφθορον,
οὕτως καὶ ἐκ τάφου ἀνέστης, | ἐσφραγισμένου τοῦ λίθου,
δεικνύων τὴν θεότητα·
πάντες οὖν ἐπαγαλλόμενοι βοήσωμεν·
" ἐξελοῦ τὸν λαόν σου, φιλάνθρωπε,
ἐκ χειρὸς τῶν βαρβάρων τῶν πολεμούντων ἡμᾶς
καὶ σῶσον τὰς ψυχὰς ἡμῶν ".

Καὶ τότε ὁρίσει ὁ πατριάρχης τῷ πρωτοπ(α)π(α) ἐπιτελειν τὴν λειτ(ου)ρ(γίαν) καὶ καταβαίνει ὁ πατριάρχης, ἵνα λειτουργήσῃ εἰς τὸν Ἅγιον Τάφον, ἔσωθεν, ἐπὶ τὸν Ἅγιον Λίθον. Καὶ τότε εἰσελεύσεται ὁ πατριάρχης καὶ ὁ ἀρχιδιάκονος εἰς τὸν Ἅγιον Τάφον ἐπιτελειν τὴν λειτουργίαν Ἰακώβου· οὕτως ἄρχεται λέγων ὁ ἀρχιδιάκω(ν)· «Σοφία· ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίου». Καὶ ὁ πατριάρχης ἀναγινώσκει τὸ εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ἰωάννην (κ', 1–18)· «Τῇ μιᾷ τῶν σαββάτων ἔρχεται Μαρία ἡ Μαγδαληνή». Τέλος· «καὶ ταῦτα εἰπεν αὐτῇ». Εἶτα τὰ ἅγια, καθὼς ἔμπροσθεν. Κοινωνικόν· «Σῶμα Χριστοῦ μεταλάβετε· πηγῆς ἀθανάτου γεύσασθε καί»: Ἀλληλούια· ἦχος πλάγιος β'· «Ἐξηγέρθη, ὡς ὁ ὑπνῶν, Κύριος καὶ ἀνέστη σώζων ἡμᾶς». Ἀλληλούια. Εὐχὴ τῆς ἀπολύσεως:— ὀπισθ(άμβωνος):—Τῷ ἁγίῳ καὶ μεγάλῳ Σαββάτῳ:—

«Ὁ τὸ μέγα κῆτος χειρωσάμενος Θεὸς καὶ ἐν τῇ καρδίᾳ τῆς γῆς τὸν ἀποστάτην δράκοντα συνθλάσας, τὸν νοῦν τὸν μέγαν τῶν Ἀσσυρίων, καὶ τάξας αὐτὸν εἰς τὸ καταπαίζεσθαι· ὁ τὸν θάνατον

2 σφραγῖδας. — 3 πορώσεως. — 15 ὁρήσει || τὸ || επιτελῆ.—16 λειτουργήσει.—19 ἐπιτελῆ || Ἰακώβου]πρῶτον ἔγραψεν ὁ καλλιγράφος: «Ἰωάννου τοῦ Χρυσοστόμου»· εἶτα δ' ἐξωβελίσας ταῦτα ἔγραψεν ἐπάνω τὸ «Ἰακώβου».—23 καθῶς ἔμπροσθ(εν).—24 κωνικ. 27 ὀπισθ:—30 ἀσυρίων.

θριαμβεύσας καὶ τοὺς δεσμοὺς αὐτοῦ διαλύσας, ὁ τὸ σκότος φωτίσας καὶ τὰ κεκρυμμένα δημοσιεύσας, ὁ τὸν Διάβολον καταισχύνας καὶ τῆς εἰδωλολατρείας τὴν ἀπάτην ἐκ γῆς ἐξορίσας, ὁ πύλας χαλκᾶς συντρίψας καὶ τὰς συνεχομένας ἁγίας ψυχὰς ἐξ Ἅδου κατωτάτου ἐλευθερώσας, σύντριψον τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα· ὑμνητὰς ἡμᾶς τῶν παθημάτων σου ποίησον, ἵνα καὶ τῆς δόξης τυχόντες τῆς ἐκ νεκρῶν σου ἀναστάσεως δοξάζωμέν σε τὸν πάντων ἀγαθῶν δοτῆρα καὶ αἴτιον, σὺν τῷ ἀνάρχῳ σου πατρὶ καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τ(οὺς αἰῶνας τῶν αἰώνων· ἀμήν). Καὶ εὐθὺς ἀπολύ(ει).

Καὶ ὅταν πληρῶμεν τὴν θείαν λειτ(ουργίαν) ἐπὶ τὸ(ν) Ἅγιον Λίθον καὶ ἀπολύ(ωμεν), ἀπομένουν δὲ οἱ(-αἱ) μυροφόροι, ἐλθόντες εἰς τὸν πανάγιον καὶ ζωποιὸν Τάφον, καὶ θυμιάζουν καὶ μυρίζουν αὐτόν· καὶ ὅτε ἐξελθόντες ἐκεῖθεν καὶ πὰς ὁ λαὸς ἐκ τὸν ναόν, κλειδόνου(ν) τὸν ναὸν καὶ οὐκ ἀπομένει ἐκεῖ οὐδὲ εἷς, καὶ μένει ὁ ναὸς οὕτως κλειδωμέν(ος), ἕως οὗ καταβαίνει ὁ πατριάρχης σὺν τῷ κλήρῳ ὄρθρου βαθέος.

† ΑΚΟΛΟΥΘΙΑ ΤΗΙ ΑΓΙΑΙ ΚΑΙ ΜΕΓΑΛΗΙ ΚΥΡΙΑΚΗΙ ΤΟΥ ΠΑΣΧΑ.

Εἰς τὸν ὄρθρον συνάγεται ὁ κλῆρος ὅλος εἰς τὸ Πατριαρχεῖον, εἰς το Σέκρετον, καὶ ἀλλάζει ὁ πατριάρχης καὶ ὁ κλῆρος στολία λευκά, καὶ νὰ ἔν(=ἔναι) ὄρθρ(ος) βαθ(ύς). Εὐθ(ὺς) κάθετ(αι) ὁ πατριάρχης καὶ ρογεύει τὰ κερία, καὶ θυμιάζει αὐτοὺς ὑπ(ο)διάκο(νος) καὶ δροσίζει πάντας ροδόσταμα. Εἶτα ἅπτουν τὰ κερία καὶ βαστάζετ(αι) ὁ δευτεράριος τὸν σταυρὸν καὶ β' κερία ἔμπροσθεν τοῦ πατριάρχου καὶ λαμπ(ά)δ(α), καὶ οὕτως λιτανεύοντ(αι) ἐπὶ τὴν

1 θριαμεμβσας.—3 απάτην.—4 χαλκὰς.—6 ὑμνητὰς.—7 τῆς] τὴν ‖ δοξάζομεν. — 11 ὅτὰν ‖ ἡ θεία. — 12 οἱ μ. ἐλθόντες sic. — 14 αὐτῶν. — 15 κλιδώνου τὸν ναον καὶ οὐκαπομενη.—16 κληδώμεν'.—17 βαθέως. — 20 ὅλω(ς).—21 σέκριτον. — 22 ναεν.

Ἁγίαν Ἀνάστασιν, ψάλλοντ(ες) στιχ(ηρὸν) ἦχ(ου) πλ(αγίου) δ'. «Ὁ ἄγγελός σου, Κύριε, ὁ τὴν ἀνάστασιν κηρύξας»· καὶ τὸ κοντ(άκιον εἰς) ἦχον πλ(άγιον) δ'· «Εἰ καὶ ἐν τάφῳ κατῆλθες». Καὶ οὕτως, ἕως οὗ ἔλθωμεν εἰς τὴν Βασιλικὴν Πύλην τῆς Ἁγίας Ἀναστάσεως, καὶ αὕτη κεκλεισμ(ένη). Εὐθὺς λέ(γει) ὁ ἀρχιδιάκω(ν) μεγ(ά)λ(ῃ) φωνῇ· «Εὐλόγησον δέσποτα». Λέγει ὁ πρωτοπαπᾶς ἐκφώ(νως)· «Δόξα τῇ ἁγία καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ τριάδι πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν». Καὶ εὐθὺς λέγει ὁ πατριάρχης φωνῇ λαμπρᾷ· «Ἀναστάσεως ἡμέρα | καὶ ἡ ἀρχὴ δεξιά, | καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει | καὶ ἀλλήλους περιπτυξώμεθα». Τρεῖς φοράς. Εἶτα λέγει «Εἴπωμεν, ἀδελφοί, καὶ τοῖς μισοῦσιν ἡμᾶς | συγχωρήσωμεν πάντα τῇ ἀναστάσει | καὶ οὕτως βοήσωμεν | Χριστὸς ἀνέστη ἐκ νεκρῶν | θανάτῳ θάνατον πατήσας | καὶ τοῖς ἐν τοῖς μνήμασιν ζωὴν χαρισάμενος». Καὶ ἀποκρινεῖ αὐτῷ ὁ κλῆρος· «Χριστὸς ἀνέστη ἐκ νεκρῶν». Καὶ ὁ πατριάρχης λέγει· «Ἀναστήτω ὁ Θεὸς καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν». Καὶ ὁ λαός· «Χριστὸς ἀνέστη ἐκ νεκρῶν». Καὶ ὁ πατριάρχης· «Ὡς ἐκλείπει καπνός, ἐκλειπέτωσαν· | ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός, | οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ, | καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν». Καὶ ὁ κλῆρος· «Χριστὸς ἀνέστη ἐκ νε»:- Καὶ ὁ πατριάρχης· «Αὕτη ἡ πύλη τοῦ Κυρίου· | δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ». Καὶ ὁ κλῆρος· «Χριστὸς ἀνέστη». Καὶ ὁ πατριάρχης· «Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος· | ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ». Ὁ κλῆρος· «Χριστὸς ἀνέστη ἐκ νεκρῶν». Καὶ ὁ πατριάρχης· «Ἀνοίξατέ μοι πύλας δικαιοσύνης· | εἰσελθὼν ἐν αὐτῇ ἐξομολογήσομαι τῷ Κυρίῳ». Εὐθὺς ὁ ἀρχιδιάκω(ν) λέ(γει) μεγ(άλῃ) φωνῇ· «Χριστὸς ἀνέστη ἐκ νεκ(ρῶν)». Εὐθὺς ἀνοίγονται καὶ εἰσελεύσεται ὁ πατριάρχης σὺν τῷ κλήρῳ εἰς τὸν ναόν, ψάλλον-

μ'

5 αὕτη κεκλησ. — 7 ὁμοουσίου καὶ ζωοποιοῦ τριάδη.—9 φωνεῖ λαμπρά. — 10 δεξιᾶ || πανηγύρη. — 12 εἴπομεν || συγχορήσομεν πάντας.—14 θανάτου.—27 δικαιοσύνην || αὐτῆς.—29 φωνεῖ.

τ(ες) τὸ «Χριστὸς ἀνέστη». Καὶ εὐθὺς εἰσελεύσεται ὁ πατριάρχης καὶ ὁ ἀρχιδιάκω(ν) εἰς τὸν Ἅγιον Τάφον, οἱ δύο καὶ μόνον, καὶ οἱ(-αἱ) μυροφόρ(οι) ἱστάμ(εναι) ἔμπροσθεν τοῦ Ἁγίου Τάφου· καὶ τότε ἐξέλθ(ῃ) ὁ πατριάρχης πρὸς αὐτῶν καὶ λέγει αὐταῖς «Χαίρετε· Χριστὸς ἀνέστη». Τότε πίπτουσιν οἱ (= αἱ) μυροφόροι εἰς τοὺς πόδας αὐτοῦ, καὶ ἀνιστάμεναι καὶ θυμιάσουν τὸν πατριάρχην καὶ πολυχρονίζουσιν αὐτῷ καὶ ὑπαγένουσιν εἰς τ(ὸν) τόπον ὅπου ἐστὶν ἔθος νὰ στήκωσιν· καὶ τότε ἄρχεται ὁ πατριάρχης τὸν κανόνα, ἱστάμενος αὐτὸς ἔμπροσθεν τοῦ Ἁγίου Τάφου, χαροποιᾷ φωνῇ.

Ὁ κανὼν· ἦχος α'. Ὠδὴ α'. Ποίημα Ἰω(άννου).

Ἀναστάσεως ἡμέρα· | λαμπρυνθῶμεν λαοί·
πάσχα Κυρίου, πάσχα· | ἐκ γὰρ θανάτου πρὸς ζωὴν
καὶ ἐκ γῆς πρὸς οὐρανὸν | Χριστὸς ὁ Θεὸς
ἡμᾶς διεβίβασεν, | ἐπινίκιον ᾄδοντας.

Καθαρθῶμεν | τὰς αἰσθήσεις καὶ ὀψόμεθα
τῷ ἀπροσίτῳ φωτὶ | τῆς ἀναστάσεως Χριστὸν
ἐξαστράπτοντα, καὶ | "χαίρετε" φάσκοντα
τρανῶς ἀκουσόμεθα, | ἐπινίκιον ᾄδοντες.

Οὐρανοὶ μὲν | ἐπαξίως εὐφραινέσθωσαν,
γῆ δὲ ἀγαλλιάσθω, | ἑορταζέτω δὲ κόσμος
ὁρατός τε ἅπας καὶ ἀόρατος·
Χριστὸς γὰρ ἐγήγερται, | εὐφροσύνη αἰώνιος.

Ὠδὴ γ'.

Δεῦτε πόμα πίωμεν καινόν,
οὐκ ἐκ πέτρας τερατουργούμενον,
ἀλλ' ἀφθαρσίας πηγήν,
ἐκ τάφου ὁμβρήσαντα Χριστόν,
ἐν ᾧ | στερεούμεθα.

Νῦν πάντα πεπλήρωται φωτός,
οὐρανός τε καὶ γῆ | καὶ τὰ καταχθόνια·

3 οἱ μυροφόριστα sic.—4 αὐταῖς sic. — 7 πολυχρονίουσιν αὐτῷ sic. — 8 ναστίκωσιν.—9 αὐτῷ || χαροποιᾷ.—14 ᾄδοντα.—15 ὀψώμεθα.—17 ἐξαστράπτοντα || χαίρεται.—18 ἀκουσώμεθα || ᾄδοντα.—22 ἐγείγερται.—23 ὠδὴ.—27 ὁμβρίσαντα.

ἑορταζέτω δὲ πᾶσα
ἡ κτίσις τὴν ἔγερσιν Χριστοῦ,
ἐν ᾧ | ἐστερέωται.

Χθὲς συνεσταυρούμην σοι Χριστέ·
συνεγείρομαι σήμερον ἀναστάντι σοι·
συνεθαπτόμην σοι χθές·
αὐτός με συνδόξασον, Σωτήρ,
ἐν τῇ | βασιλείᾳ σου.

Καὶ εὐθὺς ἀναβαίνουσιν οἱ ψάλται ἐπὶ τοῦ ἄμβωνος, καὶ ὁ δομέστικος ἀλλαγμέ(ν)ο(ς) καὶ μετ(ὰ) χειρ. . . . χρυσᾶ. Καὶ ὁ ψάλτης.

Ὑπακοή· ἦχος δ΄.

Προλαβοῦσαι τὸν ὄρθρον | αἱ περὶ Μαρίαν
καὶ εὑροῦσαι τὸν λίθον ἀποκυλισθέντα,
ἤκουον ἐκ τοῦ ἀγγέλου
"τὸν ἐν φωτὶ | ἀϊδίῳ ὑπάρχοντα
μετὰ νεκρῶν μὴ ζητεῖτε ὡς ἄνθρωπον·
βλέπετε τὰ ἐντάφια σπάργανα, ὁράμετε
καὶ τῷ κόσμῳ κηρύξατε,
ὡς ἠγέρθη Κύριος | θανατώσας τὸν Θάνατον,
ὅτι ὑπάρχει Θεοῦ | υἱός,
τοῦ σώζοντος τὸ γένος τῶν ἀνθρώπων.

Ὠδὴ δ΄.

"Ἐπὶ τῆς θείας φυλακῆς" | ὁ θεηγόρος Ἀμβακοὺμ
"στήτω μεθ' ἡμῶν | καὶ δεικνύτω
φαεσφόρον ἄγγελον | διαπρυσίως λέγοντα·
σήμερον | σωτηρία τῷ κόσμῳ,
ὅτι ἀνέστη | Χριστός, | ὡς παντοδύναμος".

Ἄρσεν μὲν ὡς διανοῖξαν | τὴν παρθενεύουσαν νηδὺν
πέφηνε Χριστός, | ὡς βροτὸς δὲ

4 κῶδ. «συνέσταυρούμην»· ἐκδ. «συνεθαπτόμην». — 6 ἐκδ. «συνεσταυρούμην». — 10 με χειρ χρυσᾶ. — 16 νεκρῶν. — 24 δεικνοιτω. — 25 διὰ πυρσίως. — 27 ἀνέστι. — 23 κῶδ. «διανοιξαν»· οὕτω καὶ Νικόδημος καὶ αἱ ἐνετικαὶ ἐκδόσεις· ὁ δὲ παρὰ τῷ Christ κῶδιξ Α «ἄρσην μὲν ὡς διανοίξας»· ἡ ρωμ. ἐκδοσις «ἄρσεν μέν, ὡς μὴ διανοῖξαν» || νυθύνι.

ἀμνὸς | προσηγόρευται, | ἄμωμος δὲ ὡς ἄγευστος
κηλῖδος | τὸ ἡμέτερον πάσχα,
καὶ ὡς Θεὸς ἀληθὴς | τέλειος λέλεκται.

Ὡς ἐνιαύσιος ἀμνὸς | ὁ εὐλογούμενος ἡμῖν
στέφανος Χριστὸς | ἑκουσίως
ὑπὲρ πάντων τέθυται | πάσχα τὸ καθαρτήριον
καὶ αὐθις | ἐκ τοῦ τάφου ὡραῖος
δικαιοσύνης | ἡμῖν | ἔλαψεν ἥλιος.

Ὁ θεοπάτωρ μὲν Δαυὶδ | πρὸ τῆς σκιώδους κιβωτοῦ
ἥλατο σκιρτῶν, | ὁ λαὸς δὲ
τοῦ Θεοῦ ὁ ἅγιος | τὴν τῶν συμβόλων ἔκβασιν
ὁρῶντες, | εὐφρανθῶμεν ἐνθέως,
ὅτι ἀνέστη | Χριστός, | ὡς παντοδύναμος.

Ὠδὴ ε.

Ὀρθρίσωμεν | ὄρθρου βαθέος
καὶ ἀντὶ μύρου | τὸν ὕμνον προσοίσωμεν
τῷ δεσπότῃ, καὶ Χριστὸν ὀψόμεθα
δικαιοσύνης ἥλιον, | πᾶσι ζωὴν ἀνατέλλοντα.

Τὴν ἄμετρόν | σου εὐσπλαγχνίαν
οἱ ταῖς τοῦ Ἅδου | σειραῖς συνεχόμενοι
δεδορκότες | πρὸς τὸ φῶς ἠπείγοντο,
Χριστέ, ἀγαλλομένῳ ποδί, | πάσχα κροτοῦντες αἰώνιον.

Προσέλθωμεν | λαμπαδηφόροι
τῷ προϊόντι | Χριστῷ ἐκ τοῦ μνήματος
ὡς νυμφίῳ καὶ συνεορτάσωμεν
ταῖς φιλεόρτοις | τάξεσι | πάσχα Θεοῦ τὸ σωτήριον.

Ὠδὴ ς.

Κατῆλθες | ἐν τοῖς κατωτάτοις τῆς γῆς
καὶ συνέτριψας μοχλοὺς | αἰωνίους κατόχους
πεπεδημένους, Χριστέ, | καὶ τριήμερος
ὡς ἐκ κήτους Ἰωνᾶς ἐξανέστης τοῦ τάφου.

1 ἀμνὸς.—2 κηλῖδος |, «πᾶσχα»· οὕτω πολλαχοῦ.—4 ἐνιαυσιοσαμνὸς || εὐλογοῦμενος.—10 ἥλατο.—15 βαθέως.—16 προσείσωμεν.—17 ὀψώμεθα.—21 ἐκδ. «ἠπείγοντο»· κῶδ. «ὅτι εἴγοντο».—30 ται πεδημόνους.—31 εκκτους.

Φυλάξας | τὰ σήμαντρα σῶα, Χριστέ,
ἐξανέστης τοῦ τάφου | ὁ τὰς κλεῖς τῆς παρθένου
μὴ λυμηνάμενος | ἐν τῷ τόκῳ σου,
καὶ ἀνέῳξας ἡμῖν | παραδείσου τὰς πύλας.

Σωτήρ μου, | τὸ ζῶν τε καὶ ἄθυτον
ἱερεῖον, ὡς Θεὸς | σεαυτὸν ἑκουσίως
προσαγαγὼν τῷ πατρὶ | συνανέστησας
παγγενῆ τὸν Ἀδάμ, | ἀναστὰς ἐκ τοῦ τάφου.

Εὐθέως ψάλλομεν τὸ κοντάκιον οἱ δύο χοροί, καὶ ὁ ψάλτης:

Ἦχος πλάγιος δ'.

Εἰ καὶ ἐν τάφῳ κατῆλθες, | ἀθάνατε,
ἀλλὰ τοῦ Ἅδου καθεῖλες τὴν δύναμιν
καὶ ἀνέστης ὡς νικητής, Χριστὲ ὁ Θεός,
γυναιξὶ μυροφόροις | τὸ "χαῖρε" φθεγξάμενος
καὶ τοῖς σοῖς ἀποστόλοις | εἰρήνην δωρούμενος
ὁ τοῖς πεσοῦσι παρέχων | ἀνάστασιν.

Ὁ οἶκος.

Τὸν πρὸ ἡλίου ἥλιον | δύνοντα ποτὲ ἐν τάφῳ
προέφθασαν πρὸς ὄρθρον | ἐκζητοῦσαι ὡς ἡμέραν
μυροφόροι κόραι, | καὶ πρὸς ἀλλήλας ἐβόων·
"ὦ φίλαι, δεῦτε | τοῖς ἀρώμασιν ὑπαλείψωμεν
σῶμα ζωηφόρον | καὶ τεθαμμένον,
σάρκα ἀνιστῶσαν | τὸν παραπεσόντα Ἀδάμ,
κείμενον ἐν τῷ μνήματι·
ἄγωμεν, | σπεύσωμεν, | ὥσπερ οἱ μάγοι
καὶ προσκυνήσωμεν | καὶ προσκομίσωμεν
τὰ μύρα ὡς δῶρα | τῷ μὴ ἐν σπαργάνοις,
ἀλλ' ἐν σινδόνι | ἐνειλημένῳ,
καὶ κλαύσωμεν | καὶ κράξωμεν, | "ὦ δέσποτα,
ἐξεγέρθητι ὁ τοῖς πεσοῦσι | παρέχων ἀνάστασιν".

Εὐθὺς «Ἀνάστασιν Χριστοῦ θεασάμενοι | πρὸς Κύριον» γ'.

2 κῶδ. «ἐξανέστης»· ἐκδ. «ἐξηγέρθης». — 9 ψάλλωμ(εν). — 14 ἐκδ. «φθεγξάμενος χαίρετε». — 24 ἐκδ. «κειμένην».

Ὠδὴ ζ'.

Ὁ παῖδας ἐν καμίνῳ ῥυσάμενος, | γενόμενος ἄνθρωπος
πάσχει ὡς θνητός, | καὶ διὰ πάθους τὸ θνητὸν
ἀφθαρσίας ἐνδύει εὐπρέπειαν | ὁ μόνος εὐλογητὸς
τῶν πατέρων Θεὸς | καὶ ὑπερένδοξος.

Γυναῖκες μετὰ μύρων θεόφρονες | ὀπίσω σου ἔδραμον·
ὃν δὲ ὡς θνητὸν | μετὰ δακρύων ἐζήτουν,
προσεκύνησαν χαίρουσαι ζῶντα Θεὸν | καὶ πάσχα τὸ μυστικὸν
τοῖς Χριστοῦ μαθηταῖς | εὐηγγελίσαντο.

Θανάτου ἑορτάζομεν νέκρωσιν, | Ἅδου τὴν καθαίρεσιν,
ἄλλης βιοτῆς | τῆς αἰωνίου ἀπαρχήν,
καὶ σκιρτῶντες ὑμνοῦμεν τὸν αἴτιον, | τὸν μόνον εὐλογητὸν
τῶν πατέρων Θεὸν | καὶ ὑπερένδοξον.

Ὡς ὄντως ἱερὰ καὶ πανέορτος | αὕτη ἡ σωτήριος
νὺξ καὶ φωταυγὴς | τῆς λαμπροφόρου ἡμέρας
τῆς ἐγέρσεως οὖσα προάγγελος, | ἐν ᾗ τὸ ἄχρονον φῶς
ἐκ τάφου σωματικῶς | πᾶσιν ἐπέλαμψεν.

Ὠδὴ η'.

Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα,
ἡ μία τῶν σαββάτων, | ἡ βασιλὶς καὶ κυρία
ἑορτῶν ἑορτὴ | καὶ πανήγυρίς ἐστι πανηγύρεων,
ἐν ᾗ εὐλογοῦμεν Χριστὸν | εἰς τοὺς αἰῶνας.

Δεῦτε τοῦ καινοῦ τῆς ἀμπέλου γεννήματος,
τῆς θείας εὐφροσύνης, | ἐν τῇ εὐσήμῳ ἡμέρᾳ
τῆς ἐγέρσεως, | βασιλείας τε Χριστοῦ κοινωνήσωμεν,
ὑμνοῦντες αὐτὸν ὡς Θεὸν | εἰς τοὺς αἰῶνας.

Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου, Σιών, καὶ ἴδε·
ἰδοὺ γὰρ ἥκασί σοι | θεοφεγγεῖς ὡς φωστῆρες
ἐκ δυσμῶν καὶ βορρᾶ | καὶ θαλάσσης καὶ ἑῴας τὰ τέκνα σου
ἐν σοὶ εὐλογοῦντα | Χριστὸν εἰς τοὺς αἰῶνας.

Πάτερ παντοκράτορ καὶ λόγε καὶ πνεῦμα
τρισὶν ἑνιζομένη | ἐν ὑποστάσεσι φύσις,
ὑπερούσιε | καὶ ὑπέρθεε, εἰς σὲ βεβαπτίσμεθα
καὶ σὲ εὐλογοῦμεν | εἰς πάντας τοὺς αἰῶνας.

2 ἐκδ. «ἐκ καμίνου».—9 ἐκδ. «σοις Χριστέ».

*

Ὠδὴ γ'.

Φωτίζου, φωτίζου | ἡ νέα Ἱερουσαλήμ·
ἡ γὰρ δόξα Κυρίου | ἐπὶ σὲ ἀνέτειλε·
χόρευε νῦν καὶ ἀγάλλου, Σιών· | σὺ δέ, ἁγνή,
τέρπου, Θεοτόκε, | ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

Ὢ θείας, ὢ φίλης, | ὢ γλυκυτάτης σου φωνῆς!
μεθ' ἡμῶν ἀψευδῶς γὰρ | ἐπηγγείλω ἔσεσθαι
μέχρι τερμάτων αἰῶνος, Χριστέ· | ἣν οἱ πιστοὶ
ἄγκυραν ἐλπίδος | κατέχοντες ἀγαλλόμεθα.

Ὢ πάσχα τὸ μέγα | καὶ ἱερώτατον, Χριστέ!
ὢ σοφία καὶ λόγε | τοῦ Θεοῦ καὶ δύναμις,
δίδου ἡμῖν ἐκτυπώτερον | σοῦ μετασχεῖν
ἐν τῇ ἀνεσπέρῳ | ἡμέρᾳ τῆς βασιλείας σου.

Εὐθὺς «Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν».

Ἐξαποστειλάριον.

Σαρκὶ ὑπνώσας ὡς θνητὸς | ὁ βασιλεὺς καὶ κύριος,
τριήμερος ἐξανέστης, | Ἀδὰμ ἐγείρας ἐκ φθορᾶς
καὶ καταργήσας Θάνατον·
πάσχα τῆς ἀφθαρσίας, | τοῦ κόσμου σωτήριον.

Στιχηρὰ ἄλλα εἰς τοὺς αἴνους· ἦχος α'.

Ὑμνοῦμέν σου, Χριστέ, | τὸ σωτήριον πάθος
καὶ δοξάζομέν σου | τὴν ἀνάστασιν.

Ὁ σταυρὸν ὑπομείνας | καὶ τὸν θάνατον καταργήσας
τῇ ἀναστάσει σου, Χριστέ,
εἰρήνευσον ἡμῶν τὴν ζωήν, | ὡς μόνος παντοδύναμος.

Ὁ τὸν Ἅδην σκυλεύσας | καὶ τὸν Θάνατον καταργήσας
τῇ ἀναστάσει σου Χριστέ, | ἀξίωσον ἡμᾶς
ἐν καθαρᾷ καρδίᾳ | ὑμνεῖν καὶ δοξάζειν σε.

Τὴν θεοπρεπῆ σου συγκατάβασιν | δοξάζοντες, ὑμνοῦμέν σε, Χριστέ·
ἐτέχθης ἐκ παρθένου | καὶ ἀχώριστος ὑπῆρχες τῷ πατρί·
ἔπαθες ὡς ἄνθρωπος | καὶ ἀκουσίως ὑπέμεινας σταυρόν·
ἀνέστης ἐκ τοῦ τάφου, | ὡς ἐκ παστάδος προελθών,
ἵνα σώσῃς τὸν κόσμον, | Κύριε· δόξα σοι

24 ἐκδ. «καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν».—26 ἐκδ. «καὶ τὸν ἄνθρωπον ἀναστήσας».

Ἕτερα στιχηρὰ εἰς τοὺς αἴνους· ἦχος α΄. πρὸς τὸ «Πανεύφημοι μάρτυρες».

Ἀγαλλιασώμεθα | ψυχῇ | καὶ καρδίᾳ σήμερον
καὶ μυστικῶς ἀλαλάξωμεν, | ὕμνον προσάγοντες
τῷ δεδοξασμένῳ· | εἶλε γὰρ τὸν Θάνατον·
ἀνέστη, καθὼς εἶπε, τριήμερος
καὶ συνανέστησεν | ἑαυτῷ τὴν κτίσιν ἅπασαν
ὁ τὸ κράτος ἔχων ἀπροσμάχητον.

Ὅμοιον.

Πάσχα τὸ σεβάσμιον, | φαιδρὰ | ἑορτὴ καὶ εὔσημος·
ἡ οἰκουμένη εὐφράνθητι· | Χριστὸς γὰρ ἔλαμψε·
ζοφερῶν ἐξ Ἅιδου | ταμιείων σήμερον
δεσμίους ἀφαρπάσας ὡς πρόβατα,
αὐτῷ κραυγάζοντας | "ὡς μεγάλη σου ἡ δύναμις,
ζωοδότα, | μόνε πολυέλεε".

Πάσχα καθαρτήριον | ψυχῶν, | πάσχα θεῖον ἅγιον,
πάσχα δουλείας ἀφαίρεσις, | πάσχα τῆς κτίσεως,
καινισμὸς ὁ μέγας· | πάσχα, ἡ χαρμόσυνος
Κυρίου ἑορτή, ἣν ἐποίησεν
ἐν ταύτῃ σήμερον· | ἱερῶς περιχορεύσωμεν
καὶ ἀλλήλους | νῦν περιπτυξώμεθα.

Ἕτερα στιχηρὰ εἰς τοὺς αἴνους· ἦχος πλάγιος α΄, πρὸς τὸ «Ἦχθης δι' ἡμᾶς».

Πάσχα | ἱερὸν ἡμῖν σήμερον ἀναδέδεικται·
πάσχα καινὸν ἅγιον, | πάσχα μυστικόν,
πάσχα πανσεβάσμιον, | πάσχα Χριστοῦ τοῦ λυτρωτοῦ,
πάσχα ἄμωμον, | πάσχα μέγα,
πάσχα τῶν πιστῶν, | πάσχα τὸ πύλας ἡμῖν
τοῦ παραδείσου ἀνοῖξαν, | πάσχα πάντας ἁγιάζον.

Στίχ. «Ἀναστήτω ὁ Θεός».

Δεῦτε | ἀπὸ θέας, γυναῖκες εὐαγγελίστριαι,
καὶ τῇ Σιὼν εἴπατε· | "δέχου παρ' ἡμῶν

6 καθὼς. — 8 κράτος. — 10 ἑορτή. — 12 ζοφερόν. — 13 δεσμίους ἀφαρπάσας. — 26 ἐκδ. «Χριστὸς ὁ λυτρωτής». — 29 ἀνεώξαντα || μετὰ τὸ «ἁγιάζον» ἔχουσιν αἱ ἐκδόσεις «πιστούς».

χαρᾶς εὐαγγέλια | τῆς ἀναστάσεως Χριστοῦ·
τέρπου, χόρευε | καὶ ἀγάλλου,
Ἱερουσαλήμ, | τὸν βασιλέα Χριστὸν
θεασαμένη ἐκ τοῦ μνήματος | ὡς νυμφίον προερχόμενον.

Στίχ. «Ὡς ἐκλείπει καπνός, ἐκλειπέτω».

Πάσχα· | ὁ ἀμνὸς ἡμῖν τέθυται θεῖον σφάγιον·
πάσχα Θεοῦ ἅγιον, | πάσχα θεουργόν,
πάσχα τὸ σωτήριον, | πάσχα λυτήριον παθῶν,
πάσχα | ἔνθεον· | πάσχα, αἴγλη· | πάσχα μυστικόν,
πάσχα δι' οὗ περ βροτοὶ | λαμπροφοροῦντες ἀγαλλόμεθα·
πάσχα βρύον ἀφθαρσίας πηγήν.

Εἰς τὸ Δόξα... καὶ νῦν ἦχος πλ. α'.

Ἀγαλλιάσεως ἡμέρα | καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει
καὶ ἀλλήλους περιπτυξώμεθα·
εἴπωμεν, ἀδελφοί, | καὶ τοῖς μισοῦσιν ἡμᾶς·
συγχωρήσωμεν πάντα τῇ ἀναστάσει | καὶ οὕτω βοήσωμεν
"Χριστὸς ἀνέστη ἐκ νεκρῶν | θανάτῳ θάνατον πατήσας
καὶ τοῖς ἐν τοῖς μνήμασι | ζωὴν χαρισάμενος".

Καὶ οὕτως λέγωμεν τὸ «Χριστὸς ἀνέστη» τρίς, καὶ μετὰ τοῦτο λέγωμεν κάθισμα ἤχ(ου) γ'.

Σήμερον σωτηρία τῷ κόσμῳ·
ἄσωμεν τῷ ἀναστάντι ἐκ τάφου,
τῷ ἀρχηγῷ τῆς ζωῆς,
Χριστῷ | τῷ Θεῷ·
καθελὼν γὰρ τὸν Θάνατον,
τὸ νῖκος ἔδωκεν ἡμῖν
καὶ τὸ μέγα ἔλεος.

Καὶ ὁ διάκονος συνάπτ(ει) καὶ λέ(γει) τὰ ἐπακουστὰ ὁ ἀρχιδιάκονος, καὶ ὁ ἦχος γ'.

Εἰπατε ἐν τοῖς ἔθνεσιν, | ὅτι Κύριος ἐβασίλευσεν·
καὶ γὰρ κατώρθωσε τὴν οἰκουμένην, | ἥτις οὐ σαλευθήσεται.

Στιχος· «Ἄσατε τῷ Κυρίῳ ἆσμα καινόν». Ἕτερον ἐπακουστόν, ἦχος γ'.

6 ἀμνὸς. — 26 νῖκος. — 31 κατόρθωσε. — 32 ἆσμα.

Ἡ βασιλεία σου, Χριστέ, | βασιλεία πάντων τῶν αἰώνων,
καὶ ἡ δεσποτεία σου | ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

Στίχος «Πιστὸς καὶ ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ». Καὶ εὐθὺς ὑψη(λῇ) φωνῇ λέγει·

Ὅτι τὸ φῶς τῷ κόσμῳ
καὶ τὴν ζωὴν | καὶ τὴν ἀνάστασιν

Καὶ ὁ δομέστικος τὸ «Ἀνάστησον Κύριε ὁ Θεός μου». Καὶ εὐθὺς ἐλεύσονται οἱ β' διάκονοι μὲ τὰ θυμιατ(ά), καὶ ὑποδιάκονοι β' μὲ τὰ β' μανουάλια ἔμπροσθεν αὐτῶν, ἕως εἰσελεύσονται εἰς τὸ Βῆμα καὶ σταθῶσιν μέσον τὴν σολέα ὁμοίως καὶ αἱ β' μυροφόροι εἰσελθοῦσαι ὀπίσω τῶν β' διακόνων, κατέχουσαι τὰ τρισκέλια καὶ ἔμπροσθεν αὐταὶ(ς) β' διακόνισσαις, κατέχουσαι καὶ αὐταὶς β' μανουάλια καὶ κερία ἁπτόμενα καὶ ἔμπροσθεν αὐταίς, καὶ στήκουσαι οὕτως ἡ μία εἰς τὰ δεξια τοῦ ζωοποιοῦ Τάφου καὶ ἡ ἑτέρα εἰς τὸ ἀριστερόν· καὶ θυμιάζουν, ἕως πληρωθῇ τὸ ἅγιον εὐαγγέλιον· καὶ τότε εἰσελθοῦσαι εἰς τ(ὸν) Ἅγιον (Τάφον) καὶ θυμιάζουσαι αὐτὸν καὶ μυρίζουν το(ν)· καὶ μετὰ τὸ πλη(ρωθῆναι) τὸ «Ἀνάστηθι Κύριε», ὁ εἷς τῶν διακόνων συνάπτει καὶ ὁ ἕτερος λέγει «Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς»· ὁ β' τῶν διακόνων ἀναγινώσκει τὸ εὐαγγέλιον εἰς τὴν πύλην τοῦ Ἁγίου Τάφου. Ὁ β' τῶν διακόνων· Ἐκ τοῦ κατὰ Μᾶρκον ἁγίου (εὐαγγελίου τὸ ἀνάγνωσμα· ις', 1 κέ)· «Καὶ διαγενομένου τοῦ σαββάτου». Ζήτει τὸ β' ἀνάγνωσμα. Καὶ μετὰ τὸ πληρώσει(ν) ὁ πρωτοδιάκονος τὸ εὐαγγέλιον, λέγει ὁ δομέστικος· «Δόξα πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι, καὶ νῦν· ἦχος β'. Τροπ(άριον).

Μετὰ μύρων προσελθούσαις | ταῖς περὶ τὴν Μαριὰμ γυναιξίν,
καὶ διαπορουμέναις | πῶς ἔσται αὐταῖς τυχεῖν τοῦ ἐφετοῦ,
ὡράθη ὁ λίθος μετηρμένος | καὶ θεῖος νεανίσκος
καταστέλλων τὸν τάραχον αὐτῶν τῆς ψυχῆς·
"ἠγέρθη" γὰρ φησὶν "Ἰησοῦς ὁ Κύριος·

7 δομέστικος.—8 διάκω(νοι) μετὰ.—9 μετὰ.—11 αἱ sic || ὀπίσω || διακό(νων).—12 τὰς τσκέλλια || διακόνισσαις.—15 πληρωθῆ. — 20 πύλιν. — 26 προσελθοῦσαι.—27 διαπορουμέναι.—28 ὡράθη || νεανίσκος.

διὸ κηρύξατε | τοῖς κήρυξιν αὐτοῦ μαθηταῖς
εἰς τὴν Γαλιλαίαν ὁραμεῖν καὶ ὄψεσθε | αὐτὸν
ἀναστάντα ἐκ νεκρῶν, ὡς ζωοδότην καὶ Κύριον.

Καὶ εὐθὺς ὁ πατριάρχης ἵσταται εἰς τὸ σύνθρονον, καὶ ὁ ἀρχιδιάκονος λέγει "Πρόσχωμεν", καὶ εὐθὺς ἄρξεται ἀναγινώσκειν τοῦτο μεγάλῃ φωνῇ· «Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου, λόγος εἰς τὸ ἅγιον πάσχα», (οὗ ἡ ἀρχή)· «Εἴ τις εὐσεβὴς καὶ φιλόθεος» κτλ. (Migne, Patrol. Gr. τ. 59, σ. 721). Εἶθ' οὕτως μεταφράσει αὐτὸν τὸν λόγον ὁ β' τῶν διακόνων εἰς ἀραβικὴν γλῶσσαν, ὥστε παρακληθήσονται οἱ μὴ εἰδότες ἀναγινώσ(κειν) ρωμάϊκα [sic], καὶ γίνεται χαρὰ καὶ ἡ ἀγαλλίασις καὶ ἡ εὐφροσύνη παντὶ τῷ λαῷ, μικροῦ τε καὶ μεγάλου [sic]. [Ἕπεται τὸ κείμενον τοῦ αὐτοῦ λόγου, ἀραβικοῖς γράμμασι γεγραμμένον]. Καὶ εὐθύς, ὅταν πληρώσῃ ὁ πατριάρχης τὸν λόγον καὶ μεταφράσῃ αὐτὸν ὁ β' τῶν διακόνων, λέγει ὁ ἀρχιδιάκονος "Πρόσχωμεν". Εὐθὺς ὁ πατριάρχης λέ(γει) γ' "Ἀναστάσεως ἡμέρα | καὶ ἡ ἀρχὴ δεξιά, | καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει | καὶ ἀλλήλους περιπτυξώμεθα· γ' | Εἴπωμεν, ἀδελφοί, καὶ τοῖς μισοῦσιν ἡμᾶς συγχωρήσωμεν πάντα τῇ ἀναστάσει, | καὶ οὕτως βοήσωμεν Χριστὸς ἀνέστη ἐκ νεκρῶν»: Τότε συνέπ(εται) ὁ κλῆρος καὶ λέγει "Χριστὸς ἀνέστη" ὑψίφωνα, καὶ ἄρξεται τὸν ἀσπασμὸν ἐν φιλήματι ἁγίῳ, πρῶτον ὁ κλῆρος, ἔπειτα ὁ λαός· καὶ ὁ διάκονος τὴν ἐκτενὴ καὶ εὐχὴ καὶ ἀπολύ(ουσιν).

Ἡ ἀκολουθία τῆς λειτ(ουργίας) γίνεται εἰς τὴν Ἁγίαν Ἀνάστασιν.

Στιχηρὸν εἰς τ(ὴν) εἴσοδον) ἦχος πλάγιος δ'· «Ὁ ἄγγελός σου, Κύριε». Καὶ οἱ ψάλται ἀναβαίνουσιν ἐπὶ τὸν ἄμβωνα, ψάλλοντες τὰ ἀντίφωνα γ'.

2 ὄψεσθαι.—3 νεκρῶν.—5 ἀναγινώσκει.—9 εἶθ ὁυτως || διακώ(νων) εἰς.—10 μι.—14 μεταφράσει.—18 εἰπωμεν.—21 ὑψηφων || τὸἀσπασμὸν || ἅγιω. — 22 ἔπιτα. — 26 το.

Ἀντιφώνου α΄· «Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.—Ταῖς πρεσβείαις:—Ψάλατε δὴ τῷ ὀνόματι:—Εἴπατε τῷ Θεῷ· ὡς φοβερὰ:—Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσαν:—Δόξα πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι.—Καὶ νῦν»:—

Ἀντιφώνου β΄· «Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς:—Σῶσον ἡμᾶς, υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νε(κρῶν):—Στίχος· Τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν: — Ἐξομολογησάσθωσάν (σοι) λαοί, ὁ Θεός: — Δόξα. — Σῶσον ἡμᾶς: — Καὶ νῦν. — Ὁ μονογενὴς υἱός».

Ἀντιφώνου γ΄, ἦχος πλάγιος α΄· «Ἀναστήτω ὁ Θεὸς καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ:—Χριστὸς ἀνέστη:—Στίχος· Ὡς ἐκλείπει καπνός, ἐκλιπ(έτωσαν): — Χριστὸς ἀνέστη:—Ἀγαλλιάσθωσαν ἐνώπ(ιον):—

Στίχοι εἰς τὴν εἴσοδον. Ὁ διάκονος· «Σοφία, ὀρθοί. Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ: Χριστὸς ἀνέστη: Εἶτα Δόξα· ἦχος πλάγιος δ΄. Τὸ κονδάκιον· «Εἰ καὶ ἐν τάφῳ κατῆλθες, ἀθάνατε». Ἀντὶ τὸ τρισάγιον· «Ὅσοι εἰς Χριστὸν ἐβαπτί(σθητε)»: καὶ «Χριστὸς ἀνέστη ἐκ νεκρῶν». Προκείμενον, ἦχος πλάγιος δ΄· «Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος· ἀγαλλιασώμεθα»: Στίχος· «Ἐξομολογεῖσθε τῷ Κυρίῳ»: Ὁ ἀπόστολος· Πράξεων τῶν ἀποστόλων (τὸ ἀνάγνωσμα. α΄, 1—8). «Τὸν μὲν πρῶτον λόγον». Τέλος· «ἕως ἐσχάτου τῆς γῆς». Στίχος· «Σύ, Κύριε, ἀναστὰς οἰκτειρήσεις τὴν»: Ἀλληλούια, ἦχος δ΄. Στίχος β΄· «Κύριος ἐξ οὐρανοῦ ἐπὶ τὴν γῆν ἐπιστάς». Τὸ Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην (α΄, 1—17)· «Ἐν ἀρχῇ ἦν ὁ Λόγος». Τέλος· «διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο».

Δέον γινώσκειν, ὅτι ὀφείλει ὁ πατριάρχης ἀναγινώσκειν τὸ εὐαγγέλιον τοῦτο ἐν τῷ συνθρόνῳ αὐτοῦ, καὶ ὁ ἀρχιδιάκω(ν) ἐπὶ τὸν ἄμβωνα· καὶ εἴ τι λέγει ὁ πατριάρχης, λέγει αὐτὸ καὶ ὁ ἀρχιδιάκ(ονος) ἕως τέλους τοῦ εὐαγγελίου.

Στιχηρὸν ψαλλόμενον εἰς τὰ ἅγια· ἦχος πλάγιος α΄· «Πάσχα

17 ἀντιτὸ. 23 οἰκτηρίσης. — 27 ὀφείλη. — 29 αὐτὸν.

ἱερὸν ἡμῖν σήμερον». Στίχος· «Ἀνάστα ὁ Θεὸς καὶ διασκορπ»: Ζητει, ὅτι ἐγράφησαν (σελ. 197). Ἀντὶ τὸ χερουβικόν, στιχ(ηρὸν εἰς) ἦχ(ον) πλάγιον δ'· «Ἐξηγέρθης, Χριστέ, ἐκ τοῦ μνήματος»: Ζητει, ὅτι ἐγράφη·

Κοινωνικόν· ἦχος πλάγιος α'.

Ἄγγελοι, σκιρτήσατε, | ἀγαλλιᾶσθε, γηγενεῖς,
καὶ πανηγυρίσατε χαρμονικῶς, | ὅτι Χριστὸς ἀνέστη
κράτος καθελὼν | Θανάτου καὶ κόσμον ἀφθαρτήσας,
ὤφθη τε μυροφόροις, | τριήμερος ἀνέστη,
ὡς ἐκ παστοῦ νυμφίος· | ὅθεν κροτοῦντες
χεῖρας, ἐν ὕμνοις εἴπωμεν γηθοσύνως·
" πάσχα Κυρίου πάσχα,
πάσχα | τῶν πιστῶν ἡ λύτρωσις
καὶ λύπης ἡ ἀφαίρεσις | καὶ κόσμου ἡ τερπνότης·
πάσχα καινόν, | πάσχα τερπνόν,
πάσχα τῆς τριάδος, | τιμὴ καὶ θεία δόξα·
Χριστὸς ἀνέστη ἐκ νεκρῶν | θανάτῳ Θάνατον πατήσας
καὶ τοῖς ἐν τοῖς μνήμασι | ζωὴν χαρισάμενος ".

Εὐχὴ ὀπισθάμβωνος τῇ ἁγία μεγάλῃ Κυριακῇ τοῦ πάσχα. «Λαμπρὰ ἡμῖν καὶ σωτήριος ἀνέτειλε σήμερον, ἀδελφοί, ἡ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀνάστασις, καὶ διὰ τοῦτο διαφόροις ἀνθράσι κεκόσμηται ὁ τοῦ Κυρίου ναός· ἰδοὺ γὰρ πολλοὶ τῶν ἀδελφῶν, ἱλαροὶ τῇ νηστεία, προσυπηντήκασιν. Χαίρει οὖν πᾶσα ἡ κτίσις ἐν Χριστῷ τῷ Θεῷ ἡμῶν· τῇ γὰρ ἀναστάσει αὐτοῦ ὁ οὐρανὸς καθαίρεται καὶ ἡ γῆ στολίζεται, θάλασσα δὲ πραΰνεται καὶ τύραννοι παύονται, ἐχθροὶ εἰς εἰρήνην ἔρχονται καὶ ἁμαρτίαι λύονται, ἐκκλησίαι εὐφραίνονται καὶ ὁ Χριστὸς δοξάζεται· ἀλλὰ καὶ γυναῖκες μυροφόροι ἀγκάλαις ὀράγματα φέρουσι τῷ βασιλεῖ τῶν αἰώνων, οὐκ ὑλαίοις ἄνθεσιν, ἀλλὰ τῇ τῶν νεοφωτίστων χάριτι. Ἀλλ' ὦ Χριστέ, τοῦ ἀρχιερέως ἡμῶν καὶ τῶν σὺν αὐτῷ ἐπισκόπων καὶ ἡμῶν δὲ τῶν ταπεινῶν ἱερέων καὶ διακόνων καὶ παντὸς τοῦ κλήρου τὴν πρέπουσαν δοξολογίαν μετ' εὐχαριστίας πρόσδε-

6 γηγενεῖς.—7 χαρμωνικῶς.—11 χεῖρας || γηθωσύνως.—21 διατοῦτο.— 22 ἀνδρᾶσι || ἰδοὺ.—29 ὑλαίων.—30 τὸν ἀρχιερέα.—32 εὐχαριστείας.

ξαι, καὶ μνημόνευσον ὡς ἀγαθὸς καὶ φιλάνθρωπος τῶν εὐσεβεστάτων καὶ πιστοτάτων ἡμῶν βασιλέων, οὓς ἐδικαίωσας βασιλεύειν ἐπὶ τῆς γῆς· τὸν στρατὸν κατὰ τῶν πολεμίων ἐνίσχυσον καὶ τὸν περιεστῶτα λαὸν ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ διαφύλαξον· πάντας ἡμᾶς πρέσδεξαι εἰς τὴν βασιλείαν σου τὴν ἐπουράνιον, ὅτι σὺ εἶ ἡ ζωὴ καὶ τὸ φῶς καὶ ἡ ἀνάστασις, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοι τὴν δόξαν ἀναπεμπομεν σὺν τῷ πατρι καὶ τῷ ἁγιῳ πνευματι, νῦν καὶ ἀεὶ καὶ εἰς τ(οὺς αἰῶνας τῶν αἰώνων· ἀμήν)».

Καὶ μετὰ τὴν εὐχὴν ταύτην ἵστανται οἱ ψάλται ἐπὶ τοῦ ἄμβωνος, ψάλλοντες τὸ «Εἰ καὶ ἐν τάφῳ κατῆλθες»· εἰσελεύσεται ὁ κλῆρος ὅλος εἰς τὸν Ἅγιον Τάφον, ἀρξάμενοι ἀπὸ τῶν ἐσχάτων ἕως τὸν πρῶτον· καὶ εὐθὺς ἀπολύει.

Τῇ Κυριακῇ ἑσπέρας γίνεται ἡ σύναξις εἰς τὴν ἁγίαν Σιών. Στιχηρὰ ἀναστάσιμα εἰς τὸ «Κύριε ἐκέκραξα»· ἦχος β'.

Τον προ αἰώνων | ἐκ πατρὸς γεννηθέντα,
τὸν Θεὸν Λόγον σαρκωθέντα | ἐκ παρθένου Μαρίας,
δεῦτε προσκυνήσωμεν· | σταυρὸν γὰρ ὑπομείνας
τῇ ταφῇ παρεδόθη, | ὡς αὐτὸς ἠθέλησε,
καὶ ἀναστὰς ἐκ νεκρῶν | ἔσωσε με τὸν πλανώμενον ἄνθρωπον.

Χριστὸς ὁ σωτὴρ ἡμῶν | τὸ καθ' ἡμῶν χειρόγραφον προσηλώσας
τῷ σταυρῷ ἐξήλειψε | καὶ τοῦ θανάτου τὸ κράτος κατήργηται·
προσκυνοῦμεν αὐτοῦ | τὴν τριήμερον ἔγερσιν·

Σὺν ἀρχαγγέλοις ὑμνήσωμεν Χριστοῦ τὴν ἀνάστασιν·
αὐτὸς γὰρ λυτρωτής ἐστιν | καὶ σωτὴρ τῶν ψυχῶν ἡμῶν,
καὶ ἐν δόξῃ φοβερᾷ | καὶ κραταιᾷ δυνάμει
πάλιν ἔρχεται | κρῖναι κόσμον ὃν ἔπλασεν.

Ἕτερα στιχηρά· ἦχος β', πρὸς τὸ «Ὅτε ἐκ τοῦ ξύλου σε».

Κόλπους | μὴ λιπὼν τοὺς πατρικοὺς
ὤφθης ἐπὶ γῆς σαρκοφόρος

10 ἱσταντε.– 12 ὅλως.—13 τῶπρωτ(ον).—14 αιῶν.—18 ὑπομεἶνας.—19 παρεδώθη || ἠθέλησε.—22 ἐξήληψε || ἐκδ. «κατήργησε». — 24 συναρχαγγέλοις. — 27 κρίναι.

δι' εὐσπλαγχνίαν, Χριστέ·
θάνατον ὑπέμεινας
τάφῳ τεθεὶς ὡς νεκρός,
ὡς Θεὸς δὲ συνέτριψας
μοχλοὺς τοὺς τοῦ Ἅδου·
πάντας ἐξανέστησας
τοὺς ἀπ' αἰῶνος νεκρούς,
πάσχα | τὴν παροῦσαν ἡμέραν
δείξας καὶ προτύπωσιν θείαν
τῆς μελλούσης ἔσεσθαι ἐγέρσεως.

Ὅμοιον.

Ἥλοις | προσηλώθης τῷ σταυρῷ·
λόγχῃ τὴν πλευρὰν ἐκεντήθης,
χολῆς ἐγεύσω, Χριστέ,
πάθος τε καὶ θάνατον
καταδεξάμενος
καὶ ἀνέστης τριήμερος
σαυτῷ συνεγείρας
γένος τὸ ἀνθρώπινον
ὡς παντοδύναμος·
ὅθεν | τῇ σεπτῇ σου ἐγέρσει
σήμερον χορεύοντες δόξα
τῇ συγκαταβάσει σου, φιλάνθρωπε.

Ὅμοιον.

Πάσχα ἡ παροῦσα ἑορτή,
πάσχα μυστικόν, πάσχα θεῖον,
πάσχα σωτήριον,
πάσχα πρὸς ἀθάνατον
ζωὴν μετάγον ἡμᾶς·
πάσχα πᾶσαν κατήφειαν
ἐξαῖρον ἐκ μέσου·
πάσχα τὴν εὐφρόσυνον
χάριν κομίζον ἡμῖν·
τοῦτο | καθαραῖς διανοίαις

1 διέσπλαγχνίαν.—7 ἀπαιῶνος.—14 χολῆς.—29 μετάγων.—33 κομίζων.

καὶ λευχειμονούσαις καρδίαις
δεῦτε μυστικῶς πανηγυρίσωμεν.

Εἰς τὸ Δόξα ἦχος β'. Θεοτόκιν—«Τὸν λόγον τοῦ πατρὸς | ἀσπόρως συλλαβοῦσα»: Προκείμενον, ἦχος βαρύς· «Τίς Θεὸς μέγας, ὡς ὁ Θεὸς ἡμῶν»; Στίχος. «Ἐγνώρισας ἐν τοῖς λαοῖς».— «Καταξίωσον, Κύριε». Καὶ τοῦ στιχ(ηροῦ) ἦχος β'.

Ἡ ἀνάστασίς σου, Χριστέ, Σωτήρ,
ἅπασαν ἐφώτισε τὴν οἰκουμένην
καὶ ἀνεκαλέσω τὸ ἴδιον πλάσμα·
παντοδύναμε Κύριε, δόξα σοι.

Στίχος· «Ἀναστήτω ὁ Θεὸς καὶ διασκορπισθήτωσαν».— «Πάσχα» καὶ τὰ ἑξῆς στατ [sic]. Καὶ μετὰ τὸ «Χριστὸς ἀνέστη» γ', κάθισμα ἦχος β'· «Ὅτε κατῆλθες πρὸς τὸν θάνατον». Εὐθὺς ἐπακουστόν, ἦχος α'· «Ἕνεκεν τῆς ταλαιπωρίας τῶν πτωχῶν καὶ τοῦ σ(τεναγμοῦ)». Καὶ ὁ διάκονος· «Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως». Καὶ ὁ πρωτοπαπᾶς τὸ εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην (κ', 19—25) «Ὀψίας οὔσης τῇ ἡμέρᾳ ἐκείνῃ». Τέλος· «οὐ μὴ πιστεύσω». Καὶ ὁ διάκονος τὴν αἴτησιν καὶ ἀπολύει.

ΤΗΙ ΔΕΥΤΕΡΑΙ.

Εἰς τὸν ὄρθρον· «Χριστὸς ἀνέστη», κατὰ τὸ ἔθος, καὶ τὸ «Ἀνάστασιν Χριστοῦ θεασάμενοι» γ', καὶ τὸν κα(νόνα) τοῦ πάσχα· ἦχος α'· «Ἀναστάσεως ἡμέρα». Καὶ ἕτερος κανὼν ἀναστάσιμος, ἦχος β'.

Ὠδὴ α'. «Ἐν βυθῷ κατέστρωσε ποτέ».

Ἐν κυμβάλοις νῦν Δαυιτικοῖς | ὕμνον ἐπινίκιον
τῷ λυτρωτῇ εὐχαριστοῦντες ᾄσωμεν·
εἶλε γὰρ τὸν Θάνατον, | ἀπολύτρωσιν καὶ ζωὴν χαρισάμενος
τοῖς πεπεδημένοις | ἀπὸ τοῦ αἰῶνος, ὡς φιλάνθρωπος.

1 λευχημονούσαις. — 7 ἀνάστασείσου.—9 ἀνεκαλέσατο ἴδιον.—27 λυτρωτή.

Ἐν νεκροῖς ὀφθεὶς μετὰ ψυχῆς, | νέκρωσιν ἐκούσιον
ὁ τῇ σαρκί, Χριστέ, καταδεξάμενος
ψυχὰς ἠλευθέρωσας | καὶ συνήγειρας καὶ φωτὶ κατελάμπρυνας,
μόνε ζωοδότα, | πάσχα τὸ σεπτὸν καὶ καθαρτήριον.

Ὁ τυθεὶς ἀμνὸς ὑπερ ἡμῶν | πάσχα τὸ σωτήριον,
ἐκ τῶν νεκρῶν ἀναβιώσας σήμερον
Ἅιδην ἠχμαλώτευσεν, | ἀφελόμενος οὓς δεσμώτας κατέπιεν,
κράζοντας " μεγάλη, | μόνε λυτρωτά, ἡ δυναστεία σου ".

Θεοτοκίον.

Ὁ παρθένον δείξας σε ἁγνὴν | καὶ μετὰ τὴν κύησιν
ἐκ τῶν νεκρῶν ἐξαναστὰς | τριήμερος,
τὴν κτίσιν ἐφαίδρυνεν, | ἀπειρόγαμε παναγία θεόνυμφε·
ὁ δεδοξασμένος | Κύριος ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ γ'. «Ἐξήνθησεν ἡ ἔρημος».

Ἐξάξας ἐν ἀνδρείᾳ | πεπεδημένους, Κύριε,
τῇ ὑπὸ γῆν καθόδῳ σου | ἀλαζόνα παραπικραίνοντα
ἐθανάτωσας ὄφιν | τῷ θανάτῳ σου.

Ἡμέρα, ἣν ἐποίησεν | ὁ οἰκτίρμων Κύριος,
αὕτη ὑπάρχει· πνεύματι | καὶ καρδίᾳ ἀγαλλιώμενοι
ἐν αὐτῇ εὐφρανθῶμεν | καὶ χορεύσωμεν.

Διώκτου τυραννίδος | λελυτρωμένοι αἵματι,
τοῦ καθαροῦ ἀμώμου τε | ἱερεῖον νῦν συστησώμεθα
ἑορτὴν ἐν ἀνέσει | ἀλαλάζοντες.

Θεοτοκίον.

Τὸ χαῖρέ σοι προσνέμει | ἐκ τάφου λάμψας ἥλιος·
σοὶ γὰρ καὶ μόνῃ, ἄχραντε, | πρέπει χαίρειν, θεοχαρίτωτε,
ἡ τῆς Εὔας τὴν λύπην | ἀφανίσασα.

Ὑπακοή· ἦχος β'.

Μετὰ τὸ πάθος παρευθεῖσαι | ἐν τῷ μνήματι
πρὸς τὸ μυρίσαι τὸ σῶμά σου | αἱ γυναῖκες, Χριστὲ ὁ Θεός,
εἶδον ἀγγέλους ἐν τῷ τάφῳ καὶ ἐξέστησαν·
φωνῆς γὰρ ἤκουον ἐξ αὐτῶν, | ὅτι ἀνέστη ὁ Κύριος
δωρούμενος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

1 ψυχῆς.—2 σαρκὶ.—5 ἀμνὸς.—7 δεσμῶτας.—15 ἐνανδρία.—25 χαίρε.—26 σὸ.

Ὠδὴ δ'. «Ἐλήλυθας ἐκ παρθένου οὐ πρέσβυς».

Ἐκ τάφου σε | ἀνατείλαντα ἥλιον ἄδυτον
ἀστέρες πολύφωτοι, | οἱ μαθηταί, θεασάμενοι
πᾶσαν τὴν ὑφήλιον | τῇ τοῦ κηρύγματος αἴγλῃ
κατεφώτισαν.

Χορεύσωμεν | ἑορτὴν συστησάμενοι πνεύματι·
ἀνέστη ὁ Κύριος, | πάσχα τὸ θεῖον εὐφρόσυνον
χάριν παρεχόμενος | τοῖς τὴν αὐτοῦ προσκυνοῦσι
συγκατάβασιν.

Μηνύουσαι | τὴν σεπτήν σου γυναῖκες ἀνάστασιν
τοῖς φίλοις σου, δέσποτα, | περιχαρῶς τούτοις ἔλεγον·
" εἴδομεν τὸν Κύριον | καὶ πρωτοδότως τὸ χαῖρε
ἀπειλήφαμεν.

Θεοτοκίον.

Συγχαίρει σοι | γυναικῶν μυροφόρων, πανάμωμε,
χορὸς ἱερώτατος | ἐξαναστάντα θεώμενος
Λόγον ὃν ἐκύησας | ὑπὲρ αἰτίαν καὶ λόγον,
θεονύμφευτε.

Ὠδὴ ε'. «Ὁ τοῦ φωτὸς χορηγὸς καὶ τῶν αἰώνων».

Ὁ τοῦ φωτὸς χορηγὸς | ὑπὸ τὴν γῆν μετὰ ψυχῆς | γέγονε
καὶ τοὺς ἐκεῖ | δεσμώτας ἐξάγας | ἀνέστη κραταιῶς
τὴν ἀθανασίαν πιστοῖς | χαρισάμενος.

Συνενεκρούμην σοι χθές | νενεκρωμένῳ δι' ἐμέ, | Κύριε·
σήμερον δὲ | συζωοποιοῦμαι | ζωὴν ἀληθινὴν
ἔχων σε καὶ πάσχα ψυχῆς | καθαρτήριον.

Βακτηρευόμενοι | καὶ στηριζόμενοι σταυρῷ | φάγωμεν
τὸ καθαρὸν | πάσχα, τὰς πικρίδας | σαρκὸς τῶν ἡδονῶν
ἐκ τῆς διανοίας ἡμῶν | ἀπελαύνοντες.

Θεοτοκίον.

Ἡ βασιλὶς τοῦ παντὸς | τοῦτον τῆς γαστρός σου | ὡραῖον ὁρῶσα
τάφου προελθόντα | ἀγάλλου καὶ χόρευε.

πρέσβης. — 4 ὑφῆλιον. — 11 δεσμῶτας. — 27 τας || ἡδωνῶν.

Ὠδὴ ς'. «Ἐν ἀβύσσῳ πταισμάτων κυ»:

Λαμπροφόρος ἡμέρα ἐγέρσεως·
πάντες λαμπροφόροι ψυχαῖς χρηματίσωμεν·
ὁ λυτρωτὴς ἐγήγερται,
τὰ τοῦ Ἅδου κενώσας βασίλεια·

Ἱερῶν γυναικῶν ὁ κατάλογος
βλέψας τὴν ζωὴν ἐκ νεκρῶν ἀνατείλασαν,
τοῖς μαθηταῖς συνέχαιρε
καὶ τὸ πάσχα τὸ θεῖον ἑώρταζεν.

Ἀπεσπάσθη τῆς λύπης τὰ δάκρυα·
ὁ χαροποιὸς Ἰησοῦς ἐξεγήγερται
συνεξεγείρας ἅπασαν
τῶν βροτῶν τὴν οὐσίαν, ὡς εὔσπλαγχνος.

Θεοτοκίον.

Παρθενίας τὰς πύλας οὐκ ἤνοιξας,
μνήματος σφραγῖδας οὐκ ἔλυσας, δέσποτα,
ἐξαναστὰς τριήμερος
ὁ βουλήσει τὸ πᾶν ἐργαζόμενος.

Εὐθὺς τὸ κοντάκιον «Εἰ καὶ ἐν τάφῳ», καὶ ὁ β' οἶκος.

Ὠδὴ ζ'. «Ἀντίθεον πρόσταγμα παρα»:

Διώκτης ὀλέθριος | ὀξηφανίσθη·
τοῦ Ἅδου κεκένωται | τὸ ἀφεγγὲς βασίλειον·
Χριστὸς γὰρ τὸ ἄχρονον | φῶς καὶ ἀνόλεθρον
ἤστραψεν ἀνέτειλε, χαρᾶς
τὴν οἰκουμένην | πληρώσας σήμερον.

Κρουνοὺς ἐπαφήκασί μοι | ἀθανασίας
πλευρὰν ὀρυττόμενος | καὶ χεῖρας, ὑπεράγαθε·
θανάτῳ δὲ Θάνατον, | Σῶτερ, ἐνέκρωσας
καὶ συνεξανέστησας νεκροὺς
τῇ σῇ ἐγέρσει, | ὡς ὑπεράγαθος.

Κλαιούσαις εβόησας | ταῖς μυροφόροις·
Χριστὸς ἐξεγήγερται· | τὸν θρῆνον ἀπορρίψασαι

5 κανώσας — 9 ἑόρταζεν. — 10 τοῖς. — 15 ἴνοιξας. — 16 μνῆματος σφραγῖδας. — 26 κρονοῦς ἐπαφῆκασι μοι.—32 ἐξεγείγερται.

τοῖς φίλοις μου εἴπατε | καθυπαντῆσαί μοι
καὶ τὴν ἐπινίκιον ᾠδὴν
ἀναφωνῆσαι | τὴν συναστείαν μου.

Θεοτοκίον.

Παρθένον τηρήσας σε | μετὰ τὸν τόκον
ὁ πάντα βουλήματι τῷ θείῳ ἐργασάμενος,
ὡράθη ὡς ἄνθρωπος, | θεοχαρίτωτε,
πᾶσι τὴν ἀνάστασιν διδούς,
ὡς εὐεργέτης | καὶ ὑπεράγαθος.

Ὠδὴ η'. «Τὸν ἐν καμίνῳ τοῦ πυρός».

Ὡς ἐκ παστάδος φωταυγὴς | καὶ ὡραῖος, Ἰησοῦ,
νυμφίος ὤφθης, | τοῦ καινίσαντος τάφον
τὴν ἀφθαρσίαν ἡμῖν | νεκρώσας,
φύλακας ζωώσας δὲ | τοὺς πεπιστευκότας
εἰς σὲ τὸν ζωοδότην.

" Ἀθανατίσθητε ὑμεῖς | τῷ θανάτῳ μου " τοῖς σοῖς
ἐβόας φίλοις | " καὶ τὸ πάσχα τὸ μέγα
ταῖς πατριαῖς τῶν ἐθνῶν | μεγάλως
λαμπρῶς τε κηρύξατε, | ἵνα γνῶσι πάντες
Χριστὸν νικοποιόν με ".

" Ζήσεσθε, φίλοι μαθηταί, | ἐν ἐμοί· καὶ γὰρ ἐγὼ
ζωὴ ὑπάρχω· | ἐξανέστην ἐν δόξῃ,
καθὼς ὁρᾶτε ", Χριστέ, | ἐβόας·
" σαλπίσατε σάλπιγγι | ἐν ἀγαλλιάσει
ψυχῆς εἰς τοὺς αἰῶνας ".

Θεοτοκίον.

Ἐγηγερμένον ἐκ νεκρῶν | ἡ παρθένος Ἰησοῦν
θεασαμένη, | " ὡραιώθης " ἐβόα,
" καλλοποιὲ Ἰησοῦ, | θανάτῳ
νεκρώσας τὸν θάνατον "· | ὅθεν σε δοξάζει
συμφώνως | πᾶσα ἡ κτίσις.

Ὠδὴ θ'. «Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον, τὸν ἄρρητον».

Ὁμοιωθεὶς κατὰ πάντα | ἁμαρτήματος δίχα
ἀνθρώποις, Ἰησοῦ παμβασιλεῦ, | θνήσκεις καὶ ταφῳ κατάκεισαι,

2 ωδην.—12 ὤφθης.—23 ὡράτε.

καὶ φθορᾶς μετασχὼν δὲ | ἀνίστασαι καινίζων τοῖς πιστοῖς
ἀφθαρσίας εἰσόδους | τῇ θείᾳ ἀναστάσει σου.

Αὕτη ἐστὶν ἡ ἡμέρα, | ἣν ἐποίησεν ὄντως
ὁ Κύριος, ποιήσας ἐν αὐτῇ | ἔνδοξά τε καὶ ἀπόρρητα·
ἐν αὐτῇ | εὐφρανθῶμεν | καὶ κράξωμεν μεγάλῃ τῇ φωνῇ·
" τὸ σεβάσμιον πάσχα | ἡμῶν, Κύριε, δόξα σοι ".

" Τί μετὰ μύρων ζητεῖτε | τὸ πολύτιμον μύρον;
τοῦ Ἅδου τὸ δυσῶδες ἀφελὼν | λύσιν δεσμώταις διέπνευσε
καὶ ἀνέστη ἐν δόξῃ· | ἐμπλήσθητε χαρᾶς " ταῖς γυναιξὶν
ὁ ἀστράπτων τῷ τάφῳ | ἀρχάγγελος ἐβόησεν.

Θεοτοκίον.

Σὺν γυναιξὶν μυροφόροις, | σὺν σοφοῖς ἀποστόλοις,
ὁρῶσα τὸν υἱόν σου καὶ Θεὸν | ἐγηγερμένον, πανάμωμε,
ἐκ νεκρῶν, καθὼς εἶπεν, | ἑόρτιον ἀνάλαβε χαράν,
δυσωποῦσα ἀπαύστως | σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εὐθὺς « Ἅγιος Κύριος ὁ Θεὸς ὑμῶν ». Ἐξαποστειλάριον· « Σαρκὶ ὑπνώσας ». Στιχηρὰ ἀναστάσιμα εἰς τοὺς αἴνους· ἦχος β'.

Πᾶσα πνοὴ καὶ πᾶσα κτίσις | σὲ δοξάζει, Κύριε,
ὅτι διὰ τοῦ σταυροῦ | τὸν Θάνατον κατήργησας,
ἵνα δείξῃς τοῖς λαοῖς | τὴν ἐκ νεκρῶν σου ἀνάστασιν,
ὡς μόνος φιλάνθρωπος.

Εἰπάτωσαν Ἰουδαῖοι | πῶς οἱ στρατιῶται
ἀπώλεσαν τηροῦντες | τὸν βασιλέα·
διὰ τί γὰρ ὁ λίθος | οὐκ ἐφύλαξε τὴν πέτραν τῆς ζωῆς;
ἢ τὸν ταφέντα δώσουσιν, | ἢ ἀναστάντα προσκυνήσουσιν
λέγοντες σὺν ἡμῖν | " δόξα τῷ πλήθει τῶν οἰκτιρμῶν σου·
Σωτὴρ ἡμῶν, δόξα σοι ".

Ἄγγελος μὲν τὸ χαῖρε | πρὸ τῆς σῆς συλλήψεως, Κύριε,
τῇ κεχαριτωμένῃ ἐβόησεν· | ἄγγελος δὲ τὸν λίθον
τοῦ ἐνδόξου σου μνήματος | ἐν τῇ σῇ ἀναστάσει ἐκύλισεν·
ὁ μὲν ἀντὶ τῆς λύπης | εὐφροσύνης σύμβολα μηνύων,

8 δεσμῶτες.—14 καθὼς.—18 πνοῆ.— 25 ἐκδ. « δότωσαν ». — 26 κῶδ. « προσκυνήσωσιν »· ἐκδ. « προσκυνείτωσαν ». — 28 προτῆς. — 29 κῶδ. « ἐβόησεν »· ἐκδ. « ἐκόμισεν ».

ὁ δὲ ἀντὶ θανάτου | δεσπότην ζωοδότην κηρύττων ἡμῖν·
διὸ βοῶμέν σοι· | "εὐεργέτα τῶν ἁπάντων, | Κύριε, δόξα σοι".

Χαίρετε, λαοί, καὶ ἀγαλλιᾶσθε·
ἄγγελος ἐκάθισεν εἰς τὸν λίθον τοῦ μνήματος·
αὐτὸς ἡμῖν εὐηγγελίσατο εἰπών
"Χριστὸς ἀνέστη ἐκ νεκρῶν, | ὁ σωτὴρ τοῦ κόσμου,
καὶ ἐπλήρωσε τὰ σύμπαντα εὐωδίας"·
χαίρετε, λαοί, καὶ ἀγαλλιᾶσθε.

Στίχος· «Ἀναστήτω ὁ Θεός». Ἦχος πλάγιος α'· «Πάσχα». Καὶ τὸ Δόξα. «Ἀναστάσεως ἡμέρα». Καὶ εὐθὺς μετὰ τὸ «Χριστὸς ἀνέστη» γ', ἐπακουστὸν (εἰς) ἦχ(ον) β'· «Φῶς ἀνέτειλε τῷ δικαίῳ καὶ τοῖς εὐθέσι»: Εὐαγγέλιον δ' κατὰ Λουκᾶν (κδ', 1—12)· «Ὄρθρου βαθέος ἦλθον γυναῖκες εἰς τὸ»: Τέλος· «πρὸς ἑαυτὸν θαυμαζων τὸ γεγονός». Εὐθὺς Δόξα· ἦχος δ'.

Ὄρθρος ἦν βαθὺς | καὶ αἱ γυναῖκες ἦλθον
ἐπὶ τὸ μνῆμά σου, Χριστέ·
ἀλλὰ τὸ σῶμα οὐχ εὑρέθη
τὸ ποθούμενον | αὐταῖς·
διὸ | ἀπορουμέναις
οἱ ταῖς ἀστραπτούσαις ἐσθήσεσιν ἐπιστάντες
"τί τὸν ζῶντα μετὰ τῶν νεκρῶν
ζητεῖτε" ἔλεγον· | "ἠγέρθη, ὡς προεῖπεν·
τί ἀμνημονεῖτε τῶν ῥημάτων αὐτοῦ";
οἷς πεισθεῖσαι | τὰ ὁραθέντα ἐκήρυττον·
ἀλλ' ἐδόκει λῆρος τὰ εὐαγγέλια·
οὕτως ἦσαν ἔτι νωθεῖς οἱ μαθηταί·
ἀλλ' ὁ Πέτρος ἔδραμεν καὶ ἰδὼν
ἐδόξασέν σου πρὸς ἑαυτὸν τὰ θαυμάσια.

Καὶ εὐθὺς ὁ διάκονος τὴν αἴτησιν καὶ ἀπολύει. Ἡ δὲ θεία λειτουργία τελεῖται εἰς τὴν Ἁγίαν Ἀνάστασιν. Γίνεται ἡ εἴσοδος, καθὼς ἐτάχθημεν τῇ Κυριακῇ, καὶ τὰ ἀντίφωνα. Προκείμενον, ἦχος πλάγιος δ'· «Εἰς πᾶσαν τὴν γῆν». Στίχος· «Οἱ οὐρανοὶ διηγοῦνται». Ὁ ἀπόστολος· Πράξεων. Εὐαγγέλιον κατὰ Ἰωάννην

1 κηρύττον. — 4 ἐκάθησεν.—5 ἐκδ. «ἡμᾶς».—19 ἀπορουμένα. — 24 οἷς πισθεῖσασα.

(α', 18 κὲ)· «Θεὸν οὐδεὶς»: Εἰς τὰ ἅγια, ὡς ἐτυπώθη τῷ πάσχα. Ὀφειλει δὲ φέρειν μὲ τὰ ἅγια ιβ' θυμ(ιατὰ) καὶ σταυρόν· καὶ ὅτε εἰσέλθωσιν τὰ ἅγια εἰς τὸ Βῆμα καὶ γίνεται ὁ ἀσπασμός, εὐγένουσιν ιβ' διάκονοι μὲ τὰ (θυμιατὰ καὶ) θυμιάζου(ν) πρῶτον τὸν Ἅγιον Τάφον καὶ τὸν ναὸν ὅλον, καὶ τὸν Γολγοθᾶν καὶ τὸν Ἅγιον Κῆπον καὶ τὸν Ἅγιον Κωνσταντῖνον καὶ τὴν Ἁγίαν Φυλακήν. Καὶ ὅταν φθάσωσιν πάλιν εἰς τ(ὸ Βῆμα) λαμβάνου(ν) οἱ ὑποδιάκονοι τοὺς θυμ(ιατοὺς) ἐξ αὐτῶν, καὶ τελεῖται ἡ λειτ(ουργία)· καὶ τὸ κοινωνικόν, ὥσπερ τῇ Κυριακῇ· καὶ οὕτως ἕως τῇ Κυριακῇ τοῦ Θωμᾶ.

ΤΗΙ ΔΕΥΤΕΡΑΙ ΕΣΠΕΡΑΣ.

Στιχηρὰ ἀναστάσιμα εἰς τὸ «Κύριε ἐκέκραξα»· ἦχος γ'.

Τῷ σῷ σταυρῷ, Χριστέ, Σωτήρ, | Θανάτου κράτος λέλυται
καὶ Διαβόλου ἡ πλάνη κατήργηται· | γένος δὲ ἀνθρώπων
πίστει σωζόμενον | ὕμνον σοι | καθ' ἑκάστην προσφέρει.

Πεφώτισται τὰ σύμπαντα | τῇ ἀναστάσει σου, Κύριε,
καὶ ὁ παράδεισος πάλιν ἠνέῳκται· | πᾶσα δὲ ἡ κτίσις
ἀνευφημοῦσά σε | ὕμνον σοι | καθ' ἑκάστην προσφέρει.

Δοξάζω | τοῦ πατρὸς καὶ τοῦ υἱοῦ τὴν δύναμιν
καὶ πνεύματος ἁγίου ὑμνῶ τὴν ἐξουσίαν,
ἀδιαίρετον ἄκτιστον θεότητα, | τριάδα ὁμοούσιον
τὴν βασιλεύουσαν εἰς αἰῶνα αἰῶνος.

Στιχηρὰ ἕτερα· ἦχος γ', πρὸς τὸ «Σταυροφανῶς Μωυσῆς».

Σὺ ὡς ἀμνὸς | ἑκουσίως ἐτύθης
πάσχα τὸ μέγα καὶ θεῖον,
τῆς τοῦ ἐχθροῦ με δουλείας | ἐλευθερῶν·
διὰ τοῦτο | ὑμνῶ σε | μεγαλοφώνως, οἰκτίρμων,
ἐν τῇ εὐσήμῳ ἡμέρᾳ τῆς ἐγέρσεως τῆς σῆς,

τ υ
2 μετ(ὰ). — 4 με θυμιαζο.—14 ἡ πλάνη σ κατήργηται.—15 καθεκάστη.—24 ἀμνός.—27 διατοῦτο.

καὶ προσκυνῶ σου τὸ κράτος, Ἰησοῦ,
καὶ τὴν βασιλείαν τὴν ἀκατάλυτον,
δι' ἧς τοῦ Θανάτου τὸ φοβερὸν κατελύθη βασίλειον.

Ὅμοιον.

" Αἱ τῷ κλαυθμῷ | τὰς ψυχὰς συσχεθεῖσαι
περιπαθεῖς μυροφόροι,
χαρὰν ἐνδύσασθε μᾶλλον, | ὅτι Χριστός,
ἡ ζωή, ἐξανέστη | καὶ συνανέστησε πάντας
τοὺς ἀπ' αἰῶνος θανέντας " | ἀνεβόα ὁ φανεὶς
ἐναστράπτων ἄγγελος φαιδρῶς,
ἐν τῷ λίθῳ πάλαι προκαθεζόμενος·
" ἀπαγγείλατε δὲ | τοῖς αὐτοῦ ἀποστόλοις ἃ εἴδετε ".

Ὅμοιον.

Πάσχα δι' οὗ | οἱ ἐκ γῆς πρὸς τὰ ἄνω
ἐπανεγράφησαν, πάσχα
ἡ φαιδροτάτη ἡμέρα· | δεῦτε, πιστοί,
ἀλαλάξωμεν ὕμνοις | καὶ ψαλμικῶς εὐφρανθῶμεν,
περιπτυσσόμενοι πάντες | ἑαυτοὺς χαρμονικῶς,
καὶ εὐχαρίστως βοήσωμεν αὐτῷ·
" κραταιᾷ χειρί σου, μόνε ἀθάνατε,
ἐλυτρώσω κόσμον ἐκ φθορᾶς· | διὰ τοῦτο δοξάζω σε ".

Δόξα· ἦχος γ'. «Πῶς μὴ θαυμάσωμεν»: Προκείμενον, ἦχος βαρύς· «Ὁ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ». Στίχος· «Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου»: Εἶτα τὸ «Καταξίωσον Κύριε». Εὐθὺς τοῦ στιχ(ηροῦ) ἦχος γ'·

Ὁ τῷ πάθει σου, Χριστέ, | ἀμαυρώσας τὸν ἥλιον
καὶ τῷ φωτὶ | τῆς σῆς ἀναστάσεως
φαιδρύνας τὰ σύμπαντα, | πρόσδεξαι ἡμῶν
τὸν ἑσπερινὸν ὕμνον, φιλάνθρωπε.

Καὶ τὰ στιχηρὰ τὰ πλαγίου α'· «Πάσχα»: — Καὶ μετὰ τὸ «Χριστὸς ἀνέστη», «Νῦν ἀπολύεις». Κάθισμα, ἦχος γ'· «Εὐφραινέσθω τὰ οὐράνια». Ὁ διάκονος τὴν αἴτησιν καὶ ἀπολύει.

---

3 ζαφοβερόν. — ὃ οἱ || ψυχὰς. — 7 χαρᾶν. — 9 ἀπαιῶνος. — 10 ἐναστράπτων. — 18 περιπτυσσώμενοι.—26 πάθη.

ΤΗΙ ΤΡΙΤΗΙ.

Εἰς τὸν ὄρθρον τὸ «Χριστὸς ἀνέστη» καὶ τοῦ στιχ(ηροῦ?) καὶ τὸ «Ἀνάστασιν Χριστοῦ θεασάμενοι» γ'. Εὐθὺς «Ἀναστάσεως ἡμέρα» καὶ ὁ κανὼν οὗτος· ἦχος γ'.

Ὠδὴ α'. «Ὁ τὰ ὕδατα πάλαι».

Ὁ τὴν γῆν ἐφ' ὑδάτων | πάλαι κρεμάσας
κρεμᾶται | ἐθελουσίως ἐν ξύλῳ,
ἐκ πλευρᾶς βρύει δὲ | ὕδωρ ἀφέσεως
καὶ τὴν ἀναβλύσασαν | ἐν παραδείσῳ κακίαν
ξηραίνει, ὡς εὔσπλαγνος, | ὅτι δεδόξασται.

Ἐκ τῆς γῆς πρὸς τὰ ἄνω | ἀνενεχθέντες
τοῦ πάσχα | τῇ λαμπροφόρῳ ἡμέρᾳ,
ἐν αὐτῇ σήμερον | χοροὺς συστησώμεθα,
αἶνον ἀναπέμποντες | τῷ νικητῇ τοῦ Θανάτου
μόνῳ βασιλεῖ ἡμῶν, | ὅτι δεδόξασται.

" Τὸ ἀτίμητον μύρον | τί μετὰ μύρων,
γυναῖκες, | ἐπιζητεῖτε ἐν τάφῳ "·
ὁ φανεὶς ἄγγελος | λαμπρῶς ἐβόησεν·
" ἄπιτε, κυρύξατε | τοῖς μαθηταῖς, ἐξανέστη
καὶ κατευωδίασε | τῆς γῆς τὰ πέρατα ".

Θεοτοκίον.

Τὸν υἱόν σου, παρθένε, | ἐγηγερμένον
ἐκ τάφου | ὡραῖον κάλλει ὁρῶσα
μαθηταῖς, ἄχραντε, | λαμπρῶς συνέχαιρες·
ὅθεν σοι κραυγάζομεν | " χαῖρε χαρᾶς ἡ αἰτία,
λύπης ἡ ἀναίρεσις, | ζωῆς φανέρωσις ".

Ὑπακοή.

Ὠδὴ γ'. «Ὁ ἐκ μὴ ὄντων τὰ πάντα, παρθένε».

Ἥλιε δόξης, | αὐράτε βασιλεῦ, | ὁρῶν σε κρεμάμενον
φῶς συνέστειλεν ἥλιος | καὶ ἡ γῆ ἐσείετο
καὶ ἐδονεῖτο τῷ φόβῳ σου ἡ κτίσις.

16 μῦρον. — 19 ἄπητε. — 23 ὡραῖον. 24 συνέχερες.

Σήμερον ὤφθη | ὡραῖος ἐκ παστοῦ | Χριστὸς πορευόμενος·
νῦν ἐκ τάφου ὁ Κύριος | καὶ τὴν ὡραιότητα
ἡμῖν τῆς θείας ἐγέρσεως δωρεῖται.

Πάσχα Κυρίου | τὸ μέγα καὶ ἱερόν· | Χριστὸς ἐκ τάφου
δεσμῶν ἠλευθερώθη τε, | ἁμαρτίας σήμερον
τὸν καταλύτην τοῦ Ἅδου ἀνυμνοῦντες.

Θεοτοκίον

Τὸν σταυρωθέντα | ταφέντα καὶ ἐκ νεκρῶν, | καθὼς προεῖπεν,
ἐγερθέντα τριήμερον, | θεομῆτορ, αἴτησαι
τοῦ διασῶσαι τοὺς δούλους σου, παρθένε.

Ὑπακοή· ἦχος γ'.

Ἐκπλήττων τὴν ὅρασιν, | δροσίζων τοῖς ῥήμασιν
ὁ ἀστράπτων ἄγγελος | ταῖς μυροφόροις ἔλεγε·
" τὸν ζῶντα ζητεῖτε ἐν μνήματι;
ἠγέρθη κενώσας τὰ μνήματα
τῆς φθορᾶς ἀλλοιωτής·
γνῶτε τὸν ἀναλλοίωτον·
εἴπατε τῷ Θεῷ | ὡς φοβερὰ τὰ ἔργα σου,
ὅτι τὸ γένος | ἔσωσε τῶν ἀνθρώπων ".

Ὠδὴ δ'. «Ἔθου πρὸς».

Βήματι κριτοῦ
ὁ κριτὴς Πιλάτῳ παρέστηκας,
φέρων ἐμπτυσμοὺς καὶ ῥαπισμούς,
καὶ καταβὰς εἰς Ἅδην ἐρράπισας
τούτου τὸ βασίλειον, | ἐξαναστήσας
πάλαι οὓς κατέπιεν.

Πάσχα, ἑορτῶν
ἑορτὴ λαμπρὰ καὶ πανήγυρις
πασῶν πανηγύρεων, πιστοί,
τῷ νικητῇ τοῦ Ἅδου βοήσωμεν·
" εἰργάσω παράδοξα | ἡμᾶς ζωώσας·
δόξα τῇ δυνάμει σου ".

1 ὡραῖος. — 6 ἀνύμνοῦντες. — 8 καθὼς. — 9 θεομήτορ. — 12 ἐκπλήττων. — 24 ἐρράπισας. — 28 ἑορτῇ λαμπρᾷ.

Χαῖρε μαθητῶν
ὁ χορὸς ὁρῶν τὸν διδάσκαλον
Θάνατον θανάτῳ ἀληθῶς
καταβαλόντα καὶ τὰ βασίλεια
τοῦ Ἅιδου κενώσαντα | καὶ ἀναστάντα
τάφου, καθὼς ἔφησεν.

Θεοτοκίον.

Μόνη γυναικῶν
τοκετὸν παράδοξον ἔσχηκας,
μόνη καθορᾷς τὸν ἐκ νεκρῶν
ἐγηγερμένον, κόρη πανάμωμε,
τὸν μόνον Θεὸν ἡμῶν, | ὃν ἐκδυσώπει
σῶσαι τὰς ψυχὰς ἡμῶν.

Ὠδὴ ε'. «Ἐπὶ τῆς γῆς | ὁ ἀόρατος ὤφθη».

Ἐπὶ σταυροῦ | ἑκουσίως ὑπνωσας
τοὺς ἐν νεκροῖς | ἀκουσίως ὑπνοῦντας
μετὰ ψυχῆς ἐν αὐτοῖς | καταβάς, φιλάνθρωπε,
κραταιῶς συνεξανέστησας.

" Μετὰ νεκρῶν | μὴ ζητεῖτε τὸν ζῶντα,
μετὰ κλαυθμοῦ | τὴν παράκλησιν πάντων
βλέψαι μὴ θέλετε " | ὁ ἀστράπτων ἄγγελος
μυροφόροις ἀπεφθέγγετο.

Τῶν μαθητῶν | ἐκ νεκρῶν σε ὁ θῆμος
ἑωρακὼς | ἀναλάμψαντα, Λόγε,
χαρᾶς πεπλήρωται | καὶ κροτεῖ ἐν πνεύματι
πάσχα μέγα καὶ σωτήριον.

Θεοτοκίον.

Ὃν ἐκ τῶν σῶν | παναγίων αἱμάτων
ὑπερφυῶς | ἐσωμάτωσας Λόγον,
ἀναβιώσαντα | ἐκ νεκρῶν τριήμερον
ἐθεάσω, μητροπάρθενε.

ε
5 καινώσαντα. — 9 τοκετὸν. — 10 καθόρᾳς τῶν. — 12 ἐκδυσώπη. — 13 τᾶς. — 24 ἑωρακῶς.—25 κροτῆ.—29 ὑπὲρ φυῶς.

Ὠδὴ ς'. «Ἄβυσσος ἐσχάτη».

Ἄσατε | καὶ ψάλατε τῷ Θεῷ
ἑλόντι πάθει | τὸν ἁπάντων πολέμιον,
καὶ πανηγυρίσατε | φυλαὶ καὶ γλῶσσαι τῆς γῆς
καὶ κροτήσατε | " ἐξανέστη ὁ Κύριος ".

Τέτρωται | τῇ λόγχῃ σου ὁ ἐχθρὸς
καὶ ἡ φλογίνη | ῥομφαία νῶτα δίδωσι
τοῖς τὴν σὴν ἀνάστασιν | εὐσεβῶς καταγγέλλουσιν
καὶ ὑμνοῦσί σε, | Ἰησοῦ ὑπεράγαθε.

Σήμερον | τὴν ἔγερσιν ἀληθῶς
αὐτὴν ἑορτάζομεν | τοῦ δεσπότου τῆς κτίσεως·
ἐν αὐτῇ τὸν κόσμον γὰρ | ἑαυτῷ συνανέστησε
καὶ ἐνέκρωσε | νεκρωθεὶς τὸν πολέμιον.

Θεοτοκίον.

Σήμαντρα | τῆς παρθενίας τῆς σῆς
Χριστὸς μὴ λύσας | ὑπὲρ λόγον σεσάρκωται·
ἀναστὰς ἐκ τάφου δὲ | ἀσαλεύτους ἐτήρησε,
Θεονύμφευτε, | τὰς σφραγῖδας τοῦ μνήματος.

Εὐθὺς «Εἰ καὶ ἐν τάφῳ» καὶ ἐκ τῶν οἴκων.

Ὠδὴ ζ'. «Τρεῖς παῖδες ἐν καμίνῳ τὴν τριάδα».

Κροτήσατε, τὰ ἔθνη, | ψαλμικῶς χεῖρας σήμερον
" ἐξανέστη ὁ Χριστὸς | ἐξεγείρας νεκρούς "
μεγαλοφώνως βοῶντα·
" εὐλογητὸς εἶ ὁ Θεὸς τῶν πατέρων ἡμῶν ".

" Στησώμεθα χορείαν " | μυστικῶς ἀλαλάξαντες
" τῇ τοῦ πάσχα ἑορτῇ " | καὶ ἀνακράξωμεν·
" ὁ τὰ μεγάλα ποιήσας
εἰς ἀπολύτρωσιν εὐλογητὸς εἶ, Χριστέ ".

Γυναῖκες ἀπὸ θέας | γραφικῶς δεῦτε σήμερον
τῇ Σιὼν εὐαγγελίσασθε τὴν ἔγερσιν
τοῦ ἐκ παρθένου τεχθέντος
καὶ τῶν ὠδίνων τῶν πικρῶν | τὴν Εὔαν λύσαντα.

4 πανηγυρήσατε,—7 ῥωμφαῖα.—23 βοῶντας.—29 ἀποθέας.—32 εὔαν.

Θεοτοκίον.

Νεφέλη φωτοφόρε, | ὁ οἰκήσας τὴν μήτραν σου
ὑπὲρ λόγον μέγας ἥλιος, παρθένε, Χριστός,
ἐξανατείλας τοῦ τάφου
πᾶσαν ἐφώτισε τὴν γῆν | θείαις λαμπρότησιν.

Ὠδὴ η΄. «Ἀστέκτω πυρὶ ἐνωθέντες».

Ἀκάνθας στεφθεὶς | ἑκουσίως
πρόρριζον τὴν ἄκανθα | τῆς πλάνης ἀποτέμνεις·
ἀναστὰς δέ, | Σωτήρ, ἐκ τάφου
τοὺς πιστοὺς ἐζώωσας· διὰ τοῦτο
πάσχα | κροτοῦντες αἰώνιον
σὲ ὑμνολογοῦμεν, | πατρὸς υἱὲ καὶ Λόγε,

"Χαίρετε" βοᾷς | μυροφόροις,
σοῦ τοὺς ἱεροὺς κρατούσαις πόδας, ὧν τὸν κρότον
ἡ προμήτωρ μὲν ἐφοβήθη
καὶ εὐαγγελίστρισς ἀποστόλοις
ταύτας | δεικνύεις ὁ Κύριος,
"ἀνέστη" λεγούσας | "καὶ ζῇ εἰς τοὺς αἰῶνας".

"Ἄπιτε ὑμεῖς εἰς τὰ ἔθνη
πάντα" ἀποστόλοις ἀνεβόα ὁ δεσπότης,
"διαγγέλλοντες τὴν ἐκ τάφου
φρικώδη μου ἔγερσιν καὶ τοῦ Ἅδου
ὄντως παντελῆ καθαίρεσιν,
ὅπως τε θανέντων | καὶ ζώντων βασιλεύω".

Θεοτοκίον.

Χαίροις, χαρμονή, | ἀνεικάστως
βλέπουσα, παρθένε Θεοτόκε, τὸν υἱόν σου
πρωτότοκον ὡς ἐκ γαστρός σου,
οὕτως καὶ πρωτότοκον ἐκ τῶν νεκρῶν
δόξῃ | θεία ἀνερχόμενον,
πρῶτον τὰ τοῦ Ἅδου | κενώσαντα ταμεῖα.

10 διατοῦτο.—13 χαῖρετε.—14 κρατοῦσαι.—17 ταῦτας.—19 ἄπητε.—21 διάγγέλλοντες.—24 ζῶντων βασιλεύων.—26 χαρμονῆ.

Ὠδὴ θ'. «Ἐν νόμου σκιᾷ καὶ γράμματος».

Τὴν ξύλῳ ποτὲ βλαστήσασαν | φθορὰν ξύλῳ ἰάτρευσας,
ἐν τάφῳ προσκληθεὶς δὲ | τοὺς ἐν τάφοις ἤγειρας νεκρούς,
πάσχα τὸ μέγα καὶ θεῖον, | Λόγε ἀνάρχου πατρός,
ὁ τοὺς βροτοὺς συμπολίτας | τῶν ἀγγέλων ἐργασάμενος.

Κλαιούσαις ποτὲ ἐβόα | γυναιξὶν ὁ θεῖος ἄγγελος,
"χαρὰν ἀναλαβοῦσαι | ἀποστόλοις σπεύσατε εἰπεῖν,
ὡς ὁ δεσπότης ἀνέστη | καὶ νῦν προάγει ὑμᾶς
εἰς Γαλιλαίαν, ὡς εἶπεν | πρὸ τοῦ πάθους ὁ φιλάνθρωπος".

Ἀγάλλου ἡ γῆ· ἀγάλλου, | οὐρανοί· βροτοί, σκιρτήσατε·
ὁ Κύριος ἀνέστη, | κατεπόθη Θάνατος λοιπόν·
οἱ ἐν δεσμοῖς ἀπ' αἰῶνος | ἠλευθερώθησαν,
πάσχα κροτοῦντες τὸ μέγα, | τὸ φαιδρόν τε καὶ χαρμόσυνον.

Θεοτοκίον.

Τὸ θρῆνος, ἁγνή, μετῆλθε | λοιπὸν εἰς ἀγαλλίασιν·
ἰδοὺ γὰρ ὁ υἱός σου | καὶ δεσπότης πάντων καὶ Θεός,
ὃν ἐν σταυρῷ κατενόεις | κάλλος καὶ ἔχοντα,
ἐγηγερμένος ὡραῖος | πᾶσαν κτίσιν ἐγκαλλώπισεν.

Ἐξαποστειλάριον· «Σαρκὶ ὑπνώσας». Στιχηρὰ ἀναστάσιμα εἰς τοὺς αἴνους· ἦχος γ'.

Δεῦτε, πάντα τὰ ἔθνη, γνῶτε
τοῦ φρικτοῦ μυστηρίου τὴν δύναμιν·
Χριστὸς γὰρ ὁ σωτὴρ ἡμῶν, | ὁ ἐν ἀρχῇ Λόγος,
ἐσταυρώθη δι' ἡμᾶς καὶ ἐκὼν ἐτάφη
καὶ ἀνέστη ἐκ νεκρῶν | τοῦ σῶσαι τὰ σύμπαντα·
αὐτῷ προσκυνήσωμεν.

Διηγήσαντο πάντα τὰ θαυμάσια
οἱ φύλακές σου, Κύριε·
ἀλλὰ τὸ συνέδριον τῆς ματαιότητος
πληρῶσαν δώρων τὴν δεξιὰν αὐτῶν
κρύπτειν ἐνόμιζον τὴν ἀνάστασιν σου,
ἣν ὁ κόσμος δοξάζει· | ἐλέησον ἡμᾶς.

1 νόμω. — 2 φθορᾶν || ἰάτρευσας. — 7 σπεῦσατε. — 10 γῆ. — 16 ἰδοὺ. — 23 ἀρχῇ. — 26 ἐκὸ. «αὐτὸν». — 30 πληρῶσαι δῶρα.

Χαρᾶς τὰ πάντα πεπλήρωται
τῆς ἀναστάσεως τὴν πεῖραν εἰληφότα·
Μαρία γὰρ ἡ Μαγδαληνὴ
ἐπὶ τὸ μνῆμα ἦλθεν·
εὗρεν ἄγγελον ἐπὶ τὸν λίθον καθήμενον,
τοῖς ἱματίοις ἐξαστράπτοντα καὶ λέγοντα
"τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν;
οὐκ ἔστιν ὧδε, | ἀλλ' ἐγήγερται, καθὼς εἶπεν,
καὶ προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν".

Ἐν τῷ φωτί σου, δέσποτα, | ὀψόμεθα φῶς, φιλάνθρωπε·
ἀνέστης γὰρ ἐκ τῶν νεκρῶν,
σωτηρίαν τῷ γένει τῶν ἀνθρώπων δωρούμενος,
ἵνα σε πᾶσα κτίσις δοξολογῇ
τὸν μόνον ἀναμάρτητον· | ἐλέησον ἡμᾶς.

Στίχος· ἦχος πλάγιος α'· «Ἀναστήτω ὁ Θεός». — «Πάσχα» καὶ τὰ ἑξῆς, καὶ μετὰ τὸ «Χριστὸς ἀνέστη» γ', ὁ διάκονος συναπτ(ήν). Ἐπ(α)κ(ουστόν), ἦχος πλάγιος δ'· «Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα ὁ Θεός σου, Σιών». Εὐαγγέλιον· κατὰ Ματθαῖον (κη', 16—20)· «Οἱ δὲ ἕνδεκα μαθηταί». Τέλος· «τοῦ αἰῶνος· ἀμήν». Εὐθὺς μετὰ τὸ εὐαγγέλιον, τροπ(άριον)· ἦχος α'.

Εἰς τὸ ὄρος τοῖς μαθηταῖς ἐπειγομένοις
διὰ τὴν χαμόθεν ἔπαρσιν ἐπέστη ὁ Κύριος,
καὶ προσκυνήσαντες αὐτὸν
καὶ τὴν δοθεῖσαν ἐξουσίαν | πανταχοῦ διδαχθέντες
εἰς τὴν ὑπ' οὐρανὸν ἐξαποστέλλονται
κηρῦξαι τὴν ἐκ νεκρῶν σου ἀνάστασιν
καὶ τὴν εἰς οὐρανοὺς ἀποκατάστασιν·
οἷς καὶ συνδιαιωνίζειν ὁ ἀψευδὴς ἐπηγγείλατο,
Χριστὸς ὁ Θεὸς καὶ σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Ὁ διάκονος τὴν αἴτησιν καὶ ἀπολύει. Ὀφείλει δὲ γίνεσθαι μετὰ τὸ «Χριστὸς ἀνέστη» (τοῦτο)· ποιοῦμεν λιτ(ήν), ὁ πατριάρχης σὺν τῷ κλήρῳ, ἀπὸ τὴν Ἁγίαν Ἀνάστασιν εἰς τὸ Ἅγιον

2 εἰληφότες.—9 ἐκδ. «ἐν τῇ Γαλιλαίᾳ».—12 σωτηρία τὸ γένος.—13 πᾶσα | δοξολογεῖ. — 16 ἑξῆς. — 21 ἐπηγομένοις διατὴν. — 24 δοθεῖσαν. — 25 ἐξαποστέλλοντες. — 26 κηρύξαι. — 28 συν δι αἰωνίζειν.—30 γίνετ(αι).—31 προσέθηκα τὸ «τοῦτο».

Κρανίον καὶ εἰς τὸν Ἅγιον Κωνσταντῖνον καὶ εἰς τὴν Ἁγίαν Φυλακὴν καὶ εἰς τὸν Ἅγιον Κῆπον, ἕως τὴν Ἁγίαν Σιών· κἀκεῖθ(ι) ἀναγινώσκομεν τὸ εὐαγγέλιον.

ΤΗΙ ΤΡΙΤΗΙ ΤΗΣ ΔΙΑΚΑΙΝΗΣΙΜΟΥ.

Ἑσπέρας· στιχηρὰ ἀναστάσιμα εἰς τὸ «Κύριε ἐκέκραξα»· ἦχος δ'.

Τὸν ζωοποιόν σου σταυρὸν | ἀπαύστως προσκυνοῦντες,
Χριστέ, τὴν τριήμερόν σου ἀνάστασιν δοξάζομεν·
δι' αὐτῆς γὰρ ἀνεκαίνισας | τὴν καταφθαρεῖσαν
τῶν ἀνθρώπων φύσιν, παντοδύναμε,
καὶ τὴν εἰς οὐρανοὺς ἄνοδον ἀνεκ[άλε]σας ἡμῖν
ὁ μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

Τοῦ ξύλου τῆς παρακοῆς | τὸ ἐπιτίμιον ἔλυσας, Χριστέ,
τῷ ξύλῳ τοῦ σταυροῦ | ἑκουσίως προσηλωθείς,
καὶ εἰς Ἅδου κατελθών, δυνατέ,
τοῦ θανάτου τὰ δεσμὰ | ὡς Θεὸς διέρρηξας·
διὸ προσκυνοῦμεν | τὴν ἐκ νεκρῶν σου ἀνάστασιν
ἐν ἀγαλλιάσει βοῶντες | "παντοδύναμε Κύριε, δόξα σοι".

Πύλας Ἅδου συνέτριψας, Κύριε, | καὶ τῷ σῷ θανάτῳ
τοῦ Θανάτου τὸ βασίλειον ἔλυσας·
γένος δὲ τὸ ἀνθρώπινον | ἐκ φθορᾶς ἠλευθέρωσας,
ζωὴν καὶ ἀφθαρσίαν
τῷ κόσμῳ δωρησάμενος | καὶ τὸ μέγα ἔλεος.

Ἕτερα στιχηρά· ἦχος δ', πρὸς τὸ «Ὡς γενναῖον».

Σταυρωθεὶς τὸν παράδεισον | τοῖς ἀνθρώποις ἠνέῳξας
καὶ νεκροῖς συνώκησας, ἡ ζωὴ ἡμῶν,
καὶ ἐξανέστης τὸν Θάνατον | ἑλὼν τῇ δυνάμει σου,
καὶ συνῆψας οὐρανοῖς | ἀληθῶς τὰ ἐπίγεια,
πάσχα ἅγιον, | πάσχα μέγα καὶ θεῖον, | Θεοῦ Λόγε,
ἡ πηγὴ | τῆς ἀπαθείας, | ὁ ἱλασμὸς τῶν ψυχῶν ἡμῶν.

4 διακη(νησίμου).—8 ἐκδ. «Χριστὲ ὁ Θεός».—11 κῶδ. «ἀνεκ' . . σας»· ἐκδ. «καθυπέδειξας».—14 τοῦ ξύλου.—18 βοῶμεν.—30 πηγῆ.

Ὅμοιον.

Ἡ φθορὰ ἐξωστράκισται, | ἀφθαρσία ἐξήνθησεν,
ὁ δεσμὸς ὁ χρόνιος διαλέλυται,
οἱ οὐρανοὶ εὐφραινέσθωσαν, | γῆ καὶ τὰ ἐπίγεια·
ἐξανέστη ὁ Χριστός, | ἐσκυλεύθη ὁ Θάνατος,
ἡ εὐφρόσυνος | ἐπεφάνη ἡμέρα, | πάσχα θεῖον,
ἀπαθείαν προξενῆσαν | τῷ ἀνθρωπίνῳ φυράματι.

Ὅμοιον.

Ἡ ἡμέρα, ὁ Κύριος | ἣν ἐποίησε σήμερον·
ἀγαλλιασώμεθα εὐφραινόμενοι·
ὁ ζωοδότης ἐγήγερται, | ὁ Ἅδης ἐσκύλευται,
ἀποστόλων ὁ χορὸς | τὴν χαρὰν ἀκαυτίζεται
διὰ στόματος | γυναικῶν μυροφόρων
ἀψαμένων | τῶν ποδῶν, ὧν ἡ προμήτωρ
πρώην τὸν κρότον πεφόβηται.

Δόξα· ἦχος δ΄. «Ὁ διὰ σοῦ θεοπάτωρ προφήτης Δαυίδ». — «Φῶς ἱλαρόν». Προκείμενον, ἦχος βαρύς· «Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, φωνῇ μου πρὸς τὸν Θεὸν καὶ προσέσχεν μοι». Στίχος· «Ἐν ἡμέρᾳ θλίψεώς μου τὸν Θεὸν ἐξεζήτησα». — «Καταξίωσον» τοῦ στιχ(ηροῦ).

Κύριε, | ἀνελθὼν ἐν τῷ σταυρῷ
τὴν προγονικὴν ἡμῶν κατάραν ἐξήλειψας,
καὶ κατελθὼν ἐν τῷ Ἅδῃ
τοὺς ἀπ' αἰῶνος δεσμίους ἠλευθέρωσας·
ἀφθαρσίαν δωρούμενος τῶν ἀνθρώπων τῷ γένει·
διὰ τοῦτο ὑμνοῦντες δοξάζομεν
τὴν ζωοποιὸν | καὶ σωτήριόν σου ἔγερσιν.

Τὸ στιχ(ηρόν)· πλάγιος α΄· «Πάσχα» καὶ μετὰ τὸ «Χριστὸς ἀνέστη» γ΄, τὸ «Νῦν ἀπολύεις». Κάθισμα, ἦχος δ΄· «Τὸ φαιδρὸν τῆς»:

---

11 ἠγείρατο. — 16 διασοῦ. — 21 ἀνελθῶν. — 23 ἅιδει. — 24 ἀπαιῶνος. — 25 τὸ γενος. — 26 διατοῦτο.

ΤΗΙ ΤΕΤΑΡΤΗΙ ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

«Χριστὸς ἀνέστη» καὶ τὸ στιχ(ηρὸν) «Ἀνάστασιν Χριστοῦ θεασάμενοι». Εὐθὺς «Ἀναστάσεως ἡμέρα». Καὶ κα(νών), ἦχος δ'.

(Ὠδὴ α'). «Θαλάσσης τὸ ἐρυθραῖον».

Τῷ ξύλῳ τὴν διὰ ξύλου, Κύριε, | κατάραν ἔλυσας,
τῷ δὲ θανάτῳ Θάνατον ἐλὼν | ἐξανέστης τριήμερος,
συνεξεγείρας ἅπαντας | τοὺς νεκρωθέντας ἀνυμνοῦντάς σε.

Χορείαν πνευματικὴν στησώμεθα· | Χριστὸς ἐγήγερται·
οὐ κυριεύει Θάνατος βροτῶν· | ἡ φθορὰ ἐξωστράκισται·
ἡ ἀφθαρσία ἤνθησεν· | ἄσωμεν ἆσμα τῷ Θεῷ ἡμῶν.

Τὸ χαῖρε ταῖς γυναιξὶν ἐβόησας | κλαιούσαις, Κύριε·
τῶν ὀδυνῶν τῆς Εὔας δι' αὐτῶν | ἀναστέλλεις γὰρ ὀάκρυα
τῇ ἐκ νεκρῶν ἐγέρσει σου· | ὅθεν τὸ κράτος σου δοξάζομεν.

Θεοτοκίον.

Ἐκ τάφου ὡς ἐκ γαστρός σου, ἄχραντε, | Χριστὸς ἀνέτειλεν,
δικαιοσύνης ἥλιος φαιδρός, | ὃν ἀπαύστως ἱκέτευε
φωταγωγῆσαι, πάναγνε, | τοὺς Θεοτόκον σε δοξάζοντας.

Ὠδὴ γ'. «Εὐφραίνεται ἐπὶ σοὶ ἡ ἐκκλησία».

Εὐφραίνεσθε, οὐρανοί· | ἀγαλλιάσθω δὲ ἡ γῆ ἅπασα·
ἐκ τῶν νεκρῶν σήμερον | πάντων ἡ ζωὴ ἐξεγήγερται.

Ἠμαύρωται ὁ ἐχθρὸς | τῇ ἐπιλάμψει σου, Χριστὲ ἥλιε·
εἶδον δὲ φῶς ἄδυτον | οἱ πρὶν ἐν τῷ σκότει καθήμενοι.

Δουλείας τοῦ νοητοῦ | ἀπαλλαγέντες Φαραὼ σήμερον,
πάσχα Θεοῦ ἅγιον | ἁγιαστικῶς ἑορτάζομεν.

Θεοτοκίον.

Εὐφραίνου, μήτηρ ἁγνή, | τὴν εὐφροσύνην τοῦ παντὸς βλέπουσα,
τὸ κατηφὲς λύουσα | Ἅδου καὶ βροτοὺς ἀναπλάσασα.

Ὑπακοὴ· ἦχος δ'.

Τὰ τῆς σῆς παραδόξου ἐγέρσεως
προδραμοῦσαι αἱ μυροφόροι

5 διαξύλου.—6 ἐξανέστης.—9 φθορὰ.—10 ἆσμα.—13 δοξάζωμεν.

τοῖς ἀποστόλοις ἐκήρυττον, Χριστέ,
ὅτι ἀνέστης ὡς Θεός,
δωρούμενος ἡμῖν τὸ μέγα ἔλεος

Ὠδὴ δ'. «Ἐπαρθέντας εἶδως»:

Ἐπὶ ξύλου ὥσπερ ἄμπελος, ζωοδότα,
ἀναρτηθεὶς ἐπήγασας | οἶνον σωτηρίας,
πάντας τὸν εὐφραίνοντα | καὶ μέθην ἐξαίροντα
τῆς εἰδωλικῆς ἀθεότητος.

Πύλαι Ἅιδου σοὶ ἠνοίγησαν πάλαι φόβῳ
καὶ πυλωροί σε βλέψαντες | περιβεβλημένον
στολὴν ἐκδικήσεως, | ἐξέστησαν, ἔφριξαν
καὶ ἀπὸ προσώπου σου ἔφυγον.

Μετὰ μύρων σε γυναῖκες τὸ θεῖον μύρον
ἐπιζητοῦσαι ὄρθριαι | ἦλθον πρὸς τὸ μνῆμα·
ἄγγελον εὑροῦσαι δὲ | τὴν σὴν καταγγέλλοντα
ἔγερσιν, Σωτήρ, κατεπλάγησαν.

(Θεοτοκίον).

Ἐπαρθέντα σε ἰδοῦσα ἐν ξύλῳ, Λόγε,
ἡ σὲ τεκοῦσα ἔστενε, | τάφῳ δὲ τεθέντα
καὶ νεκροὺς ἐγείραντα | ἠγάλλετο βλέπουσα,
ἣν ὡς Θεοτόκον δοξάζομεν.

Ὠδὴ ε'. «Σύ, Κύριέ μου, φῶς».

Σύ, Κύριε, χερσὶν | ὁ ποιήσας τὸν ἄνθρωπον,
ἐξέτεινας ἐπὶ ξύλου | τὰς ἀχράντους σου χεῖρας,
πλευρὰν ἐξορυττόμενος.
Σύ, Κύριε, ταφεὶς | ὡς νεκρὸς ἐν τῷ μνήματι,
ἐνέθαψας τὴν κακίαν | τοῦ νεκρώσαντος κόσμον
καὶ πάντας ἐξανέστησας.
Ὦ πάσχα ἱερὸν | καὶ σεπτὸν καὶ σωτήριον,
ὦ ἔνθεος εὐφροσύνη, | διὰ σοῦ τοῖς ἀγγέλοις
οἱ γήινοι συνήφθημεν.

Θεοτοκίον.

Συνέλαβες Χριστὸν | καὶ ἀφθόρως ἐκύησας,
πανάμωμε, τὸν τοῦ Ἅιδου | τὴν ἰσχὺν καθελόντα
καὶ σώσαντα τὸν ἄνθρωπον.

5 ζωοδώτα.—13 μύρον.—18 ἰδοῦσα.—30 διασοῦ.

Ὠδὴ ς΄. «Θύσω σοι | μετὰ φωνῆς συνέσεως, Κύριε».

Βρώσει με | τῇ τοῦ ξύλου κλαπέντα καὶ θνήξαντα
τῇ τοῦ ἐχθροῦ συμβουλία, | ὑψωθεὶς ἐν ξύλῳ ἀνεκαλέσω,
καὶ πεσόντα | εἰς φθορὰν ἀφθαρσίαν ἐτίμησας.

Σινδόνι | ἐνειληθεὶς ταφῇ παραδέδοσαι,
καὶ διαρρήξας τοῦ Ἅδου | θεία δυναστεία τὰ σπάργανα,
ἐξανέστης, | Ἰησοῦ, ἐκ τοῦ τάφου τριήμερος.

" Γυναῖκες, | μετὰ κλαυθμοῦ τὴν πάντων παράκλησιν
τί ἐν τῷ τάφῳ ζητεῖτε; | ἀφελὼν τῆς Εὔας τὰ δάκρυα
ἐξανέστη " | ὁ φανεὶς ἀνεβόα ἀρχάγγελος.

(Θεοτοκίον).

Κύριον | τοῦ παντός, κυριώνυμε, τετοκας,
τὸν καθελόντα τὸ κέρας | τοῦ Θανάτου, πᾶσι δὲ τοῖς ἀνθρώποις
παρασχόντα | ἀφθαρσίαν τε καὶ ἀπολύτρωσιν.

«Εἰ καὶ ἐν τάφῳ» καὶ οἶκος.

Ὠδὴ ζ΄. «Ἐν τῇ καμίνῳ ἀβραμιαῖοι παῖδες».

Ζωῆς τὴν πέτραν | προσηλωθεῖσαν ξύλῳ τῷ τοῦ σταυροῦ,
πέτραι | καθορῶσαι φόβῳ πάλαι πολλῷ | διερράγησαν,
καὶ ἥλιος | τὸ φῶς ἀπέκρυψε | καὶ τὰ τῆς γῆς ἐσείσθη θεμέλια.

Ἐπανακλήσει | τῶν πεπτωκότων ἀνακέκλισαι
οἷα | βασιλεὺς ἐν τάφῳ στρατιωτῶν | φυλαττόντων σε,
φιλάνθρωπε· | εὐλογημένος εἶ | ἐν τῷ ναῷ τῆς δόξης σου, Κύριε.

Ἅδου ταμείων | πεπεδημένους νῦν ἐξήρπασας,
Λόγε | τοῦ πατρός, δυνάμει παντουργικῇ | καὶ βοῶντας
ἐξανέστησας | " εὐλογημένος εἶ | ἐν τῷ ναῷ τῆς δόξης σου, Κύριε ".

Θεοτοκίον.

Ἐγγερμένον | ἐκ νεκρῶν τὸν ζωῆς κυριεύοντα,
κόρη, | κατιδοῦσα χαίρεις σὺν μαθηταῖς, | σὺν αὐτοῖς τε
ἀναμέλπεις ἄπαυστα
" εὐλογημένος εἶ | ἐν τῷ ναῷ τῆς δόξης σου, Κύριε ".

Ὠδὴ η΄. «Χεῖρας ἐκπετάσας».

Ὕψωσας παλάμας ἐν σταυρῷ | καὶ τὰ θεμέλια
τῆς γῆς ἐδόνησας, | τοὺς δὲ τὴν ἔκπτωσιν, δέσποτα, διὰ ξύλου

5 ἀνειληθεὶς. — 9 εὔας. — 10 ἐξ ἀνέστη. — 13 καθελῶντα. — 19 εσείσθει. — 20 πεπτοκότων. — 21 βασιλεῦς. — 23 ταμεῖων.

ὑπομείναντας | πρὸς ἑαυτὸν χαρμονικῶς | βοῶντας εἴλκυσας
" εὐλογεῖτε πάντα τὰ ἔργα | αὐτὸν εἰς τοὺς αἰῶνας ".

Δάκκω σε κατέθεντο νεκρὸν | νεκροῦντα Θάνατον,
ζωοποιοῦντα δὲ | οὓς ἀπενέκρωσε δήγματι | ἰοβόλῳ
ὁ ἀρχέκακος, | Λόγε Θεοῦ μονογενῆ· | διὸ βοῶμέν σοι·
" εὐλογεῖτε πάντα τὰ ἔργα | αὐτὸν εἰς τοὺς αἰῶνας ".

Πάσχα ἡ χαρμόσυνος ἡμῖν | ἡμέρα ἔλαμψεν,
ἐν ᾗ ἐσχήκαμεν | τὴν ἀπολύτρωσιν ἅπαντες | οἱ δουλεία
συνεχόμενοι | τοῦ πολεμήτορος ἐχθροῦ· | ὅθεν κραυγάζομεν
" εὐλογεῖτε πάντα τὰ ἔργα | αὐτὸν εἰς τοὺς αἰῶνας ".

Θεοτοκίον.

Ὁ πᾶσι τὸ εἶναι παρασχὼν | αἰτίαν ἔσχηκε
σὲ τῆς σαρκώσεως | καὶ προσελήλυθεν ἄφθορος | ἐξ ἀφθόρου
τῆς νηδύος σου | ὁ ἀφθαρσίαν τοῖς νεκροῖς | ἐκπνέων μέλπουσιν·
" εὐλογεῖτε πάντα τὰ ἔργα | αὐτὸν εἰς τοὺς αἰῶνας ".

Ὠδὴ θ'. «Εὖα μὲν τῷ τῆς παρακοῆς».

Ξύλου με καρπῷ συμβουλία | τραυματισθέντα τοῦ Βελίαρ,
σὺ τραυματισθεὶς ἐπὶ ξύλου | Χριστέ, ἴασω | καὶ τῆς κατάρας με
ὑπὲρ ἐμοῦ γενόμενος, | Λόγε, κατάρα | ἠλευθέρωσας.

" Τὸν ζωοποιοῦντα τὰ πάντα | ἐν τοῖς νεκροῖς πῶς ἐκζητεῖτε;
λύσας τοῦ Θανάτου τὸ κράτος, | καθὼς προεῖπεν, | νῦν ἐξεγήγερται "
ταῖς μυροφόροις ἔλεγεν | ὁ ἐξαστράπτων θεῖος ἄγγελος.

Ὦ μακαριώτατον πάσχα, | δι' οὗ ἐκ γῆς μετεβιβάσθη
πᾶσα τῶν ἀνθρώπων ἡ φύσις | πρὸς τὴν ἐκεῖσε | μακαριότητα
καὶ οὐρανίου ἔτυχε | κληροδοσίας | καὶ θεώσεως.

Θεοτοκίον.

Χαῖρε, εὐφραίνου, ἡ νύμφη | τοῦ βασιλέως τοῦ μεγάλου
κατοπτριζομένη τηλαυγῶς | τοῦ σοῦ νυμφίου | τὴν ὡραιότητα·
ὑπὲρ χρυσίον λάμπουσαν | κατανοοῦντες | μεγαλύνομεν.

Εὐθὺς «Ἅγιος Κύριος». Ἐξαποστειλάριον· «Σαρκὶ ὑπνώσας». Στιχηρὰ εἰς τοὺς αἴνους· ἦχος δ'.

8 ἐσχήκαμεν. — 12 παρασχὼν. — 18 ἴασω. — 24 ἐκεῖσε.

Ὁ σταυρὸν ὑπομείνας καὶ θάνατον
καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν, παντοδύναμε Κύριε,
δοξάζομέν σου τὴν ἀνάστασιν.

Ἐν τῷ σταυρῷ σου, Χριστέ, | τῆς ἀρχαίας κατάρας
ἠλευθέρωσας ἡμᾶς καὶ ἐν τῷ | θανάτῳ σου
τὸν τὴν φύσιν ἡμῶν τυραννήσαντα | Διάβολον κατήργησας,
ἐν δὲ τῇ ἐγέρσει σου | χαρᾶς τὰ πάντα ἐπλήρωσας·
διὸ βοῶμέν σοι· | " ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, | Κύριε, δόξα σοι ".

Τῷ σῷ σταυρῷ, Χριστὲ Σωτήρ, | ὁδήγησον ἡμᾶς
ἐπὶ τὴν ἀλήθειάν σου | καὶ ῥῦσαι ἡμᾶς
τῶν παγίδων τοῦ ἐχθροῦ· | ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν
ἀνάστησον ἡμᾶς | πεσόντας τῇ ἁμαρτίᾳ, | ἐκτείνας τὴν χεῖρά σου,
φιλάνθρωπε Κύριε, | τῇ πρεσβείᾳ τῶν ἁγίων σου.

Τῶν πατρικῶν σου κόλπων | μὴ χωρισθείς,
μονογενὴς Λόγε τοῦ Θεοῦ, | ἦλθες ἐπὶ γῆς
διὰ φιλανθρωπίαν | ἄνθρωπος γενόμενος ἀτρέπτως
καὶ σταυρὸν καὶ θάνατον | ὑπέμεινας σαρκὶ
ὁ ἀπαθὴς τῇ θεότητι· | ἀναστὰς δὲ ἐκ νεκρῶν | ἀθανασίαν παρέσχες
τῷ γένει τῶν ἀνθρώπων, | ὡς μόνος | παντοδύναμος.

Καὶ τὸ στιχηρὸν «Ἀναστήτω ὁ Θεός»· πλάγιος α'. Καὶ μετὰ τὸ «Χριστὸς ἀνέστη» γ', ἐπακουστόν· «Ἀνάστα, Κύριε, βοήθησον ἡμῖν καὶ λύτρωσαι ἡμᾶς ἕνεκεν». Εὐαγγέλιον θ' (Ἰωάν. κ'. 1 κἑ). «Τῷ καιρῷ ἐκείνῳ σκοτίας ἔτι οὔσης». Δόξα· ἦχος βαρύς.

Ἰδοὺ σκοτία καὶ πρωὶ | καὶ τί πρὸς τὸ μνημεῖον
Μαρία ἔστηκας, πολὺ | σκότος ἔχουσα ταῖς φρεσίν,
ὑφ' οὗ | ποῦ τέθειται ζητεῖς ὁ Ἰησοῦς;
ἀλλ' ὅρα | τοὺς συντρέχοντας μαθητὰς | πῶς τοῖς ὀθονίοις
καὶ τῷ σουδαρίῳ | τὴν ἀνάστασιν ἐτεκμήραντο
καὶ ἀνεμνήσθησαν τῆς περὶ τοῦ γραφῆς·
μεθ' ὧν | καὶ δι' ὧν | καὶ ἡμεῖς πιστεύσαντες
ἀνυμνοῦμέν σε | τὸν ζωοδότην Χριστόν.

Ὁ διάκονος τὴν αἴτησιν καὶ ἀπολύει.

---

6 τυραννίσαντα.—8 ἀναστὰς.—12 αμαρτίαν || χείρα. · 18 απαθὴς.—24 σκοτεία. — 25 πολὺν. — 26 τέθηται. — 27 οθωνίοις.

ΤΗΙ ΤΕΤΑΡΤΗΙ ΕΣΠΕΡΑΣ.

Στιχηρὰ ἀναστάσιμα εἰς τὸ «Κύριε ἐκέκραξα»· ἦχος πλάγιος α΄.

Διὰ τοῦ τιμίου σου σταυροῦ, | Χριστέ, Διάβολον ἴσχυνας
καὶ διὰ τῆς ἀναστάσεως σου | τὸ κέντρον τῆς ἁμαρτίας ἤμβλυνας
καὶ ἔσωσας ἡμᾶς | ἐκ τῶν πυλῶν τοῦ Θανάτου·
δοξάζομέν σε, μονογενές.

Ὁ τὴν ἀνάστασιν διδοὺς | τῷ γένει τῶν ἀνθρώπων,
ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη· | ἔφριξαν τοῦτο
οἱ ἄρχοντες τοῦ Ἅδου | καὶ ἐπήρθησαν πύλαι οὐσυνηραί·
εἰσελήλυθεν γὰρ ὁ βασιλεὺς τῆς δόξης | Χριστός,
λέγων τοῖς ἐν δεσμοῖς | "ἐξέλθετε" | καὶ τοῖς ἐν σκότει
"ἀνακαλύπτεσθε".

Μέγα θαῦμα· | ὁ τῶν ἀράτων κτίστης | διὰ φιλανθρωπίαν
σαρκὶ παθὼν | ἀνέστη ὁ ἀθάνατος·
δεῦτε | αἱ πατριαὶ τῶν ἐθνῶν | τοῦτον προσκυνήσωμεν·
τῇ γὰρ αὐτοῦ εὐσπλαγχνίᾳ ἐκ πλάνης ῥυσθέντες
ἐν τρισὶν ὑποστάσεσιν | ἕνα Θεὸν | ὑμνεῖν μεμαθήκαμεν.

Ἕτερα στιχηρά· ἦχος πλάγιος α΄, πρὸς τὸ «Χαίροις ἀσκητικῶν».

Ἥλιος | προσηλωθεὶς τὴν ἀρὰν | τὴν ἐν τῷ ξύλῳ
διὰ ξύλου ἐγλύκανας· | τεθεὶς δὲ | ἐν τῷ μνημείῳ
τοὺς ἀπ' αἰῶνος νεκροὺς | θείᾳ δυνάμει
ἐξανέστησας | τὴν σὴν | δυναστείαν
μεγαλοφώνως δοξάζοντας· "πάσχα τὸ θεῖον,
Ἰησοῦ παντοδύναμε, | ἡ ζωὴ ἡμῶν,
τοῦ πατρὸς τὸ ἀπαύγασμα"· | ὅθεν τὰ ἐπουράνια
τῇ γῇ συναγάλλεται, | ἐπινικίους ᾠδάς σοι,
νικοποιὲ Λόγε, ἄδοντα, | Χριστὲ | παντοκράτωρ,
τῷ παρέχοντι τῷ κόσμῳ | τὸ μέγα ἔλεος.

Ὅμοιον.

Ἆρα | μετὰ νεκρῶν ἡ ζωή, | ὑπὸ τὴν γῆν δὲ
ὁ ἀνέσπερος ἥλιος | εἰσέτι | καὶ νῦν ὑπάρχει"·
(τῶν μυροφόρων χορὸς | θρηνῳδῶν ἐβόα)·

10 βασιλεῦ.—11 ἐξέλθατε || σκότει.—14 παθῶν.—19 ἀραν.—21 ἀπαιῶνος.—31 εἰς ἔτι.

" δεῦτε ὀράμωμεν | σπουδῇ | καὶ ὀψώμεθα
πρὸς τὸ μνῆμα τὸ ἅγιον ". | ἔνδον δὲ τούτου
ἐξαστράπτοντα ἄγγελον | θεασάμεναι
ἀποροῦσαι ἐξίσταντο· | ὅστις μεταβαλὼν αὐτῶν
τὸν φόβον ἐβόησεν· | " ὁ ζωοδότης ἀνέστη·
μὴ ἐκθαμβεῖσθε, | φιλόσεμναι· | αὐτὸς | βασιλεύει
ὁ δωρούμενος τῷ κόσμῳ τὸ μέγα ἔλεος ".

Ὅμοιον.

Ὄρθρου | ὁ τῶν γυναίων χορὸς | τὸν πρὸ ἡλίου
ἐπεζήτησεν ἥλιον | ἐν τάφῳ | δύναντα τότε,
ὁ φωταυγὴς δὲ αὐταῖς | προσεφώνει ἄγγελος
" ἐξανέτειλεν | τὸ φῶς | καταυγάσαν
τοὺς ἐν τῷ σκότει καθεύδοντας· | τοῖς ἑωσφόροις
μαθηταῖς ἐπαγγείλατε· | τὴν κατήφειαν
εἰς χαρὰν μεταστρέψασθε· | πάσχα δὲ τὸ χαρμόσυνον
καὶ κόσμου σωτήριον | ἐν ἀδιστάκτῳ καρδίᾳ
περικροτῆσαι χορεύοντας | " Χριστὸς | ἐξανέστη
ὁ δωρούμενος τῷ κόσμῳ | τὸ μέγα ἔλεος ".

Εἰς τὸ Δόξα πλάγιος α'. Θεοτοκίον· «Ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ | τῆς ἀπειρογάμου νύμφης»: Προκείμενον, ἦχος βαρύς· «Ἐνώτισαι ὁ Θεὸς τὴν προσευχήν μου καὶ μὴ ὑπερίδῃς»: Στίχος· «Πρόσχες μοι καὶ εἰσάκουσον»: — «Καταξίωσον Κύριε τῇ ἑσπέρα»: Στιχηρόν· ἦχος πλάγιος α'.

Σὲ τὸν σαρκωθέντα σωτῆρα Χριστὸν
καὶ τῶν οὐρανῶν μὴ χωρισθέντα
ἐν φωναῖς ἀσμάτων μεγαλύνομεν,
ὅτι σταυρὸν καὶ θάνατον κατεδέξω
διὰ τὸ γένος ἡμῶν· | σκυλεύσας Ἅιδου πύλας
τριήμερος ἀνέστης· | σῶσον τὰς ψυχὰς ἡμῶν.

Στίχος· «Ἀναστήτω ὁ Θεός». Καὶ τὰ στιχηρὰ πλαγίου α'· «Πάσχα» καὶ τὰ ἑξῆς καὶ «Νῦν ἀπολύεις». Κάθισμα· ἦχος πλά-

1 σπουδῇ || ὀψόμεθα. — 11 προσεφώνη. — 12 καταυγάσαν. — 17 περικρατῆσαι || ἐξ ἀνέστη. — 25 τὸν οὐρανόν. — 29 ἐκδ. «σώζων».

γιος α'· «Τὸν συνάναρχον Λόγον». Καὶ ἀπολύ(ουσιν). Ἐν ταύτῃ τῇ νυκτὶ γίνεται ἀγρυπνία εἰς τὴν Ἁγίαν Ἀνάστασιν παρὰ πάντων τῶν ἐν Ἱεροσολύμοις μοναχῶν.

ΤΗΙ ΠΕΜΠΤΗΙ ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Τὸ «Χριστὸς ἀνέστη» καὶ τὸ «Ἀνάστασιν Χριστοῦ θεασάμενοι προσκυνήσωμεν». Εὐθὺς ὁ κανών· ἦχος α'· «Ἀναστάσεως ἡμέρα». Ἕτερος κανών· ἦχος πλάγιος α'.

Ὠδὴ α'. «Ἵππον καὶ αναβάτην».

Ὅλος ἐπιθυμία | καὶ ὅλος ὢν γλυκασμός,
Ἰησοῦ, ἀπεγεύσω | χολῆς σταυρῷ κρεμάμενος,
τὴν προσγενομένην μοι | ἁμαρτίαν,
δέσποτα, πικροτάτην σαφῶς ἰώμενος.

Ἤκουσε καὶ εὐφράνθη | Σιών, ὡς γέγραπται,
ἀναστάντος σου, Λόγε· | αἱ ταύτης θυγατέρες γὰρ
πρῶταί σε τεθέανται | καὶ τὸ χαῖρε
δέχονται τῆς κατάρας | ἐλευθερούμεναι.

Δεῦρο, τὴν σὴν κιννύραν | Δαυὶδ ἀνάκρουσον,
" συστησώμεθα " λέγων | " ἑορτὴν ἀλαλάζοντες·
αὕτη ἣν ἐποίησεν | ὁ δεσπότης
καὶ ἡ ἡμέρα | τῆς ἀναστάσεως ".

Θεοτοκίον.

Χαίροις, εὐλογημένη | θεοχαρίτωτε·
μετὰ σοῦ ὁ δεσπότης | ὁ καθελὼν τὸν Θάνατον
καὶ λύσας τὸν ἄνθρωπον | τῆς κατάρας,
δέσποινα, μεσιτεία σου, | μητροπάρθενε.

Ὠδὴ γ'. «Ὁ πήξας ἐπ' οὐδενός».

Φωστῆρες | ἐπ' οὐρανοῦ σε | βλέψαντες, ἥλιε,
ἀπλωθέντα γνώμῃ | τὸ ᾧ συνέστειλαν·
γῆ πᾶσα ἐσείσθη καὶ ναοῦ | φαιδρότης διερράγη
καὶ τὰ μνημεῖα ἠνεῴχθησαν | καὶ νεκροὶ ἐκ τούτων ἀνέστησαν

9 ὢν. — 16 ἐλευθερώμεναι. — 26 πῆξας.

Σινδόνι | καθαρωτάτῃ | φόβῳ εἱλίσσας σε
Ἰωσὴφ καλύπτει, | Λόγε, ἐν μνήματι
τὸν προσεπενδύοντα ἀεὶ | τὸν οὐρανὸν νεφέλαις
καὶ τοῦ προπάτορος ἐνθάψαντα | τῆς παρακοῆς τὸ ἁμάρτημα·
Τὸν λίθον | ἀποκυλίσας | ἀπὸ τοῦ μνήματος
γυναιξὶν ἐβόα ὁ θεῖος ἄγγελος·
"τίνα μετὰ μύρων ὡς θνητὸν | ἀφίκεσθε ζητοῦσαι;
ὁ ζωοδότης ἐξεγήγερται· | θείας θυμηδίας ἐμπλήσθητε.

Θεοτοκίον.

Ἐκ τάφου | ὡς ἐκ παστοῦ νυμφίον, πανάμωμε,
τὸν Χριστὸν ὁρῶσα | ἐκπορευόμενον
ὅλον ὡραιότατον, σαφῶς | χαρὰν ἀναλαβοῦσα
τοῖς μαθηταῖς αὐτοῦ συνέχαιρες, | λέγουσα "ἀνέστη ὁ Κύριος".

Ἡ ὑπακοή· ἦχος πλ. α'.

Ἀγγελικῇ ὁράσει | τὸν νοῦν ἐκθαμβούμεναι
καὶ θεϊκῇ | ἐγέρσει | τὴν ψυχὴν φωτιζόμεναι
αἱ μυροφόροι | τοῖς ἀποστόλοις | εὐηγγελίζοντο·
"ἀναγγείλατε | ἐν τοῖς ἔθνεσιν | τὴν ἀνάστασιν
τοῦ Κυρίου, συνεργοῦντος τοῖς θαύμασιν,
τοῦ παρέχοντος ἡμῖν | τὸ μέγα ἔλεος.

Ὠδὴ δ'. «Τὴν θείαν ἐννοήσας σου κένωσιν».

Τὸν ὄφιν ἐπὶ ξύλου ἐνέκρωσας, | καὶ λογισθεὶς ἐν τοῖς νεκροῖς
ὁ ἐν νεκροῖς ὢν ἐλεύθερος | ἐλευθερίαν παρέχεις
δεσμώταις τοῖς ἐκεῖσε ὑπάρχουσιν.
Ὁ Κύριος σαφῶς ἐβασίλευσεν· | ἀγαλλιάσθω πᾶσα ἡ γῆ·
οὐ κυριεύει ὁ Θάνατος, | οὐ βασιλεύει ὁ Ἅδης·
οὓς ἔσχε γὰρ δεσμίους ἐξήμεσεν.
Γυναῖκες μετὰ μύρων θεόφρονες | τί ἐν τῷ τάφῳ ὡς θνητὸν
Χριστὸν ζητεῖτε; ἐγήγερται, | τὸ τοῦ Θανάτου δυσῶδες
ἐνθάψας καὶ πιστοὺς εὐωδίασεν.

Θεοτοκίον.

Χριστὸν τὸν προελθόντα ἐκ μήτρας σου | καὶ παρθενίας μηδαμῶς
σφραγῖδας λύσαντα. ἄχραντε, | καὶ ἀναστάντα ἐν δόξῃ
δωσώπει εἰρηνεῦσαι τὰ σύμπαντα.

1 ἡλίσας.—7 μύρον || ἀφίκεσθαι.—19 θαῦμασιν.—24 δεσμῶτες || ἐκεῖσαι.—33 σφραγίδα.—34 δυσώπη.

Ὠδὴ ε'. «Ὁ ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον».

Ἔρυξαν καὶ χεῖράς σου, | Χριστέ, καὶ πόδας σου
οἱ θεοκτόνοι | ἐπὶ σταυροῦ σε | ἐν φθόνῳ ἀναρτήσαντες
καὶ χολὴν καὶ ὄξος | ποτίσαντες, μακρόθυμε.
Ἡ ζωὴ ἐν μνήματι | πῶς κατατίθεται;
πνοὴν ὁ πᾶσι | βροτοῖς παρέχων | ἄπνους πῶς γνωρίζεται,
τοῖς νεκροῖς ἐμπνέων | ζωὴν καὶ ἀπολύτρωσιν;
Πασχα τὸ μακάριον, | δι' οὗ ἀνήχθημεν
ἐκ γῆς κευθμόνων, | πάσχα δουλείας, | δι' οὗ ἐλυτρώθημεν
καὶ ἐπαγγελίας | πρὸς γῆν διεβιβάσθημεν.

Θεοτοκίον.

Χαίροις, ἀπειρόγαμε | καὶ πανευλόγητε,
κατάρας λύσις, | δι' ἧς ὁ κόσμος | ἀνέστη τοῦ πτώματος
καὶ τοῦ [ζωο]δότου | δοξάζει τὴν ἀνάστασιν.

Ὠδὴ ς'. «Μαινομένην κλύδωνι»

Σταυρωθεὶς ἠνέῳξας | κεκλεισμένον
τῇ παρακοῇ, | Ἰησοῦ Χριστέ μου, τὸν παράδεισον,
καὶ ἀναστὰς πάντας πιστοὺς συνανέστησας.
Ἔθεντο ἐν λάκκῳ σε | κατωτάτω
ἄφωνον νεκρὸν | τὸν νεκροῖς ἐμπνέοντα ἀνάστασιν,
ζωοδότα, | καὶ τοὺς ἐν Ἅιδῃ ζωώσαντα.
Γυναιξὶν ἐβόησε | θρηνωδούσαις
ἄγγελος ποτέ· | "Ὁ Χριστὸς ἐγήγερται· πορεύεσθε·
ἀποστόλοις | τούτου τὴν ἔγερσιν εἴπατε».

Θεοτοκίον.

Χαῖρέ σοι προσφθέγγεται, | ὡς αἰτίαν
οὐσῃ τῆς χαρᾶς, | ἀναστάς, παρθένε, ἐκ τοῦ μνήματος
ὁ δεσπότης, | ὃν ὑπὲρ πάντων ἱκέτευε.
«Εἰ καὶ ἐν τάφῳ» καὶ οἶκος.

Ὠδὴ ζ'. «Ὁ ὑπερυψούμενος».

Ὁ ἀπερινόητος | σάρκα ἐνδυσάμενος
σταυρὸν κατεδέξατο | καὶ Θάνατον ὤλεσεν
θανάτῳ τοὺς θανόντας | βουληθεὶς ἀθανατίσαι.

2 χείρας.— 4 ποτήσαντες.—10 διεβήβάσθημεν.—18 συνανέστησας.—22 ἐβόησας.—27 οὐσης.

Πάσχα ἡ πανήγυρις· | πάντες ἑορτάσωμεν·
Χριστὸς ἐκ τοῦ μνήματος | ἠγέρθη τριήμερος
φωτίζων τοὺς βοῶντας | "ὁ Θεός, εὐλογητὸς εἶ".

"Ὕδωρ, τί τοῖς δάκρυσι | πικρῶς συγκέχυσαι";
Χριστὸς ἀπεφθέγγετο | πλησίον τοῦ μνήματος
τῇ παρθένῳ βοώσῃ | "ὁ Θεός, εὐλογητὸς εἶ".

Θεοτοκίον.

Μόνη πρὸ τῶν ἄλλων σὺ | γυναικῶν τεθέασαι
Χριστὸν ἐκ τοῦ μνήματος | ὡραῖον ἀστράπτοντα,
ἡ μόνη παναγία, | ἐπακούσασα τὸ χαῖρε.

Ὠδὴ η'. «Σοὶ τῷ παντουργῷ»

Σὲ τὸν παντουργὸν | ἀναρτηθέντα ξύλῳ
χολὴν οἱ παράνομοι | ἐχθροὶ ἐπότιζον,
μέλι | ἐκ πέτρας θηλάσαντες δυῶντες
πάλαι ἐν ἐρήμῳ | τῇ σῇ, Χριστέ, προστάξει.

Νεκρὸς σύ, Χριστέ, | ἐπὶ σταυροῦ ὑψώθης,
τεθεὶς δὲ ἐν μνήματι | νεκρὸς τριήμερος
πάντας | ἐγείρεις νεκροὺς τοὺς ἀπ' αἰῶνος,
ἀνυμνολογοῦντας | τὴν σὴν φιλανθρωπίαν.

Δεῦτε μυστικῶς | ἀλαλαγμῷ ἐνθέῳ
τὰς χεῖρας κροτήσωμεν | καὶ μελῳδήσωμεν·
"πάντα | τὰ ἔργα τὸν Κύριον ὑμνοῦμεν
καὶ ὑπερυψοῦμεν | εἰς πάντας τοὺς αἰῶνας".

Θεοτοκίον.

Χαίροις, ἐκ νεκρῶν | τὸν κτίστην κατιδοῦσα,
ἁγνή, ἐγειρόμενον | καὶ πᾶσιν νέμοντα
χάριν | ζωήν τε καὶ τὴν ἐλευθερίαν
τοῖς ὑμνολογοῦσιν | εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. «Ἡσαΐα χόρευε· ἡ παρθένος ἔσχεν».

Ὁ Χριστὸς ἐγήγερται | καταλύσας | κράτος τοῦ ἐχθροῦ·
εὐφραίνεσθε, οὐρανοί· | χόρευε ἡ γῆ·

8 σὺ] σε ‖ τεθέαται. — 14 μέλη. — 16 νεκρὸς σύ] νέκρωσιν. — 18 ἀπαιῶνος. — 21 χειρας. — 29 ἡσαΐα.

οὐκέτι ὁ Θάνατος | βασιλεύει· | οὓς γὰρ πονηρῷ
κρατεῖ ἐδέσμευσεν | ἀφῃρέθη | θείῳ νεύματι.

Γυναικῶν κατάλογος | μυροφόρων | τάφον τῆς ζωῆς
προέφθασεν ἐν σπουδῇ | μύρα προφανῶς
κομίζων μυρίσαι σε | τὸν τῶν μύρων | θεῖον μυρισμόν·
ἐξαναστάντα δὲ | κατιδών σε | ἐμεγάλυνεν.

Αὕτη, ἣν ἐποίησεν | ὁ δεσπότης | Κύριος, ἐστὶν
ἡμέρα περιφανὴς | καὶ περικαλλής·
ἐν ταύτῃ χορεύσωμεν | ἐκβοῶντες, | " δέσποτα Χριστέ,
σῶσον τοὺς δούλους σου | τοὺς ἐν πίστει | προσκυνοῦντάς σε ".

Θεοτοκίον.

Παρθενίας κάλλεσιν | ὡραιώθης, ἁγνή,
τεκοῦσα τὸν ποιητὴν | πάντων καὶ Θεόν,
τὸν Ἅδην σκυλεύσαντα | καὶ τοῖς νεκροῖς | νέμοντα ζωήν·
οὗ τὴν ἀνάστασιν | σὲ τιμῶντες | ἑορτάζομεν.

Ἐξαποστειλάριον· «Σαρκὶ ὑπνώσας». Στιχηρὰ εἰς τοὺς αἴνους· ἦχος πλάγιος α'.

Κύριε, | ἐσφραγισμένου τοῦ τάφου | ὑπὸ τῶν παρανόμων
κατῆλθες ἐκ τοῦ μνήματος | καθὼς ἐτέχθης ἐκ τῆς Θεοτόκου·
οὐκ ἔγνωσαν πῶς ἐσαρκώθης | οἱ ἀσώματοί σου ἄγγελοι·
οὐκ ἤσθοντο πότε ἀνέστης | οἱ φυλάσσοντές σε στρατιῶται·
ἀμφότερα γὰρ ἐσφράγισται | τοῖς ἐρευνῶσιν,
πεφανέρωται δὲ τὰ θαύματα | τοῖς προσκυνοῦσιν
ἐν πίστει τὸ μυστήριον· | ὃν ἀνυμνοῦντες
δοξάζομέν σε, Σωτήρ· | ἐλέησον ἡμᾶς.

Κύριε, | τοὺς μοχλοὺς τοὺς αἰωνίους συντρίψας
καὶ δεσμὰ διαρρήξας | τριήμερος ἀνέστης
καταλιπὼν σου τὰ ἐντάφια | εἰς μαρτύριον τῆς ἀληθοῦς
τριημέρου ταφῆς σου, | καὶ προῆγες ἐν τῇ Γαλιλαίᾳ
ὁ ἐν σπηλαίῳ τηρούμενος· | μέγα σου τὸ ἔλεος,
ἀκατάληπτε Σωτήρ· | ἐλέησον καὶ σῶσον ἡμᾶς.

Κύριε, | αἱ γυναῖκες ἔδραμον ἐπὶ τὸ μνῆμα
τοῦ ἰδεῖν σε τὸν Χριστὸν τὸν δι' ἡμᾶς παθόντα,
καὶ προσελθοῦσαι | εὗρον ἄγγελον | ἐπὶ τὸν λίθον καθήμενον

19 καθὼς. — 20 οὐκέγνωσαν.—21 φυλάσσονταίσε.—22 ἀμφότερα || ἐρευνῶσιν.

τῷ φόβῳ κυλισθέντα | καὶ πρὸς αὐτὰς ἐβόησε λέγων·
"ἀνέστη ὁ Κύριος· | εἴπατε τοῖς μαθηταῖς,
ὅτι ἀνέστη ἐκ νεκρῶν | ὁ σώζων τὰς ψυχὰς ἡμῶν".

Κύριε, ὥσπερ ἐξῆλθες | ἐσφραγισμένου τοῦ τάφου,
οὕτως εἰσῆλθες | καὶ τῶν θυρῶν κεκλεισμένων
πρὸς τοὺς μαθητάς σου | δεικνύων αὐτοῖς
τὰ τοῦ σώματος πάθη, | ἅπερ κατεδέξω,
Σωτήρ, μακροθυμήσας· | ὡς ἐκ σπέρματος Δαυὶδ
μώλωπας ὑπέμεινας, | ὡς υἱὸς δὲ τοῦ Θεοῦ
κόσμον ἠλευθέρωσας· | μέγα σου τὸ ἔλεος,
ἀκατάληπτε Σωτήρ· | ἐλέησον καὶ σῶσον ἡμᾶς.

Στιχηρὰ ἦχου πλαγίου α'· «Ἀναστήτω ὁ Θεός», «Πάσχα» καὶ τὰ λοιπὰ στιχ(ηρά)· καὶ μετὰ τὸ «Χριστὸς ἀνέστη» γ', ἐπακουστόν· ἦχος [sic]· «Ἀνάστηθι, Κύριε ὁ Θεός μου· ὑψωθήτω ἡ χείρ σου». Στίχος· «Ἐξομολογήσομαι». Εὐαγγέλιον κατὰ Ἰωάννην (κ', 11 κέ)· «Τῷ καιρῷ ἐκείνῳ Μαρία εἱστήκει πρὸς τὸ μνῆμα». Στιχ(ηρὸν) εἰ(ς τὸ) Δόξα· ἦχος πλάγιος δ'.

Τὰ τῆς Μαρίας δάκρυα | οὐ μάτην χέονται θερμῶς·
ἰδοὺ γὰρ κατηξίωται, | καὶ διδασκόντων ἀγγέλων,
καὶ τῆς ὄψεως αὐτοῦ τοῦ Ἰησοῦ·
ἀλλ' ἔτι πρόσγαια φρονεῖ, | οἵα γυνὴ ἀσθενής·
διὸ καὶ ἀποπέμπεται, | μὴ προσψαῦσαι Χριστῷ·
ἀλλ' ὅμως κήρυξ πέμπεται | τοῖς σοῖς μαθηταῖς
ὡς εὐαγγέλια φέρουσα | τὴν πρὸς τὸν πατρῷον
κλῆρον ἄνοδον ἐπαγγέλλουσα· | μεθ' ἧς ἀξίωσον καὶ ἡμᾶς
τῆς ἐμφανείας σου, δέσποτα Κύριε.

Καὶ ὁ διάκονος τὴν αἴτησιν καὶ ἀπολύει.

ΤΗΙ ΠΕΜΠΤΗΙ ΕΣΠΕΡΑΣ.

Στιχηρὰ εἰς τὸ «Κύριε ἐκέκραξα»· ἦχος πλάγιος β'· ἀναστάσιμα.

Νίκην ἔχων, Χριστέ, | τὴν κατὰ τοῦ Ἅδου,
ἐν τῷ σταυρῷ ἀνῆλθες, | ἵνα τοὺς ἐν σκότει

16 ἠστίκει. — 18 χυντωι.—19 ἰδοῦ γαρ || διδασκώντων.—20 ὄψεως.—21 πρὸς γαῖα φρονεῖν· οἵα.—23 ἀλλόμως.—24 ὡς] εἰς. . . τῶν.—26 ἐμφανείασου.

Θανάτου καθημένους | συναναστήσῃς σεαυτῷ
ὁ ἐν νεκροῖς ἐλεύθερος,
ὁ πηγάζων ζωὴν | ἐξ οἰκείου φωτός·
παντοδύναμε Σωτήρ, | ἐλέησον ἡμᾶς.
Σήμερον ὁ Χριστὸς | Θάνατον πατήσας,
καθὼς εἶπεν, ἀνέστη | καὶ τὴν ἀγαλλίασιν
τῷ κόσμῳ ἐδωρήσατο, | ἵνα πάντες δοξάζοντες
τὸν ὕμνον οὕτως εἴπωμεν·
"ἡ πηγὴ τῆς ζωῆς, | τὸ ἀπρόσιτον φῶς,
παντοδύναμε Σωτήρ, | ἐλέησον ἡμᾶς".

Σέ, Κύριε, | τὸν ὄντα | ἐν πάσῃ τῇ κτίσει
ἁμαρτωλοὶ ποῦ φύγωμεν;
ἐν τῷ οὐρανῷ; | αὐτὸς κατοικεῖς·
ἐν τῷ Ἅιδῃ; | ἐπάτησας Θάνατον·
εἰς τὰ βάθη | τὰ τῆς θαλάσσης;
ἐκεῖ ἡ χείρ σου, δέσποτα·
πρὸς σὲ καταφεύγοντες, | σοὶ προσπίπτοντες, ἱκετεύομεν·
ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν | ἐλέησον ἡμᾶς.

Ἕτερα στιχηρά· ἦχος β', πρὸς τὸ «Ὅλην ἀποθέμενοι ἐν οὐρανοῖς».

Ἡμέρα σωτήριος | πάσχα τὸ μέγα καὶ θεῖον,
δι' οὗ ἐλυτρώθημεν | τυραννίδος ἅπαντες
τοῦ διώκοντος· | ἐν ᾠδαῖς ἄσωμεν,
ἐν φωναῖς κράξωμεν | καὶ προθύμως | ἀλαλάξωμεν·
"ἡ δεξιὰ Θεοῦ | δύναμιν μεγάλην ἐποίησεν·
σκυλεύσας γὰρ τὸν Θάνατον | καὶ τὰ τοῦ τυράννου βασίλεια
καὶ τοὺς ἀπ' αἰῶνος | ἐκεῖ πεπεδημένους ἀστραπαῖς
φωτοειδέσι φαιδρύνουσα | καὶ ἐξαναστήσασα".

Ὅμοιον.

Ἥλιος ἐναπήμβλυνας, | Χριστέ, Θανάτου τὸ κέντρον·
Ἅδου νῖκος ὤλεσας | τῷ σταυρῷ σου, Κύριε
παντοδύναμε, | καὶ χαρᾶς ἔπλησας
τοὺς βροτοὺς ἅπαντας | συνεγείρας | τῇ ἐγέρσει σου,

1 συνάναστησας εαυτον — 3 ζωῆς — 8 κῶδ. «δοξάζομεν»· ἐκδ. «κραυγάζοντες». — 9 ἀπρόσητον.—11 ὄντα.—17 ἐκδ. «καταφεύγομεν» || ἱκετεύωμεν.—23 ωδαῖς.—28 φαιδρύνουσα sic || ἐξαναστήσασα sic.—31 νίκος.

οὕσπερ κατέπιε | πάλαι κατισχύσας ὁ Θάνατος,
καὶ νῦν εἰς τὰ οὐράνια | ὁ παραπεσὼν πολιτεύεται·
μέγα σου τὸ κράτος, | ἀμέτρητον τὸ ἔλεος, Σωτήρ·
ἡ δυναστεία σου ἄφατος· | δόξα σοι, φιλάνθρωπε.

Ὅμοιον.

Ἀμνὸς ὁ τὰ σφάλματα | τῆς οἰκουμένης ἐξαίρων,
ἐσφάγης θελήματι, | μόνε δικαιότατε,
ὡς κατάκριτος, | ἡ ἡμῶν λύτρωσις,
ἡ ἡμῶν κάθαρσις, | πάσχα μέγα καὶ σωτήριον,
καὶ τάφον ὤκησας | καὶ τοὺς ἀπ' αἰῶνος καθεύδοντας
σαυτῷ συνεξανέστησας, | δύναμιν, οἰκτῖρμον, ζωσάμενος·
αὕτη ἡ ἡμέρα, | μακρόθυμε, | ἣν σὺ ἐποιήσω·
ἀγαλλιώμενοι κράζομεν | " δόξα σοι, φιλάνθρωπε ".

Εἰς τὸ Δόξα ἦχος πλάγιος β'· «Τίς μὴ μακαρίσει σε, παναγία παρθένε»: «Φῶς ἱλαρόν»: Προκείμενον, ἦχος βαρύς· «Ἀγαπήσω σε, Κύριε ἡ ἰσχύς μου· Κύριος στερέωμά μου καὶ καταφυγή μου καὶ ῥύστης μου». Στίχος· «Ὁ Θεός μου, βοηθός μου καὶ ἐλπιῶ ἐπ' αὐτῷ· ὑπ»: Εὐθὺς «Καταξίωσον»καὶ στιχηρόν, ἦχος πλάγιος β'.

Τὴν ἀνάστασιν σου, Χριστὲ Σωτήρ,
ἄγγελοι ὑμνοῦσιν ἐν οὐρανοῖς,
καὶ ἡμᾶς τοὺς ἐπὶ γῆς καταξίωσον
ἐν καθαρᾷ καρδίᾳ σὲ δοξάζειν.

Στίχος· ἦχος πλάγιος α'· «Ἀναστήτω ὁ Θεὸς καὶ»: — «Πάσχα ἱ(ερὸν)»: καὶ μετὰ τὸ «Χριστὸς ἀνέστη» γ', τὸ «Νῦν ἀπολύεις». Κάθισμα, ἦχος πλάγιος β'· «Ἀγγελικαὶ δυνάμεις ἐπὶ τὸ μνῆμα»: Ὁ διάκονος τὴν αἴτησιν καὶ ἀπολύει.

10 ἀπαιῶνος. — 11 συνέξανέστησας || οἰκτίρμον. — 13 κράζωμεν — 22 ἐπιγῆς. — 23 καθαρᾷ.

ΤΗΙ ΠΑΡΑΣΚΕΥΗΙ ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Τὸ «Χριστὸς ἀνέστη» καὶ «Ἀνάστασιν Χριστοῦ θεασάμενοι»
Ὁ κανὼν ἦχος πλάγιος β΄.

Ὠδὴ α΄. «Τμηθείσῃ τμᾶται».

Μωσῆς ἐτύπου | πάλαι σου, Χριστέ,
τὴν θείαν σταύρωσιν | τὸν ὄφιν ἀνυψῶν·
καὶ γὰρ σταυρωθεὶς | ἀνέωξας ἡμῖν,
Σωτήρ, τοῦ παραδείσου πύλας·
τεθεὶς δὲ ὥσπερ νεκρὸς ἐν μνήματι
νεκροὺς συνανέστησας | καὶ Ἅδου πύλας ἔθραυσας.

Χριστὸς ἀνέστη· ἄσωμεν, λαοί,
καὶ μεγαλύνωμεν | τὸ ὄνομα αὐτοῦ,
καὶ χορεύσωμεν | καὶ ψάλωμεν αὐτῷ
πιστῶς, ὡς νικητῇ τοῦ Ἅδου,
καὶ βοήσωμεν λαμπρῶς· ἐξεγήγερται
ὁ Κύριος σήμερον, | ἡ πάντων ἀπολύτρωσις".

Ἀγαλλιάσθω | ἅπασα ἡ γῆ·
ζωώσας τοὺς νεκρούς, | μυροφόροις τε τὸ
"χαίρετε" βοᾷ, | αὐτῷ ἐμφανισθείσαις πρῶτον,
"ἅπτε" παρεγγυῶν | "καὶ τοῖς φίλοις μου
τὴν θείαν μου ἔγερσιν | σπουδαίως ἀπαγγείλατε".

Θεοτοκίον.

Χαῖρε, χωρίον τοῦ δημιουργοῦ·
χαῖρε, παράδεισε Κυρίου λογικέ·
χαῖρε, οὐρανὲ | καὶ θρόνε καὶ σκηνή,
ἐν ᾗ ὁ ποιητὴς σκηνώσας
τοῦ Ἅδου τὸ ἀμειδὲς | σκήνωμα, ἄγνῃ,
σκυλεύσας ἀνέστησεν | ἐκεῖσε τοὺς καθεύδοντας.

Ὠδὴ γ΄. «Κύριος ὢν πάντων καὶ κτίστης Θεός».

Σταύρωσιν ὑπέστης θελήσει, Χριστέ,
καὶ ὀνείδη ὅπως πάντων ἡμῶν | ἄρῃς τὸ ὄνειδος·

4 τμηθεὶς ἠτμᾶται.—6 ἀνύψων.—10 συνανέστησας.—17 ἅπασα.—19 χαίρεται. — 20 ἅπτε.—28 ἐκεῖσε.

κατῆλθες ἐν τάφῳ ὡς θνητός, | νεκροὺς ἀνιστῶν καταφθαρέντας·
δόξα τῇ παντοδυνάμῳ σου | ἐξουσίᾳ, πολυέλεε.

Νῦν ἐβασίλευσεν ὁ Κύριος,
τὸ πικρὸν τοῦ τυραννοῦντος κράτος | καταβαλὼν κραταιῶς
καὶ τοῦ Ἅδου βασίλεια σαφῶς | σκυλεύσας καὶ δεσμίους ἐξάξας
ἀπὸ τοῦ αἰῶνος κράζοντας | "δόξα, δέσποτα, τῷ κράτει σου".

Αὕτη, καθὼς βοᾷ Δαυὶδ ἐν ψαλμοῖς,
ἀληθῶς ἡ φωταυγὴς ἡμέρα | τοῦ πάσχα πέφυκεν,
ἣν ὁ πάντων ἐποίησε Θεός· | χορεύσωμεν ἐν ἀγαλλιάσει
σὺν ταῖς οὐρανίαις τάξεσιν | καὶ Χριστὸν δοξολογήσωμεν.

Θεοτοκίον.

Δέσποινα τῶν πάντων ὑπάρχουσα,
ὡς τεκοῦσα τοῦ παντὸς τὸν κτίστην, | θεοχαρίτωτε,
ὁπηνίκα ἑώρακας αὐτὸν | ἐκ τάφου ἐγερθέντα ἐπλήσθης
θείας χαρμονῆς, δοξάζουσα | τὴν αὐτοῦ μεγαλειότητα.

Ὑπακοή· ἦχος πλ. β'.

Τῷ ἐκουσίῳ καὶ ζωοποιῷ σου θανάτῳ, Χριστέ,
πύλας τοῦ Ἅδου συντρίψας ὡς Θεός,
ἤνοιξας ἡμῖν τὸν πάλαι παράδεισον
καὶ ἀναστὰς ἐκ νεκρῶν
ἐρρύσω ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν.

Ὠδὴ δ'. «Προκατιδὼν ὁ προφήτης».

Λαμπροφορείσθω ἡ κτίσις·
ὁ γὰρ Χριστὸς ἐκ νεκρῶν ἐγήγερται
καὶ πᾶσαν συνεξήγειρε | τὴν κτίσιν ἑαυτῷ,
κενώσας τὴν γαστέρα καὶ τὰ ταμεῖα
ἅπαντα τοῦ Ἅδου σθένει κραταιῷ,
ὃν ἐν πίστει καὶ φόβῳ δοξάσωμεν.

Ὦ ἱερώτατον πάσχα,
παντὸς τοῦ κόσμου θεῖον καθάρσιον,
Λόγε Θεοῦ καὶ δύναμις, | δίδου καθαρῶς
μετέχειν σου ἡμᾶς τοὺς εἰλικρινεῖ σε

4 καταβαλὼν.—7 καθὼς. — 9 ἐναγαλλιάσει. — 10 συνταῖς.—14 ὁπηνίκα.—22 προκατιδὼν.—23 λαμπροφορεῖσθω. — 24 ἐγείγερται.—25 συνέξήγειρε.—26 ταμεῖα.—28 δοξάσομεν.

γνώμῃ εὐσεβῶς δοξάζοντας
ἐκ νεκρῶν ἀναστάντα τριήμερον.

Μύρα σὺν δάκρυσι πάλαι
γυναῖκες θεῖαι κομίζουσαι
καθήμενον τῷ μνήματι | εἶδον προφανῶς
ἀσώματον βοῶντα ἄγγελον ταύταις
"παύσασθε πικρῶς δακρύουσαι·
ὁ δεσπότης τῶν ὅλων ἐγήγερται".

Θεοτοκίον.

Πεῖραν, παρθένε, μὴ γνοῦσα
ἀνδρὸς τὸν Κύριον τέτοκας,
παρθένος μετὰ κύησιν | μείνασα φρικτῶς·
διό σε ἀληθῶς καὶ κυρίως
πάντες Θεοτόκον ἄφθορον
οἱ πιστοὶ ὁμοφρόνως δοξάζομεν.

Ὠδὴ ε'. «Τῷ συνδέσμῳ τῆς ἀγάπης».

Τῷ σταυρῷ σου τὴν εἰρήνην
παρασχόμενος πᾶσι, Κύριε,
καταβέβηκας εἰς Ἅδου
καὶ τὸ φῶς τοῖς ἐκεῖσε ἔλαμψας
πεπεδημένοις | καὶ συνεξήγειρας
τούτους τῇ ἐγέρσει σου τῇ τριημέρῳ.

Ὁ ἐκ χοὸς διαπλάσας
πάλαι τὸν ἄνθρωπον, δέσποτα,
εἰς χοῦν θανάτου κατῆλθες
καὶ δεσμῶν ἀλύτων ἐξήρπασας
τοὺς ἀπ' αἰῶνος | νεκροὺς δοξάζοντας
σοῦ τὸ κράτος, ὕψιστε, μεγαλοφώνως.

Οἱ ἐξ Αἰγύπτου τῆς πλάνης
λυτρωθέντες, τὸ πάσχα σήμερον
τὸ ἱερώτατον πίστει
ἐπιτελέσωμεν καὶ δοξάσωμεν
τὸν ἀναστάντα | Χριστὸν τριήμερον
καὶ φωταγωγήσαντα τὴν οἰκουμένην.

3 συνδάκρυσι.—12 μείνασα. — 15 δοξάζωμεν. — 20 ἐκεῖσαι. — 21 συνεξήγειρας.— 27 ἀπαιῶνος.—28 κρᾶτος.

Θεοτοκίον.

Τὸ ἀλατόμητον ὄρος,
τὴν λυχνίαν καὶ θείαν τράπεζαν,
τὴν κιβωτὸν τὴν ἁγίαν,
τὴν τοῦ μάννα στάμνον τὴν πάγχρυσον,
τοῦ βασιλέως τὸν ὑψηλότατον
θρόνον ἀνυμνοῦμεν σε, Θεοκυῆτορ.

«Εἰ καὶ ἐν τάφῳ» καὶ τὰ ἐπίλοιπα τῶν οἴκων.

Ὠδὴ ς'. «Ἄβυσσος ἐσχατη ἁμαρτιῶν».

Πάλαι σου | τὸ πάθος προδιετύπου σαφῶς Ἰσαάκ·
ὡς ἀρνίον γὰρ ἐθελουσίως, | Θεὲ τῶν ὅλων, ἐτύθης
εἰς κόσμου παντελῆ ἀπολύτρωσιν.

Τέτρωται | ὁ Ἅδης πλευρὰν τρωθέντος σου, δέσποτα,
καὶ ἀπέλυσας τοὺς πρὶν δεσμώτας | μετὰ ψυχῆς κατιδών σε
ἐν τοῖς καταχθονίοις γενόμενος.

Μύρα σοι | γυναικῶν ὡς τεθνηκότι κομίζει χορός·
ἀλλὰ βλέψας σε ἐγηγερμένον, | τοῖς ἱεροῖς ἀποστόλοις
συνέχαιρε δοξάζων σε, Κύριε.

Θεοτοκίον.

Ἅγιον ὑπεράγιον, ἁγία, τεκοῦσα Θεόν,
τοῦτον θνήξαντα ἐθελουσίως | καὶ ἐκ νεκρῶν ἀναστάντα
ἰδοῦσα εὐφροσύνης πεπλήρωσαι.

Ὠδὴ ζ'. «Οἱ παῖδες ἐν Βαβυλῶνι».

Ἥλιος ὅτε σε εἶδε | σταυρῷ κρεμάμενον, ἥλιε,
ἐσκοτίσθη· ἡ γῆ | ἐσαλεύθη καὶ πέτραι ἐσχίσθησαν
καὶ οἱ νεκροὶ ἀνέστησαν | ἐκ τῶν τάφων ὑμνοῦντές σε.

Προσομιλῶν τοῖς ἐν Ἅδῃ | μετὰ ψυχῆς, ὁ Θεὸς ἡμῶν,
συνεγείρεις αὐτοὺς ! τῇ ἐγέρσει σου τῇ φρικτῇ, κραυγάζοντας
" εὐλογητὸς εἶ, Κύριε | ὁ Θεὸς τῶν πατέρων ἡμῶν ".

Τὰς ἀρετὰς ὡς χιτῶνας | ἀμφιασώμεθα ἀστράπτοντες
τῇ ἡμέρᾳ, πιστοί, τῇ τοῦ πάσχα καὶ λαμπρῶς ἐκβοήσωμεν
" εὐλογητὸς εἶ, Κύριε | ὁ Θεὸς τῶν πατέρων ἡμῶν ".

6 ὑψιλώτατον.—7 ἀνύμνοῦμεν.—14 δεσμῶτας || κατιδῶν.—20 ὑπαγάγα.—22 ἰδοῦσα || πεπλήρωται.

Θεοτοκίον.

Τὸν νικητὴν τοῦ Θανάτου | καὶ σὸν υἱὸν καὶ Θεὸν ἡμῶν
κατιδοῦσα, ἁγνή, | ἐγερθέντα ἐκ τοῦ τάφου ἐκραύγαζες
" εὐλογητὸς εἶ, Κύριε | ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'. «Νόμων πατρώων».

Σταυροῦσαι θέλων, | ὑπεράγαθε,
καὶ ἐν καινῷ μνημείῳ | ἄπνους κατάκεισαι
καὶ νεκροῖς ἐμπνέεις, δέσποτα, | ζωὴν ζωὴ ὑπάρχων,
καὶ συνεγείρεις | κόσμον ἑαυτῷ ἐξεγερθείς,
ἀνυμνοῦντα τὸ κράτος σου | καὶ φόβῳ | μελῳδοῦντα
" τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας ".

Ἐν κατωτάτῳ | λάκκῳ, Κύριε,
σοῦ καταβάντος πᾶσα | φύσις ἀνήνεκται
τῶν ἀνθρώπων καὶ λελύτρωται | καθείρξεως ζοφώδους,
ὑμνολογοῦσα | σοῦ τὴν εὐσπλαγχνίαν τὴν πολλὴν
καὶ τὴν ἀπειροδύναμιν | καὶ φόβῳ | μελῳδοῦντα
" τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας ".

Πάσχα τὸ θεῖον | καὶ σεβάσμιον,
πάσχα σωτηριῶδες, | πάσχα μακάριον
ἑορτάζομεν γηθόμενοι | καὶ ὕμνον εὐχαρίστως
τῷ ζωοδότῃ | καὶ νικοποιῷ ἡμῶν Θεῷ
ἐπινίκιον ᾄδοντες | καὶ φόβῳ | μελῳδοῦντες
" τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας ".

Θεοτοκίον.

Χαῖρε, πεσόντων | ἐπανόρθωσις·
χαῖρε, κατάρας | λύσις, θεοχαρίτωτε·
χαῖρε, πύλη ἀδιόδευτε· | χαῖρε, φωτὸς νεφέλη·
χαῖρε τεκοῦσα | κόσμου τὴν σωτήριον χαράν·
χαῖρε, γῆ ἀγεώργητε· | χαῖρε, βοώντων σκέπη,
" τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας ".

7 ἄπνους.— 16 ὑμνολογοῦσα || πολλήν.—31 τεκούσα.

Ὠδὴ θ'. «Ξενίας δεσποτικῆς».

Κατέρραξας τὸν ἐχθρὸν | ὑψούμενος ἐπὶ ξύλου·
κατῆλθες ἐν τῷ Ἅιδῃ | καὶ πάντας τοὺς ἐκεῖ,
Σῶτερ, δεσμώτας ἐξήγαγες | ἰσχὺν ἀπονεκρώσας, Λόγε,
τοῦ Θανάτου τὸ κράτος | τῇ δυναστείᾳ σου.

Σὺ ἀνέστας τὴν Σιὼν | ὠκτείρησας, ζωοδότα·
σὺ μαθητὰς ἡμέραις | ἐν πλείοσιν ὀφθείς,
καὶ τούτοις συναυλιζόμενος | κηρύττειν σε Θεὸν εἰς τὰ ἔθνη
ἐνετείλω καὶ πάντων | σωτῆρα Κύριον.

Ὦ πάσχα, πᾶσι πιστοῖς | παρεκτικὸν θυμηδίας!
ὦ Θεοῦ πατρὸς Λόγε, | δι' οὗ ἐκ τῆς φθορᾶς
πάντες ἡμεῖς ἐλυτρώθημεν | οἱ σὲ δοξολογοῦντες πόθῳ,
κοινωνοὺς ἡμᾶς δεῖξον | τῆς βασιλείας σου.

Θεοτοκίον.

Παρθένος ἐν γυναιξὶ | Θεὸν τεκοῦσα ἐφάνης,
ὃν ἔπτηξεν ὁ Ἅιδης | καὶ Θάνατος, ἁγνή·
τοῦτον οὖν ἱκέτευε | παντοίων κακῶν καὶ κινδύνων
λυτρωθῆναι τοὺς πίστει | σὲ μεγαλύνοντας.

Εὐθὺς «Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν». Ἐξαποστειλάριον· «Σαρκὶ ὑπνώσας». Στιχηρὰ εἰς τοὺς αἴνους· ἦχος πλάγιος β'.

Ὁ σταυρός σου, Κύριε, | ζωὴ καὶ ἀνάστασις
ὑπάρχει τῷ λαῷ σου | καὶ ἐπ' αὐτῷ
πεποιθότες | σὲ τὸν ἀναστάντα
Θεὸν ἡμῶν ὑμνοῦμεν· | ἐλέησον ἡμᾶς.

Ἡ ταφή σου, δέσποτα, | παράδεισον ἤνοιξε
τῷ γένει τῶν ἀνθρώπων, | καὶ ἐκ φθορᾶς λυτρωθέντες
σὲ τὸν ἀναστάντα | Θεὸν ἡμῶν ὑμνοῦμεν·
ἐλέησον ἡμᾶς.

Σὺν πατρὶ καὶ πνεύματι | Χριστὸν ἀνυμνήσωμεν
τὸν ἀναστάντα ἐκ νεκρῶν | καὶ πρὸς αὐτὸν ἐκβοῶμεν

3 ἐκεῖ—4 δεσμώτας. — 5 κράτος. — 8 συναυλιζόμενος. — 12 ἐλυτρώθημεν] τὸ κείμενον τὸ ἐντεῦθεν ἄχρι τῶν λέξεων «ἀτιμαλωτίσας ὑμνῶ σου» (σ. 248,27) κεῖται νῦν ἐν τῇ Πετρουπόλεως αὐτοκρατορικῇ βιβλιοθήκῃ (ἀριθ. 359)· κατέχει δὲ φύλλα δύο, ἅπερ ἀφείλετο Πορφύριος ὁ Οὐσπένσκης ἐκ τῆς λαύρας Σάβα τοῦ ἡγιασμένου· ἐκεῖ γὰρ ἦν ἄλλοτε τὸ χειρόγραφον, ὃ νῦν ἐκτυποῦται.—21 ζωὴ—25 ταφῇ.

*

" σὺ ζωὴ ὑπάρχεις | ἡμῶν καὶ ἀνάστασις·
ἐλέησον ἡμᾶς ".

Τριήμερος ἀνέστης, Χριστέ,
ἐκ τάφου, καθὼς γέγραπται,
συνεγείρας | τὸν προπάτορα ἡμῶν·
διό σε καὶ δοξάζει | τὸ γένος τῶν ἀνθρώπων
καὶ ἀνυμνεῖ σου τὴν θεότητα.

Στιχηρά· ἦχος πλάγιος α'· «Ἀναστήτω ὁ Θεὸς καὶ»: — «Πάσχα», καὶ μετὰ τὸ «Χριστὸς ἀνέστη» γ', ἐπακουστόν· ἦχος [sic]· «Ὁ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰώνων εἰργάσατο»: Στίχος· «Σὺ ἐκραταίωσας». Εὐαγγέλιον ι'· «Τῷ καιρῷ (ἐκείνῳ) ἐφανέρωσεν ἑαυτὸν ὁ Ἰησοῦς ἐπὶ τῆς θαλάσσης τῆς»: Στιχηρὸν εἰς τὸ Δόξα.

Μετὰ τὴν εἰς Ἅιδου κάθοδον | καὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν
ἀθυμοῦντες, ὡς εἰκός, | ἐπὶ τῷ χωρισμῷ σου,
Χριστέ, οἱ μαθηταί, | πρὸς ἐργασίαν ἐτράπησαν,
καὶ πάλιν πλοῖον καὶ δίκτυα | καὶ ἄγρα σύλλαμβοῦ·
ἀλλὰ σύ, Σῶτερ, ἐμφανισθεὶς | ὁ δεσπότης πάντων
δεξιοῖς τὰ δίκτυα | κελεύεις βαλεῖν,
καὶ ἦν ὁ λόγος ἔργον εὐθὺς | καὶ πλῆθος τῶν ἰχθύων πολὺ
καὶ δεῖπνον ξένον ἕτοιμον ἐν γῇ· | οὗ μετασχόντων
τότε σοῦ τῶν μαθητῶν | καὶ ἡμᾶς νῦν νοητῶς
καταξίωσον ἐντραφῆσαι, | φιλάνθρωπε Κύριε.

Ὁ διάκονος τὴν αἴτησιν καὶ ἀπολύει.

ΤΗΙ ΠΑΡΑΣΚΕΥΗΙ ΕΣΠΕΡΑΣ.

Στιχηρὰ εἰς τὸ «Κύριε ἐκέκραξα»· ἦχος βαρύς.

Δεῦτε ἀγαλλιασώμεθα | τῷ Κυρίῳ τῷ συντρίψαντι
Θανάτου τὸ κράτος | καὶ φωτίσαντι
ἀνθρώπων τὸ γένος, | μετὰ τῶν ἀσωμάτων κραυζάζοντες
" δημιουργὲ καὶ σωτὴρ ἡμῶν, δόξα σοι ".

10 προαιώνων.—15 ὡσεικώς.—17 πλειον καὶ δεικτυα.—18 σοὶ.—19 δεικτυα || βαλλεῖν.—20 πολλὴν.

Σταυρὸν ὑπέμεινας, | Σωτήρ, καὶ ταφὴν δι' ἡμᾶς,
Θάνατον δὲ ὡς Θεὸς | θανάτῳ ἐνεκρωσας·
διὸ προσκυνοῦμεν | τὴν τριήμερόν σου ἀνάστασιν·
Κύριε, δόξα σοι.

Ἀπόστολοι ἰδόντες | τὴν ἔγερσιν τοῦ δημιουργοῦ,
ἐθαύμασαν βοῶντες τὴν αἴνεσιν | τὴν ἀγγελικήν·
αὕτη ἡ δόξα τῆς ἐκκλησίας· | οὗτος ὁ πλοῦτος τῆς βασιλείας·
ὁ παθὼν δι' ἡμᾶς, Κύριε, δόξα σοι.

Ἕτερα στιχηρά· ἦχος βαρύς, πρὸς τὸ «Σήμερον γρηγορεῖτε».

Σήμερον | τῇ Χριστοῦ ἀναστάσει
πνευματικῶς ἑορτάζωμεν
ἐν ἀγαλλιάσει | ψυχῆς καὶ καρδίας·
ὁ γὰρ ζωοδότης | λύσας τὰς ὠδῖνας
τὰς τοῦ πρωτοπλάστου, | ὡς Θεὸς νῦν
ἐξεγήγερται | συνεγείρας ἅπαντας
οὓς πάλαι κατέπιεν | Ἅδης ὁ παγγέλαστος,
κράζοντας Χριστὲ ὁ Θεός, δόξα σοι.

Ὅμοιον.

Ἄσωμεν | τῷ Θεῷ ἐν κυμβάλοις
πνευματικοῖς ἀλαλάζοντες
ὁ Χριστὸς ἀνέστη | τῇ τρίτῃ ἡμέρᾳ
καὶ ταῖς μυροφόροις | γυναιξὶν ἐφάνη
λέγων ἀπελθοῦσαι | μαθηταῖς ἐμοῖς
προείπατε | ἄπιτε καὶ ὄψεσθε
ἐν τῇ Γαλιλαίᾳ με, | καθὼς προ τοῦ πάθους μου
ἔφησα ὑμῖν ὁ ὑπεράγαθος.

Ὅμοιον.

Πάσχα νῦν | ἡ παροῦσα ἡμέρα·
πνευματικῶς ἑορτάσωμεν·
δι' οὗ ἐξ Αἰγύπτου | ἐρρύσθημεν πλάνης·
δεῦτε, λαμπροφόροι, | πάντες ἐποφθῶμεν
ἀρεταῖς ἐνθέοις | τῷ Κυρίῳ ἀγαλλόμενοι,
καὶ πιστῶς βοήσωμεν | Χριστὸς ἐξεγήγερται
κενώσας τὰ μνήματα
καὶ καινοποιήσας τὸ ἀνθρώπινον.

2 θανάτῳ] θάνατον.—13 ὠδῖνας.—15 ἐξεγείγερται.—24 ἄπιτε.

Εἰς τὸ Δόξα ἦχος βαρύς· «Μήτηρ μὲν ἐγνώσθης ὑπὲρ φύσιν, Θεοτόκε». Προκείμενον, ἦχος πλάγιος δ'· «Ἔδωκας κληρονομίαν τοῖς φοβουμένοις τὸ ὄνομά σου». Στίχος· «Ἀπὸ τῶν περάτων τῆς γῆς πρὸς σὲ ἐκέκραξα». — «Καταξίωσον». — Τοῦ στιχ(ηροῦ) ἦχος βαρύς.

Ἀνέστης ἐκ τοῦ τάφου, | Σωτὴρ τοῦ κόσμου,
καὶ συνήγειρας τοὺς ἀνθρώπους
σὺν τῇ σαρκί σου· Κύριε, δόξα σοι.

Στιχηρόν· ἦχος πλάγιος α'· «Ἀναστήτω ὁ Θεός». «Πάσχα ἱερὸν ἡμῖν». Καὶ μετὰ τὸ «Χριστὸς ἀνέστη», κάθισμα· ἦχος βαρύς· «Κατέλυσας τῷ σταυρῷ σου τὸν Θάνατον· | ἠνέωξας | τὸν ληστήν»:

ΤΩΙ ΣΑΒΒΑΤΩΙ ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

«Χριστὸς ἀνέστη» καὶ τὰ στιχηρά· εἶτα «Ἀνάστασιν Χριστοῦ θεασάμενοι». Ὁ κανὼν ἦχος βαρύς.

Ὠδὴ α'. «Νεύσει σου πρὸς γεώδη».

Ξύλῳ τὴν διὰ ξύλου | ἐξαλείψας κατάραν,
τοὺς ξύλῳ τεθνηξάντας | θανάτῳ σου ἐζώωσας,
πάσχα | ἄμωμον καὶ θεῖον, | Λόγε τοῦ Θεοῦ
παντοδύναμε.

Δεῦτε ἐν εὐφροσύνῃ | περιχορεύσωμεν πάντες·
Χριστὸς ἐξεγήγερται, | τὸ ζοφερὸν βασίλειον
ὅλον | τοῦ Ἅδου κενώσας | καὶ τοῖς τεθνεῶσι
πηγάζων ἀνάστασιν.

Ὄρθριαι πρὸς τὸ μνῆμα | αἱ μυροφόροι ἐλθοῦσαι
ἀγγέλους τεθέανται | λαμπρότητι ἀστράπτοντας·
ὅθεν | φόβῳ συσχεθεῖσαι | τὴν τοῦ λυτρωτοῦ
ἐδιδάσκοντο ἔγερσιν.

11 τοῦ σταυροῦ.—17 διαξύλου· ἐξανίσας.—18 ἐζώωσας.

Θεοτοκίον.

Χαίροις, εὐλογημένη, | θεοχαρίτωτε, μόνη
ἀγγέλων εὐπρέπεια, | ἀνθρώπων ἡ βοήθεια·
χαίροις | ἡ τὰς τοῦ Θανάτου | πύλας τῇ κυήσει τῇ σῇ
ἀποκλείσασα.

Ὠδὴ γ'. «Ὁ κατ' ἀρχὰς τοὺς οὐρανούς».

Ὁ διατείνας οὐρανοὺς | εθελουσίως παλάμας
ἐπὶ ξύλου | ἔτεινας, Σωτήρ· | τεθεὶς δὲ νεκρὸς
ἐν τάφῳ, δέσποτα, | ἐζωοποίησας νεκροὺς
καὶ τῇ σεπτῇ σου ἐγέρσει | πάντας τοὺς βροτοὺς
συνεξανέστησας.

Ὡς καθαρώτατος ἀμνὸς | εθελουσίως ἐσφάγης,
ἑκουσίως | τὸν παρακοῇ | ἐχθροῦ συμβουλῇ
ἀθλίως θνήξαντα | ἀνακαλούμενος, Χριστέ,
καὶ παραδείσου πολίτην | θείοις οἰκτιρμοῖς
ἀπεργαζόμενος.

Αὕτη ἡμέρα ἑορτὴ καὶ πανήγυρίς ἐστιν,
ἐν ᾗ πᾶσα | κτίσις εὐσεβῶς | χορεύει χαρᾷ
καὶ χαίρει πνεύματι | καὶ ἑορτάζει καὶ βοᾷ
"ὁ ἐκ νεκρῶν ἀνατείλας | πάσχα τὸ σεπτὸν
Κύριε, δόξα σοι".

Θεοτοκίον.

Σέ, παναγία, οἱ σεπτοὶ | χαρμονικῶς ἀνυμνοῦμεν
τὴν τῶν ὅλων | τέξασαν Θεὸν | τὸν πᾶσι χαρὰν
ἐκ τάφου βλύσαντα καὶ ἀφθαρσίαν καὶ ζωήν,
καὶ καθελόντα τὸ κράτος | καὶ τὴν δυναστείαν
τοῦ ἀλάστορος.

Ὑπακοή· ἦχος βαρύς.

Ὁ ἡμετέραν μορφὴν ἀναλαβὼν
καὶ ὑπομείνας σταυρὸν σωματικῶς,
σῶσόν με τῇ ἀναστάσει σου,
Χριστὲ ὁ Θεός, | ὡς φιλάνθρωπος.

2 χαῖροις.—4 κυήσει.—6 καταρχὰς τοὺς οὐρανοὺς.—12 καθαρώτατος ἀμνός.—17 ἑορτὴ.—18 χαρᾷ.—29 ἡμετέραν.—30 ὑπομείνας.

Ὠδὴ δ'. «Ὁ πατρικοὺς κόλπους μὴ λιπών».

Ἀναρτηθεὶς ξύλῳ τοῦ σταυροῦ
ἑθελουσίως, Ἰησοῦ φιλάνθρωπε,
τὰς ἀρχὰς παρεδειγμάτισας
πάσας τοῦ ἀλάστορος
καὶ ζωὴν τῷ κόσμῳ ἐπήγασας.

Πύλας χαλκᾶς Ἅιδου καθελὼν
καὶ τοῦ Θανάτου τὰ δεσμὰ συνέτριψας·
τοὺς δεσμίους ἠλευθέρωσας
πάντας τῇ δυνάμει σου
καὶ ἀνέστης, Λόγε, τριήμερος.

Λευχειμονοῦντες ταῖς ἀρεταῖς
τῇ λαμπροφόρῳ ἑορτῇ χορεύσωμεν·
πάσχα μέγα καὶ σωτήριον,
πάσχα ἡ ἀνάκλησις
καὶ ζωὴ τῷ κόσμῳ καὶ λύτρωσις.

Θεοτοκίον.

Ἡ τοῦ Θεοῦ ἄσπιλος ἀμνάς,
ὃν ἐσωμάτωσας ἀμνὸν καὶ Κύριον
ἐκ νεκρῶν ὁρῶσα σήμερον
κόσμῳ ἀνατείλαντα
χαρμονῆς πληροῦσαι, πανάμωμε.

Ὠδὴ ε'. «Κύριε ὁ Θεός μου, | ἐκ νυκτὸς ὀρθρίσας».

Κύριε ὁ Θεός μου, | ὁ σταυρῷ τὸν Ἅδην αἰχμαλωτίσας
παθῶν με νεκρώσεως. | Χριστέ, ἐλευθέρωσον
καὶ τὴν νεκρωθεῖσαν ψυχήν μου | τῇ σῇ ἀγαθότητι ζώωσον.

Κύριε ὁ Θεός μου, | ὁ σταυρῷ τὸν Ἅδην αἰχμαλωτίσας,
ὑμνῶ σου τὴν σταύρωσιν, | τιμῶ τὴν ἀνάστασιν,
δι' ἧς τῆς φθορᾶς ἐλυτρώθην | καὶ τῇ ἀφθαρσίᾳ ἐπλούτησα.

(Θεοτοκίον).

Κύριε ὁ Θεός μου, | ὁ τὰς κλεῖς μὴ λύσας τῆς παρθενίας
τῆς ἀπειρογάμως σε | τεκούσης θεόπαιδος,
ταῖς αὐτῆς ἁγίαις πρεσβείαις | λῦσον τὰ δεσμὰ τῶν πταισμάτων μου.

2 ἀναρτηθεις.—7 χαλκᾶς.—12 λευχημονουντες.—16 ζωὴ.—18 ἄσπηλος ἀμνὰς.—19 ἀμνὸν.—31 κλεις.

Ὠδὴ ς'. «Ναυτιῶν τῷ πάλῳ | τῶν βιωτικῶν».

Προετύπου πάλαι,
Σῶτερ, Ἰωνᾶς τὴν ταφήν σου
τοῦ κτίστου τριήμερος | τὴν γαστέρα
ἀδιαφθόρως οἰκήσας δοξάζων σε·
λάκκῳ κατωτάτῳ προσβληθείς γάρ,
Σῶτερ, ἐξανέστης ἐκ νεκρῶν τριήμερος.

Χορευέτω πᾶσα
κτίσις τῇ τοῦ πάσχα ἡμέρᾳ·
ἐν ταύτῃ ἀνέστη γὰρ | ἐκ τοῦ τάφου·
τοῖς ἀπ' αἰῶνος κοιμηθεῖσιν
θείαν ἀπολύτρωσιν σαφῶς δεδώρηται.

Μυροφόροι κόραι
ὄρθρου πρὸς τὸ μνῆμα σπουδαίως
ἀφίκοντο, βλέψαι ἐπιζητοῦσαι
τὸν ζωοδότην· κατεῖδον δὲ | ἄγγελον
ταύταις ἐκβοῶντα "ἐξανέστη
ὁ δημιουργός· λοιπὸν τί κλαίετε"·

Θεοτοκίον.

Ὁ τεχθεὶς ἀφθόρως,
κόρη, ἐξ ἀφθόρου σου μήτρας
τεθεὶς ἐν τῷ μνήματι ἑκουσίως
διαφθορὰν οὐ τεθέαται, | ἄχραντε·
τοὺς καταφθαρέντας δὲ ζωώσας
θεία δυναστεία ἑαυτῷ συνήγειρεν.

«Εἰ καὶ ἐν τάφῳ»:

Ὠδὴ ζ'. «Κάμινον παῖδες πυρίφλεκτον».

Σὲ παρανόμων | Ἑβραίων ὁ δῆμος
τὸν νομοδότην ἐσταύρωσεν
ἀμνημονήσας τῶν σῶν θαυμασίων, Χριστὲ
ὁ ὑπερυψούμενος
τῶν πατέρων Θεὸς καὶ ὑπερένδοξος.

1 ναυτιωντα.—11 ἀπαιῶνος κοιμηθεισιν.—15 ἀφείκοντο.—17 ἐξάνέστη.—21 ἐξαφθόρουσσου.—27 πυρίφλεκτον] πυρ ἄφλεκτον.—33 ὑπερύψούμενος.

Ἀγαλλομένῳ | ποδὶ τῇ τοῦ πάσχα
περιχορεύσωμεν σήμερον
ἑορτασίμῳ ἡμέρᾳ κραυγάζοντες
" ὁ ὑπερυψούμενος
τῶν πατέρων Θεὸς καὶ ὑπερένδοξος ".

Ὄλβιος τάφος ὁ σέ, πλουτοδότα,
σωματικῶς εἰσδεξάμενος
τὸν τριημέρῳ ἐγέρσει πλουτήσαντα
ἡμᾶς τοὺς πτωχεύσαντας
καὶ ἀθλίως, Λόγε, τεθνηξάντας.

(Θεοτοκίον).

Σὲ μακαρίζει | ὁ κόσμος, παρθένε,
Θεὸν μακάριον τέξασαν
τὸν μακαρίους βροτοὺς ἐργαζόμενον,
αὐτῷ πειθαρχήσαντας,
θεομῆτορ κόρη πανάμωμε.

Ὠδὴ η'. «Ἄφλεκτος πυρί».

Πέτραι τὴν πέτραν | τῆς ζωῆς ὅτε κατεῖδον,
πέτρον ἀρθέντα ὕπερθεν | ἐν τῷ Κρανίῳ, διερράγησαν
καὶ ἥλιος τὰς αὐγὰς | ἐναποκρύψας σκοτασμὸν
βοῶν ἐνδέδυται | " πάντα τὰ ἔργα Κυρίου " κτλ.

Ὥσπερ νυμφίον | ἐκ παστοῦ σε προελθόντα
ἐκ τάφου ὡραιότατον | τῶν ἀποστόλων δῆμος ἔβλεψε
καὶ πάσχα ταῖς πατριαῖς | συνεορτάσαι τῶν ἐθνῶν
βοῶν ἐπαίδευσε | " πάντα τὰ ἔργα Κυρίου " κτλ.

" Τί μετὰ μύρων | ὡς θνητὸν τὸν ζωοδότην
ζητεῖτε; ἐξεγήγερται | Ἅδου κενώσας τὰ βασίλεια "
ἐβόα ταῖς γυναιξὶν | ἀπὸ τοῦ τάφου μελῳδῶν
ἅγιος ἄγγελος· | " πάντα τὰ ἔργα Κυρίου " κτλ.

(Θεοτοκίον).

Τῶν μυροφόρων | ὁ χορός, θεοκυῆτορ,
τῇ τοῦ υἱοῦ σου σήμερον | ἐξαναστάσει συγχορεύει σοι
καὶ πᾶσα ἡ νοητὴ | καὶ ὁρωμένη ἀληθῶς
κτίσις κραυγάζει σοι | " πάντα τὰ ἔργα Κυρίου " κτλ.

8 τριημέρω.—17 ἄφλεκτως.—19 κατ' εἶδον.—23 ὡραιώτατον.—24 συνεορτάσαι.—25 ἐπέδευσε. — 32 υἱούσου || συγχωρεύει. — 34 κτίσει.

Ὠδὴ θ'. «Μὴ τῆς φθορᾶς διαπείρα κυοφορήσασα».

Εὐαγγελίζου ἡ κτίσις ἐξαναστάντος Χριστοῦ·
ὅσος ὁρώμενος κόσμος τε καὶ ἀόρατος,
χεῖρας κροτήσατε | καὶ κράξατε συμφώνως
" ὁ Κύριος ἀνέστη | κενώσας τοῦ Θανάτου
τὰ ταμεῖα καὶ τὰ βασίλεια ".

Αὕτη ἐστὶν ἡ ἡμέρα τῆς ἀναστάσεως,
ἥνπερ ἐποίησε μόνος ὁ παντοδύναμος·
ταύτῃ χορεύσωμεν, | ὁρῶντες τῶν ἀνθρώπων
τὴν ἔκπτωτον τὴν φύσιν | ἀπαθανατισθεῖσαν
καὶ τὸ πρῶτον κάλλος φορέσασαν.

Ὁ ἀναστὰς ἐκ τοῦ τάφου, Δόγε, τριήμερος
τὴν νεκρωθεῖσαν ψυχήν μου τοῖς πλημμελήμασιν
ἔγειρον ζώωσον | ἐντολῶν σου μελέτῃ
τῶν θείων, ζωοδότα, | ὅπως σου κατὰ χρέος
μεγαλύνω τὴν ἀγαθότητα.

Θεοτοκίον.

Ἐν τῇ τοῦ πάσχα ἡμέρα | φαιδρῶς χορεύσωμεν
καὶ τῇ παρθένῳ τὸ χαῖρε | λαμπρῶς βοήσωμεν·
αὕτη γὰρ πρόξενος | ἡμῖν τῆς σωτηρίας
καὶ τῆς ἀθανασίας | ἐγένετο τῆς θείας,
τὸν τῶν ὅλων Θεὸν κυήσασα.

Ἐξαποστειλάριον· «Σαρκὶ ὑπνώσας». Στιχηρά· ἦχος βαρὺς εἰς τοὺς αἴνους.

Ἀνέστης, Χριστός, ἐκ νεκρῶν
λύσας Θανάτου τὰ δεσμά·
εὐαγγελίζου, γῆ, χαρὰν μεγάλην·
αἰνεῖτε, οὐρανοί, Θεοῦ τὴν δόξαν.

Ἀνάστασιν Χριστοῦ θεασάμενοι
προσκυνήσωμεν ἅγιον κύριον
Ἰησοῦν, τὸν μόνον ἀναμάρτητον.

Χριστοῦ τὴν ἀνάστασιν | προσκυνοῦντες οὐ παυόμεθα·
αὐτὸς γὰρ ἡμᾶς ἔσωσεν | ἐκ τῶν ἀνομιῶν ἡμῶν·
ἅγιος κύριος Ἰησοῦς | ὁ δείξας τὴν ἀνάστασιν.

1 διαπειραν κυοφορ: — 4 χειρας.—15 καταχρέως.—16 μεγαλύνων.—34 δειξας.

Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ
περὶ πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν;
δι' ἡμᾶς γὰρ ἐσταυρώθη
καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀνέστη
δωρούμενος ἡμῖν τὸ μεγα ἔλεος.

Στιχηρά· ἦχος πλάγιος α΄· «Ἀναστήτω ὁ Θεός». — «Πάσχα». Καὶ μετὰ τὸ «Χριστὸς ἀνέστη» γ΄, ἐπακουστόν: ἦχος πλάγιος δ΄. «Δίκασον, Κύριε, τοὺς ἀδικοῦντας ἡμᾶς». Στίχος· «Ἔσχεν ρομφαίαν καὶ»:—Εὐαγγέλιον ια΄ ἑ(ωθινόν). Στιχηρόν· ἦχος πλάγιος δ΄.

Φανερώσας ἑαυτὸν | τοῖς μαθηταῖς ὁ Σωτὴρ
μετὰ τὴν ἀνάστασιν | σοί, Σίμων, δέδωκε
τὴν τῶν προβάτων νομήν, | εἰς ἀγάπης ἀντέγκτησιν
τὴν τοῦ ποιμαίνειν φροντίδα αἰτῶν·
διό σοι ἔλεγεν | "εἰ φιλεῖς, Πετρε,
ποίμαινε τὰ ἀρνία μου, | ποίμαινε τὰ πρόβατά μου"·
ὁ δὲ εὐθέως ἐνδεικνύμενος τὸ φιλόστοργον
περὶ τοῦ ἄλλου μαθητοῦ ἐπυνθάνετο·
ὧν ταῖς πρεσβείαις, Χριστέ, | τὴν ποίμνην σου διαφύλαττε
ἐκ λύκων | λυμαινομένων αὐτήν.

Tale quale.

† Ἐκτίσθ(η) ἡ δέλτος αὕτη κατὰ πρόσταξιν τοῦ εὐλαβοὺς Γεωργ(ίου), ἀρχων καὶ κριτ(οῦ) τῆς ἁγίας πόλεως καὶ σακελλίου (supra χαρτοφύλακος) τὲ καὶ μεγάλου σκευοφύ(λακος) τῆς ἁγιας Χ(ριστο)ῦ τοῦ Θ(εο)ῦ ἡμῶν Ἀναστά(σεως): καὶ ἐδόθη παρ' αὐτοῦ εἰς τ(ὴν) ἐκκλη(σίαν) τῆς ἁγιας Χ(ριστο)ῦ τοῦ Θ(εο)ῦ ἡμῶν Ἀναστ(άσεως). ὑπὲρ ἀφέσεως ἁμαρτιῶν αὐτοῦ:—

† Ἐγράφη δὲ καὶ εἰρμώσιθη διὰ χειρὸς Βασιλείου τοῦ Ἁγιοπολίτου, γραφεῦστὲ καὶ ἐλαχιστου ἀναγνώστης τῆς ἁγίας Χ(ριστ)ῦ τοῦ Θ(εο)ῦ ἡμῶν Ἀναστ(άσεως) ἐν τῇ ἁγία πόλει Ἰ(ερουσα)λήμ.

11 σὺ.—13 ποιμένειν.—15 ποίμενε.—16 φιλώστοργον.

εἴληφεν δὲ τέλος ἡ αὕτη δέλτο(ς) ἡμέ(ρα) β̄ ὥρα γ′ τῆς ἡμέ(ρας) εἰς τ(ὴν) κζ′ τοῦ φευρουαρίου μηνός· ἔτους κόσμ(ου) ἑξακισχιλιοστῶι ἑξακοσίω τριάκοντα (= 1122):—ἰνδ(ικτιῶνος) ιε: παρακαλῶ οὖν καὶ λιπαρῶ τοὺς ἐντυγχάνοντας καὶ ἀναγινώσκοντας εν τῆι ταύτηι δέλτω εὔχεσθε ὑπεραμφοτέρων τῶ γράψαντι ἅμα καὶ τῶ κτισαμένω: ἵνα ῥυσθῶμεν ἀμφότεροι τῆς αἰωνίου κολάσεως ἀμήν·

† Ἐτυπώθη δὲ τὸ παρὸν τεῦχος κατατὴν τάξιν τῆς ἁγίας Χ(ριστο)ῦ τοῦ Θ(εο)ῦ ἡμῶν Ἀναστάσεως καὶ οὐ δεῖ τίς προσθήσει ἢ ἐκλήψει ἀπαυτόν τι:

Προσθήκη τοῦ ιγ′ αἰῶνος

γραφεῖσα ἐν τῶ κώδικι προ τῶν λέξεων· «Καὶ εὐθυς ὅταν πληρώση ὁ πατριάρχης» κτλ. Ὅρα σελ. 200, γρ. 14.

Τῆ ἁγία καὶ μεγάλη Κυριακῆ τοῦ πάσχα. Εἰς τὴν λειτουργίαν ἀντίφωνον α′· «Ἀλαλάξατε τῶ Κυρίω πᾶσα ἡ γῆ». «Ταῖς πρεσβείαις τῆς Θεοτόκου».—«Ψάλατε δὴ τῶ ὀνόματι αὐτοῦ· δότε δόξαν αἰνέσει αὐτοῦ».—Ταῖς πρεσβείαις τῆς Θεοτόκου».—«Εἴπατε τῶ Θεῶ ὡς φοβερὰ τὰ ἔργα σου».—«Ταῖς πρεσβείαις».

Ἀντίφωνον β′· «Ὁ Θεὸς οἰκτιρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς».—«Σῶσον ἡμᾶς υἱὲ Θεοῦ ὁ ἀναστάς».—«Τοῦ γνῶναι ἐν τῆ γῆ τὴν ὁδόν σου ἐν πᾶσι ἔθνεσι τὸ σωτήριον σου». — «Σῶσον ἡμᾶς». — «Ἐξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός· ἐξομολογησάσθωσάν σοι λαοι πάντες».—«Δόξα . . . καὶ νῦν».—«Ὁ μονογενὴς υἱὸς καὶ λόγος».

Ἀντίφωνον γ′· «Ἀναστήτω ὁ Θεὸς καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ».—«Χριστὸς ἀνέστη ἐκ νεκρῶν».—«Ὡς ἐκλείπει καπνός, ἐκλιπέτωσαν· ὡς τήκεται κηρὸς ἀπὸ»: — «Χριστὸς ἀνέστη». — «Οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου». — Εἰσοδικόν.—«Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν».

Ἀντὶ τοῦ τρισαγίου, «Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε». Προ-

κείμενον, ἦχος πλάγιος δ'· «Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος· ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν». Στίχος· «Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός».—Ὁ ἀπόστολος· Πράξεων τῶν ἀπ(οστόλων τὸ ἀνάγνωσμα· α', 1-8)· «Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην». Τέλος· «καὶ ἕως ἐσχάτου τῆς γῆς». Ἀπόστολος τῆς μεγάλης Κυριακῆς τῆς Ἀναλήψεως· «Καὶ ταῦτα εἰπών, βλεπόντων αὐτῶν ἐπήρθη». — Τέλος· «σαββάτου ἔχον ὁδόν». Ἀλληλούια· ἦχος πλάγιος δ'· «Σὺ Κύριε, ἀναστὰς οἰκτειρήσεις ἡμᾶς· τὴν Σιὼν ὅτι καιρὸς τοῦ οἰκτειρῆσαι αὐτήν». Κοινωνικόν· «Σῶμα Χριστοῦ μεταλάβετε, πηγῆς ἀθανάτου». Ἄλλο· «Ἀπαγγείλατε τῷ Πέτρῳ σὺν τοῖς λοιποῖς ἀποστόλοις, ὅτι ἀνέστη ἐκ νεκρῶν ὁ Κύριος». Εὐαγγέλιον κατὰ Ἰωάννην (α', 1-17)· «Ἐν ἀρχῇ ἦν ὁ Λόγος». Τέλος· «καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο». [Ἕπεται σημείωμα γεγραμμένον ἀραβικοῖς γράμμασι· μετὰ δὲ τοῦτο ὑπάρχει σελὶς ὁλόγραφος ἀραβιστί, καὶ μετ' αὐτὴν τὸ 133-ον φύλλον τοῦ κωδικος, ὅθεν ἄρχεται τὸ παλαιὸν κείμενον, ὅ ἐστιν ἡ προμνησθεῖσα (σ. 200) μετάφρασις λόγου τοῦ Χρυσοστόμου].

II.

ΕΓΓΡΑΦΟΝ ΠΕΡΙ

ΤΟΥ ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ ΜΟΝΥΔΡΙΟΥ ΤΟΥ ΑΓΙΟΥ ΕΥΘΥΜΙΟΥ,

συνταχθὲν ἔτει 1344-ῳ [1].

Ἴσον καὶ ὅμοιον τῆς διαθήκης Γερασίμου μοναχοῦ περὶ τοῦ ἁγίου Εὐθυμίου τοῦ ἔνδον κειμένου τῆς ἁγίας πόλεως Ἱερουσαλήμ, διαταττόμενον τοῦτο τὸ μοναστήριον, μετενεχθὲν ἔκ τινος παλαιοῦ πρωτοτύπου. Ἐν ἔτει ϛωνϛ'.

Κατὰ τὸν μέγαν Βασίλειον ὅρος φιλοσοφίας ἡ τοῦ θανάτου μελέτη καθέστηκεν· τινὲς δὲ τούτου καταφρονήσαντες καὶ καιροῦ ὑπερθέμενοι, οὐκ ἔγνωσαν τὸ τούτου ἄωρον· κἀντεῦθεν ἐλθὼν ἐξαίφνης ὁ κλέπτης αὐτοὺς ἁφήρπασε καὶ ἀδιατάκτως τὰ ἑαυτῶν καταλελοίπασι. Τούτου τὸ ἄδολον καὶ αὐτὸς φοβηθείς, ἐπεὶ καὶ ὁ στάχυς πρὸς θερισμόν ἐστιν, ἔτι σώας ἔχων τὰς φρένας καὶ ἐρρωμένας, οὐκ ἔκ τινος ἀνάγκης ἢ βίας κατεπειγόμενος, ἀλλ' ἑκουσίως καὶ οἰκειοθελῶς ἠθέλησα τὰ κατ' ἐμὲ πάντα διατυπώσασθαι. Καὶ ἐν πρώτοις μὲν ἀφίημι τοῖς κραταιοῖς καὶ ἁγίοις ἡμῶν βασιλεῦσι τὴν ἡμετέραν εὐχήν, ὡς εὐχέτης αὐτῶν, ἀλλὰ δὴ καὶ τῷ παναγιωτάτῳ μου δεσπότῃ καὶ πατριάρχῃ, ὡσαύτως καὶ πᾶσι χριστιανοῖς, τὴν ἐν Χριστῷ ἀγάπην τε καὶ συγχώρησιν· ἔπειτα διατίθεμαι καὶ τὰ κατ' ἐμὲ οὕτως.

[1] Τὸ ἔγγραφον τοῦτο κεῖται ἐν ἰδίῳ κώδικι τῆς ἐν Ἱεροσολύμοις ἱερᾶς Συνόδου, περιέχοντι πράξεις περὶ τῆς ἐπισκοπῆς τοῦ Σινᾶ ὅρους· σώζονται δὲ καὶ δύο ἕτερα ἀντίγραφα, τὸ μὲν ἐν τῷ 411-ῳ κώδικι τοῦ ἐν Κ/πόλει μετοχίου, περιλαμβάνοντι κείμενα πολλὰ περὶ μοναστηρίων, τὸ δ' ἐν χειρογράφῳ βιβλίῳ τῆς ἐν Χάλκῃ Θεολογικῆς Σχολῆς (σ. 375)· περὶ δὲ τῆς χρονολογίας τοῦ ἐγγράφου, ἣν ἐγὼ διώρθωσα, βλέπε σημείωσιν ἰδίαν ἐν τοῖς Ἀναλέκτοις, τ. 1, σ. 245.

Ἐγὼ Θεοῦ εὐδοκοῦντος, δι' οἷς οἶδε τρόποις, ἐλθὼν εἰς τὸν ἐν Ἱεροσολύμοις ἅγιον τόπον, κατώκησα εἰς τὸ ἐνταῦθα μονύδριον τοῦ μεγάλου Εὐθυμίου, τῆς δεσποίνης ἐκείνης τῆς Τραπεζοῦντος κυρίας Ἄννης τῆς πορφυρογεννήτου, μετὰ τοῦ ἐν ἱερομονάχοις ἐκείνου κυροῦ Παμβῶ, καὶ τοῦ ἐν μοναχοῖς κυροῦ Σωφρονίου ἐκείνου τοῦ Τραπεζουντίου, καὶ διῆγον μετ' ἐκείνων μέχρι τελευτῆς αὐτῶν. Ὡς δὲ τὸ κοινὸν ἀπέδωκαν χρέος καὶ ἐναπελείφθην αὐτὸς μόνος, πόσα ἐκοπίασα καὶ ἐκακοπάθησα εἰς τὸ τοιοῦτον μονύδριον, ὅτι παντελῶς εὗρον αὐτὸ ἐξαλειμμένον καὶ ἄπορον, ὁρᾶ ὁ Θεὸς τοῦτο. Τοίνυν μετὰ τοῦ ἐλέους τοῦ Θεοῦ, τοῦ ἡμετέρου κόπου καὶ τῆς συνδρομῆς τῶν χριστιανῶν, ἐξηγόρασα τελείως τοῦτο— δέδωκε γὰρ χάριν ἀναρρυσίας καὶ ὁ πρὸ ἐμοῦ Σωφρόνιος ἐκεῖνος ὁ Τραπεζούντιος ἄσπρα διακόσια—καὶ ἀνήγειρα καὶ ᾠκοδόμησα τοῦτο ὡς ὁρᾶται σήμερον. Ἐπεὶ γοῦν εὑρίσκονται μετ' ἐμοῦ ὁ ἐν ἱερομονάχοις ἀγαπητός μου υἱὸς κύριος Βλάσιος, ὁ Κύριλλος, ὁ Γεννάδιος καὶ ὁ Θεόδουλος, ἀφίημι τοὺς τοιούτους κληρονόμους καὶ διαδόχους μου· ἀναγκαῖον δὲ ὂν εἶναι τινα ἐπάνω τῶν τριῶν τούτων δηλονότι, τάττω τὸν ἱερομόναχον Βλάσιον ὡς προεστῶτα καὶ ἡγούμενον αὐτῶν, ἀπονεμόντων τῶν ἄλλων πᾶσαν ὑπακοὴν καὶ εὐπείθειαν, ὡς εἰς ἐμὲ αὐτόν. Ἔπειτα ἐπειδὴ πάντες ὀφείλομεν τὸ κοινὸν χρέος, μετὰ τὴν τούτου παρέλευσιν ἀφίημι πάλιν εἶναι ὡς προεστῶτα τὸν ἀγαπητόν μου υἱὸν Κύριλλον· μετὰ παρέλευσιν τούτου τὸν Γεννάδιον, εἶτα καὶ τὸν Θεόδουλον· ἔχειν δὲ πρὸς ἀλλήλους ἀγάπην, εἰρήνην καθαρὰν καὶ ὁμόνοιαν, μίαν βουλήν, ἓν θέλημα, μηδενὸς ἔχοντος ἄδειαν, ἢ τοῦ προεστῶτος ἢ ἄλλου τινός, ἐκβαλεῖν ἕτερον, πάρεξ ἐγκαίρου ἀφορμῆς καὶ εὐλόγου προφάσεως, ἤτοι προξένου ὄντος σκανδάλου καὶ ὀχλήσεως— ὅτι τὸν μὴ εἰρηνεύοντα καὶ ἀνενοχλήτως διάγοντα καὶ αὐτὸς ἐνδιαθήκως ἐκβάλλομαι,—ὁμονοοῦντας δὲ καὶ εἰρηνεύοντας, τὸ ἓν λόγῳ εἶναι τοὺς τέσσαρας, σωζομένης μόνον τῆς τοῦ προεστῶτος προτιμήσεως. Ὡσαύτως λέγω, ἵνα μηδὲν ἔχῃ τις τῶν τοιούτων ἄδειαν ἀκουμβίζειν τὸ τοιοῦτον μονύδριον πρός τινα ἄλλου γένους, εἰ μὴ μόνον πρὸς Τραπεζούντιον, γονικὸν ὄν, ὡς ἀνωτέρω δεδή-

λωται, τῆς Τραπεζουντίας ἐκείνης δεσποίνης κυρᾶς Ἄννης, σωζομένου τοῦ μνημοσύνου τοῦ κατὰ καιρὸν πατριαρχεύοντος τοῦ θρόνου τῶν Ἱεροσολύμων. Ἐπίτροπον δὲ ἀφίημι εἰς τὸ μονύδριον καὶ — — — — τοὺς ἀγαπητούς μου υἱούς, τὸν κατὰ καιρὸν ἡγουμενεύοντα τῆς σεβασμίας μονῆς τῶν Ἰβήρων, τῆς ἐπονομαζομένης τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ.

Ταῦτα διατίθεμαι περὶ τῶν ἐμῶν. καὶ ὁ βουληθεὶς ἀνατρέψαι τὸ τοιοῦτον ἐνδιαθηκῶον διάταγμα, νὰ ἔχῃ τὰς ἀρὰς τῶν τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων πατέρων τῶν ἐν Νικαια. Τούτου χάριν ἐγένετο ἡ παροῦσα ἐνδιαθήκως διατύπωσις καὶ διάταξις, καὶ ἐδόθη τοῖς διαληφθεῖσιν ἀγαπητοῖς μου υἱοῖς δι' ἀσφάλειαν καὶ [βεβαίωσιν] αὐτῶν.

Ἐν μηνὶ νοεμβρίου ιη', ἰνδικτιῶνος ιβ[ης].

† Ὁ δοῦλος τοῦ ἁγίου καὶ κραταιοῦ αὐθέντου καὶ βασιλέως, ὁ καὶ ἀποκρισάριος, παρὼν ἐπὶ τῇ διαθήκῃ ταύτῃ καὶ στηρίξας καὶ βεβαιώσας αὐτὴν ὑπογράφω Ἰωάννης Δούκας Τριχᾶς ὁ λογοθέτης τῶν οἰκιακῶν.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθεντὸς καὶ βασιλέως Γεώργιος Δούκας Μανιάτης ὁ Κουρτίκας.

† Ἀρσένιος ἐλέῳ Θεοῦ πατριάρχης Ἱεροσολύμων.

† Ὁ ταπεινὸς μητροπολίτης Βασὰν Γερμανός.

† Ὁ ταπεινὸς ἁμαρτωλὸς Μᾶτος Γάζης καὶ ὑπέρτιμος.

† Ὁ ταπεινὸς ἐπίσκοπος Βηθλεὲμ Ἠλίας.

III.

ΑΝΑΘΗΜΑ ΦΙΛΙΠΠΟΥ ΦΛΑΤΡΟΥ

τοῦ Κυπρίου

εἰς τὸν ἐν Ἱεροσολύμοις ναὸν τῆς ἁγίας Ἀναστάσεως ἔτει 1523.

(Cod. Sabb. 496, f. 2 - 3).

Ἀρχὴ σὺν Θεῷ κώνδικας τοῦ ἁγίου καὶ ζωοδόχου Τάφου.

Ἐν ἔτει ,ζνβ΄ ἰνδικτιῶνος β΄, μὴν δεκέμβριος κδ΄ (1543), Γερμανοῦ πατριαρχεύοντος ἐν τῇ ἁγίᾳ πόλιν Ἱερουσαλήμ, γράφεται τὸ κώνδ(ικον) αὐτὸ εἰς ἀνάμνησιν πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν.

Οὕτη ἡ διατύπωσις τοῦ μακαρ(ιστ)οῦ Φιλίππου Φλάτρου ὑπάρχει ἐκ τῆς περιφήμου Κύπρος διὰ τὸ χωρίον ὀνόματι Ταλά, ὅπερ ἀφιέρωσεν διὰ ψυχικὴν σωτηρίαν εἰς τὸν ἅγιον καὶ ζωοδόχον Τάφον τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ αὐτὸ τὸ πραστίον ὑπάρχει ἀναμέσον Παφουπόλεως ὀνόματι καὶ τοῦ μοναστηρίου Ἐγκλείστρας, ἤγουν ἄνωθεν χωρίον ἡ Τάλα μὲ τ' ὄνομα, καὶ διὰ τοῦτο γράφομεν καὶ τὴν διάταξιν αὐτὴν τοῦ ποτὲ μακαρ(ιστ)οῦ, τοῦ ἄνωθεν Φιλίππου Φλάτρου εἰς τὸν κώνδικαν αὐτόν· καὶ οὕτως λέγει αὕτη ἡ διαθήκη· θανόντος ὑπέγραψε ὁ αὐτὸς Φίλιππος.—Ἐκ πόλεως Λευκωσίας.

Ἡ κόπια τῆς διάταξης.

Ἐν ὀνόματι τοῦ Κυρίου· ἀμήν. Τὴν σήμερον τῇ ε΄ μαΐου μηνός, τὴν ἐνχρονίαν τοῦ Χριστοῦ ,αφκγ΄, ἡμέρα γ΄, ἔμπροσθεν ἐμοῦ τοῦ πούπλικου νοταρίου καὶ μαρτύρων τῶν κάτωθεν ὑπογεγραμμένων, τῶν ἐπὶ τούτῳ ἰδικῶς κληθέντων καὶ παρακληθέντων, ὁ τρισεντιμότατος καὶ εὐγενὴς ἄρχων ὁ μησὲρ Φίλιππος Φλάτρος, υἱὸς τοῦ μακαρίτου μησὲρ Λογίζου Φλάτρου, κειτόμενος ἐν τῇ κλίνῃ αὐτοῦ, ἀσθενὴς τῷ σώματι, ἔχοντα [sic] τὸν

1 κόνδικας. — 2 ἐνέτη. — 3 πόλην || κώνδικον] κον αὐτω. 5 Οὕτοι ἡ διάτύπωσις || περιφύμ(ου).—6 κύπρος sic.—7 ουτω. — 8 παὔμφουπόλεως || μοναστιρίου ἐγκλήστρας· ἤγουν.—9 ὄνομα || γράψωμεν. — 10 κόνδικαν.— 11 διαθείκη || ὑπέγραψαι.—16 κάτοθεν.—17 τῶν] τοῦ.—18 τρεισεντιμώτατος καὶ εὐγενεῖς.— 20 κειτόμενος ἐν τῇ κλήν(ῃ).

νοῦν ἀθόλωτον καὶ τὰς φρένας αὐτοῦ σώας καὶ τὴν γλῶτταν λαλοῦσαν, φοβούμενος τὸ τοῦ Θεοῦ ἄωρον μυστήριον, μήπως ἐξαίφνους ἁρπάσῃ αὐτὸν καὶ εὑρεθῇ ἀδιάθετος καὶ ζημιωθήσεται ἡ ψυχὴ σὺν τῷ σώματι· λοιπὸν καὶ οὗτος ὁ ἔντιμος ἄρχων ἠθέλησε τοῦ διατάξαι τὰ ἑαυτοῦ ἀγαθά, ἃ ὁ Θεὸς ἐδωρήσατο, οὐκ ἔκ τινος βίας ἢ ἑτέρας τινὸς ῥαδιουργίας, ἀλλ' ἐξ οἰκείας αὐτοθελήσεως καὶ προαιρέσεως ἐξεῖπεν οὕτως· Ἀνακράζω καὶ στζακίζω καὶ ἀθετῶ ἕως τοῦ νῦν πᾶσαν ἄλλην μου διαθήκην μυστικὴν τὴν ἐποίησα τὴν ἐνχρονία(ν) τοῦ Χριστοῦ ,αφις', τῇ ιθ' φεβρουαρίου μηνός. Βούλομαι μετὰ τὸν παρόντα νοτάριον γραμμένη. Θέλω καὶ αὐτὴ νὰ ἕναι νοῦλα καὶ οὐδέ(ν), καὶ πᾶσα(ν) ἄλλην διαθήκην καὶ κωδίκελλον τὴν ἐποίησα ἕως τοῦ νῦν, νὰ ἕναι ὅλα ἀπόλογα, ὡς λόγον νοῦλα καὶ ἀνωφελούς· καὶ ἡ αὐτή μου διαθήκη τὴν ποιῶ τὴν αὐτὴν ὥραν, θέλω νὰ ἕναι στερεωμένη· καὶ τοῦτο ἕναι τὸ ὕστερόν μου θέλημα· καὶ μετὰ τὴν ἀποβίωσίν μου μὴ ποιόντα(ς) μου ἄλλην διαθήκην, ἡ αὐτὴ θέλω νὰ ἕναι στερεωμένη καὶ ἀξαζόμενη καὶ βεβαία καὶ ἀπαρασάλευτη ἐν παντὶ τόπω καὶ κριτηρίω, εἰς ἐκκλησιαστικὸν καὶ πολιτικόν. Πρῶτον πάντοτε ποιόντα(ς) ὁ ἐπουράνιος Θεὸς τὸ ἅγιον αὐτοῦ θέλημα εἰς ἐμέ, καὶ δώσω τὸ ἀνθρώπινον χρέος, τὴν ἐμὴν ψυχὴν παραδίδω εἰς τὴν ἀνείκαστον αὐτοῦ ἐλεημοσύνην. Τὸ χωρίον μου, τὴν Τάλα, εἰς τὴν ἐνορίαν τῆς Πάνμφου, καθὼς καὶ εἰς τὸ αὐτὸ χωρίον ἔχω πογέρι, πουλήσω το χαρίσω το, καθὼς ἔχω τὸ προβλίτζιν του· λοιπὸν μετὰ τὴν ἀποβίωσίν μου θέλω νὰ τὸ ἔχῃ ὁ υἱός μου ὁ Λογίζος· καὶ μὴ ἔχοντα(ς) ὁ αὐτός μου υἱὸς ὁ Λογίζος γνήσι(ον) παιδ(ίον), μετὰ τὴν ἀποβίωσίν του νὰ κατιβαίνῃ μοναύτα τὸ αὐτὸ χωρίον, ἡ Τάλα, εἰς

1 φραίνας || γλώταν. — 2 τὸν τοῦ θ. ἄορον μηστηρον μ. ἐξ' ἔφνους. — 3 ἁρ. πάσι. — 5 οὐκ' ἐκτοινός. — 6 βείας, ἢ ἀ. ἢ || ἐξηκείας. — 7 ἐξ' ειπεν || ἀθετὸ. — 8 διάθειαην, μυστηκην. — 11 ἕναι || διάθειαην || κοκελῶ. — 12 ἕναι ὅλλα ἀ—λο, ὁς. — 13 ἀνοφελούς || διάθειακη τὴν πιώ. — 14 ἕναι τὸ εἴστερον. — 17 βαιβέα || κριτιρίω. — 18 πάντω τ πιόντα. — 19 δόσσω. — 20 ἀνίκαστον. — 21 πἄνμφου. — 22 αὐτῶ || ἔχω πογερην, πουλόσσω τὸ χαρησω καθῶς ἔχο τὸ προβλήτζην. — 26 μοναῦτα.

τὰ Ἱεροσόλυμα, εἰς τὸν Ἅγιον Τάφον τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, εἰς τὸν ὄρδινον τῶν Ρωμαίων, νὰ ξοδιάζωνται τὰ εισοδήματα τοῦ αὐτοῦ χωρίου εἰς δόξαν τοῦ παναγάθου Θεοῦ ἡμῶν μὲ τὰ ἄνωθεν πληρώματα· ποῖός μου υἱός, ὁ Λογίζος, νὰ τον ἔχῃ τὴν Τάλα μὲ ὅλες της τὲς ἰουριδιστζίους καὶ ἀπαρτινάδες—χωρίον, νερά, νομὲς καὶ ὡραία πλατεῖα — ὡς καθὼς τὸ εἶχα καὶ καθὼς τὸ ἐκράτουν, μὲ πᾶσον δικαίωμα· ὁ ποῖος υἱός μου, ὁ Φλόριος, ὁμοίως καὶ ὁ ἄνωθέν μου υἱὸς ὁ Λογίζος, νὰ μὴν ἔχουν ποτὲ παγέριν οὐδὲ λιπερτάδαν καμμίαν ἀφορμὴν ἢ νὰ πουλήσουν ἢ νὰ χαρίσουν ἢ νὰ φυτιάσουν, ἢ εἰς καμμίαν λόγον νὰ δώσουν ἀπὸ τὰ αὐτὰ ἱποστατικὰ ἢ ὅλα ἢ μερτικόν, τοὺς σκλάβους μου, τον Δούκα τοῦ Μαστὶ ἀπὸ τὴν Βάσαν, τὸν ποῖον ἔχω ἀγορὰ ἀπὸ τὸν μακαριώτατον τὸν μισὲρ Τζουὰν Δεραμοραίαν εἰς τὴν ἐξουσίαν μου, καθὼς μὲ τὸ προβλίτζιν τῆς ἀγορᾶς του φαίνετι. Τὸν κόπελόν μου, τὸν ἔχω εἰς τὸ σπίτι μου ὠνοματισμένον Καρτζαρά, τὸν ποῖον ἐκραξάνσι ὄνομα ἴδιον Φίλιππον Τζόρζι Νικόλαον Βρεμένου ἀπὸ τὴν Στεφάν(ην), θέλω διχῶς καμμίαν διαφορὰν νὰ πηγένῃ ἐλεύθερος, παντολεύθερος, τέκνα τέκνων αὐτοῦ, ὡς ἐκ φύσεως γεγεννημένος ἐλεύθερος· καὶ διατὶ ἕναι ἀπὸ τὸ φέουδον μου, θέλω ὅτι νὰ δοθῇ καὶ νὰ μπαίνῃ εἰς τὸν τόπον του ἕνας ἄλλος μου σκλάβος ὀνόματι Φλούρης, υἱὸς τοῦ Δούκα τοῦ Μαστί· τὸν ποῖον Δούκαν ἔχω ἀγοράν, καθὼς προείρηκα, ἀπὸ τὸν μακαρίτην τὸν μησὲρ Τζουὰν Δελαμωραίαν. Ἀκόμη ὁ υἱός μου ὁ Φλόριος θέλω ὅτι νὰ ἔχῃ ἀπὸ τὰ παιδία τοῦ Δούκα, τοῦ αὐτοῦ μου σκλάβου τοῦ προγεγραμμένου,

2 ναξωδιάζονται. — 4 πίος. — 5 με ὅλλαις της ταὶς. — 6 νομαῖς. — 7 μεπᾶσον sic.—8 ὁπίως. — 9 πογέριν οὐδιλιπερ δὰν καμίαν. — 10 πουλόσσουν || ἰναφφυτηάσουν.—11 ποστατοικά, ἢ ὅλλα ἢ.—12 τοὺσκλάβους || τουμαστί.—13 πίον ἔχο ἀγωρᾶ.—14 προβλίτζην. — 15 ἀγωράς τ(ου)· φένετι || ἔχο. — 16 ονοματισμένον || πίον || ἐκραξάνσοι. — 18 διχῶς = δίχως, δίχα || καμίαν διαφορᾶν ναπηγένει || παντολεύθερος sic. - 20 διὰ τὴ ἔναι || ναδωθεῖ καὶ ναμπε(νῃ). — 27 δοῦκατουμαστί, τὸν πίον δουκᾶν ἔχο. — 23 πρωείρικα || μυσερτζουάν.—25 τοῦ αὐτόν μου || πρωγεγραμμένου.

τοῦ Δούκα Μαστί, ἕναν κοπέλ(ι) καὶ μίαν κοπέλ(αν) νὰ τοῦ δουλεύγουν καλὰ καὶ δίκαια καὶ εἰς τοὺς ὁρισμούς του.

Ἐγράφη ἐν μηνὶ καὶ ἐν χρονία ἄνωθεν, ἴνμπροσθεν τοὺς κάτω μαρτύρων: καὶ

† ὁ Νικ(ό)λ(αος) Μύβρο, πούπλικος νοτάριος ἄνωθεν γράψας κάτωθεν μαρτυρῶ(ν) ὑπέγραψα.

1 δουκαμαστί, ἕναν

IV.

ΓΕΡΜΑΝΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ

ἐγκύκλιος ὑπὲρ τοῦ παναγίου Τάφου (ἔτει 1569), ἐκ τοῦ πρωτοτύπου ἀντιγραφεῖσα [1].

IC	XC
NI	KA

† Γερμανὸς ἐλέῳ Θεοῦ πατριάρχης τῆς ἁγίας πόλεως Ἱεροσολύμων.

Οἱ ἁπανταχοῦ ὄντες πανιερώτατοι μητροπολῖται καὶ ὑπέρτιμοι, καὶ θεοφιλέστατοι ἐπίσκοποι, οἱ ἐν ἁγίῳ πνεύματι ἀγαπητοὶ ἀδελφοὶ καὶ συλλειτουργοὶ τῆς ἡμῶν μετριότητος, καὶ ἐντιμότατοι καὶ εὐλαβέστατοι κληρικοί τε καὶ ἱερεῖς καὶ ὅσοι τοῦ ἱεροῦ καταλόγου ὄντες, τιμιώτατοι καὶ εὐγενέστατοι ἄρχοντες καὶ ἅπαντες οἱ εὐσεβεῖς χριστιανοί, ὁσιώτατοι καὶ χρησιμώτατοι καθηγούμενοι, ἱερομόναχοι τε καὶ μοναχοὶ καὶ ἅπας ὁ τοῦ Κυρίου χριστώνυμος λαός, υἱοὶ κατὰ πνεῦμα τῆς ἡμῶν ματριότητος, χάρις ἔλεος εἰρήνη καὶ εὐλογία εἴη ὑμῖν ἅπασι παρὰ Θεοῦ παντοκράτορος καὶ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ παρὰ τοῦ παναγίου αὐτοῦ καὶ ζωοδόχου Τάφου καὶ παρὰ τῆς ἡμῶν μετριότητος εὐχὴν καὶ εὐλογίαν, ὑγείαν καὶ σωτηρίαν, ῥῶσιν ψυχῆς τε καὶ σώματος, νίκην κατ' ἐχθρῶν ὁρατῶν τε καὶ ἀοράτων, πᾶν ἄλλο τι ἂν ἀγαθὸν καὶ σωτήριον ἐπεύχεται ἡ ἐμὴ μετριότης (εἰς) πάντας ὑμᾶς, καὶ ἱκετεύομεν τὸν σωτῆρα Χριστὸν καὶ Θεὸν ἡμῶν

1 Κεῖται δὲ τοῦτο ἐν τοῖς ἀρχείοις τοῦ ἐν Ἱεροσολύμοις πατριαρχείου, φύλλον ὂν ἐκ μεμβράνης ἕν, μήκους μὲν 0,595, πλάτους δὲ 0,45.

διὰ τῆς χάριτος τε καὶ βοηθείας τοῦ θείου καὶ ζωοδόχου αὐτοῦ Τάφου σκέπειν καὶ φυλάττειν ὑμᾶς εἰς ἐτῶν πολλῶν περιόδους ἐν ὑγείᾳ καὶ χαρᾷ καὶ ἀτρώτους καὶ ἀβλαβεῖς ἀπὸ παντὸς ἐναντίου παραπτώματος.

Γινώσκετε οὖν, εὐλαβέστατοι καὶ ὀρθοδοξότατοι χριστιανοί, τὰς ἀμέτρους καὶ ἀνυπομονήτους κακώσεις καὶ τοὺς πειρασμοὺς καὶ κινδύνους καὶ ἀμετρήτους ἐξόδους καὶ ὅσα πάσχομεν καὶ ὑποφέρομεν τὴν καθ' ἡμέραν καὶ ὥραν ὑπὸ τῶν τῆς ἁγίας ἐκκλησίας ἐχθρῶν, τῶν ἔξωθεν κρατούντων ἡμᾶς, καὶ οὐδὲ μίαν ἀνακωχὴν ἢ συμπάθειαν εὑρίσκομεν ποθέν, ἀλλὰ καὶ αὐτὸν τὸν ἄρτον μετὰ δακρύων πολλῶν καὶ οἰμωγῆς ἐσθίομεν πολλάκις—Κύριος οἶδε—καὶ οὐκ ἔχομεν ποῦ ἀλλαχόθι ἐκφυγεῖν, εἰ μὴ πρὸς ὑμᾶς τοὺς εὐσεβεῖς καὶ ἐλεήμονας καὶ φιλοθέους καὶ χριστομιμήτους καὶ εὐεργέτας· ὅτι οὐδὲ εἰς αὐτὸν τὸν θεῖον καὶ ἱερώτατον ναὸν τὸν θεοβάδιστον δυνάμεθα εἰσελθεῖν, εἰ μὴ μετὰ πολλῶν κόπων καὶ ἐξόδων χλευασμένοι καὶ ὑβρισμένοι· πολλάκις καὶ τυπτομένους ἔλκουσιν ἡμᾶς ἄκοντας ἔξωθεν. Καὶ τίς μὴ θρηνήσῃ ὁρῶν τοιαῦτα καὶ τὰ τοιαῦτα; Κύριος γινώσκει, ὅτι, εἰ δυνατὸν ὑπῆρχε, καὶ τὰ ἱμάτια ἡμῶν ἐξέδυναν, εἰ μὴ Θεὸς βοηθὸς ἡμῖν (οὐκ ἦν).

Ἕνεκεν τούτων πέμπω τὸν ἡμέτερον ἐν ἱερομονάχοις καὶ ὁσιώτατον παπᾶ κῦρ Μακάριον καὶ πνευματικόν, καὶ τὸν ἐν μοναχοῖς κῦρ Θεοδόσιον, ὡς πιστὰ τέκνα ἡμῶν καὶ ἐξάρχους καὶ δούλους τοῦ Ἁγίου Τάφου, πρὸς τὴν ὑμετέραν ἀγάπην καὶ βοήθειαν καὶ ἐλεημοσύνην ἡμῶν καὶ ἀνοικοδομὴν τοῦ ἁγίου καὶ θεοβαδίστου ναοῦ. Δεξιωθῆτε οὖν αὐτοὺς ἀσμένως ἅπαντες ὡς τὸ ἡμέτερον πρόσωπον, ὅτι ἡ τιμὴ τῆς εἰκόνος, ὡς φησιν, ἐπὶ τὸ πρωτότυπον ἐπανάγεται καὶ ἐξ αὐτοῦ εἰς Θεόν· συνδράμετε δὲ αὐτοὺς καὶ βοηθήσατε ὡς ἡμετέρους καὶ καθολικοὺς ἐξάρχους τῆς ἡμῶν μετριότητος καὶ ἐπιτρόπους τοῦ ἁγίου καὶ ζωοδόχου Τάφου καὶ ἐλεήσατε, ἵνα ἐλεηθῆτε κατὰ τοῦ προφήτου [sic], ὅτι "ἔλεον θέλω καὶ οὐ θυ-

4 παραπτώματος. — 5 γινώσκεται. — 6 κακώσεις. — 8 καθὴν sic. — 10 ανακοχὴν. — 11 ἡμογῆς. 16 χλεβασμένοι sic. — 17 ἔλκουσιν. — 18 ὁρῶν. — 22 πιστὰ] μιστὰ. — 24 λέξεις διαγεγραμμέναι. — 25 δεξιωθεῖτε. — 28 λέξεις διαγεγραμμέναι.

σίαν", καὶ ἀπόδοτε, ἵνα ἀνταποδώσῃ Κύριος τὸ ἀνταπόδομα ὑμῶν ἐν [τῷ παρόντι καὶ ἐν τῷ] μέλλοντι αἰῶνι. Οὑ[τ]ω τὴν ἡμέραν ἐλεεῖ καὶ δανείζει ὁ δίκαιος καὶ τὸ σπέρμα αὐτοῦ εἰς εὐλογίαν ἔσται", ἵνα καὶ τὸ "δεῦτε" καὶ τὰ ἑξῆς. Διὸ ἐλε[ήσατε ἡμᾶς — — — — — — — — — καὶ] τὸν θεοβάδιστ[ον ναὸν αὐτοῦ· ἐν τούτῳ γὰρ τῷ] οἴκῳ καὶ θείῳ ναῷ ἐσταυρώθη, ἐν αὐτῷ ἐτάφη καὶ ἐν αὐτῷ ἐ[κ νεκρῶν ἀνέστη. Ἐνταῦθα ἐβαπτ]ίσ[θη], κατέβη ὁ [Κύριος ἡμῶν καὶ περιεπά]τησεν, ἡ ἐν Βηθλεὲμ γέννησις, ἡ ἐν τῷ Ἰορδάνῃ βάπτισις, ἡ ἐν τῷ [Θαβωρίῳ ὄρει μετα]μόρφωσις, [ἡ ἐν Βηθανίᾳ τ]οῦ Λαζάρου ἔγερσις καὶ ἡ ἐν τῷ ὄρει τῶν Ἐλαιῶν, ἡ ἀνάληψις. Ἐνταῦθα καὶ ἡ ἐπιφοίτησις τοῦ ἁγίου πνεύματος. ἐνταῦθα ἡ μέλλουσα γενέσθαι κρίσις δικαίων καὶ ἀδίκων, κατὰ τὸ ἀψευδὲς καὶ θεῖον λόγιον, ὅτι "ἐπὶ οἶκον Δαυὶδ φόβος μέγας". Ἀπόδοτε οὖν καὶ βοηθήσατε καὶ ἐλεήσατε ἡμᾶς, ἵνα ἔστε εὐλογημένοι παρὰ Θεοῦ παντοκράτορος, ἔχετε δὲ καὶ ἐκ Θεοῦ τὸν οὐράνιον μισθὸν καὶ ἐξ ἡμῶν τὸ διηνεκὲς μνημόσυνον, εἴ τι ἂν ὠδηγηθῆτε ἐκ Θεοῦ, ὁ μὲν πολύ, ὁ δὲ ὀλίγον, ἕκαστος κατὰ τὴν ἰδίαν αὐτοῦ προαίρεσίν τε καὶ δύναμιν, ἵνα καὶ ἡμεῖς λάβωμεν τινα βοήθειαν καὶ ἀναψυχὴν τῶν πολλῶν καὶ ἀμέτρων ἡμῶν πειρασμῶν καὶ ὁ θεῖος καὶ θεοβάδιστος ναός. Ναὶ οὕτως ποιήσατε παρακαλῶ καὶ ἱκετεύω τὴν ὑμετέραν ἀγάπην, τέκνα ἐν Χριστῷ ἀγαπητά, ἅμα ἡ βοήθεια καὶ τὸ ἄπειρον ἔλεος τοῦ Θεοῦ καὶ ἡ χάρις καὶ σωτηρία τοῦ θεοβαδίστου καὶ ζωοδόχου Τάφου καὶ ἡ εὐχὴ καὶ εὐλογία τῆς ἡμῶν μετριότητος ἔσται μετὰ πάντων ὑμῶν· ἀμήν.

Τοῦ ἐπακισχιλιοστοῦ ἑβδομηκοστοῦ ὀγδόου ἔτους, ἰνδικτιῶνος δεκάτης τρίτης, σεπτεμβρίῳ μην(ὶ) πρώτῃ.

† Γερμανὸς ἐλέῳ Θεοῦ πατριάρχης τῆς ἁγίας πόλεως Ἱεροσολύμων.

1 ανταπόδωμα. —3 δανίζει. —11 επιφίτησις. —14 βοηθησεται | ἔσται.

V.

ΠΡΑΞΙΣ ΤΟΠΙΚΗΣ ΣΥΝΟΔΟΥ

διὰ τὸ κοινόβιον τῶν Σιναϊτῶν, ἀθροισθείσης ἐν Καίρῳ

ἔτει 1557-ῳ, προεδρεύοντος, ὡς ἔοικε, τοῦ πατριάρχου

ΓΕΡΜΑΝΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ.

Τὸ ἴσον καὶ ὅμοιον τοῦ συνοδικοῦ διὰ τὸ κοινόβιον τῶν Σιναϊτῶν [1].

† Ἐπειδὴ ἔγωγε Γερμανός, ἐλέῳ Θεοῦ πατριάρχης Ἱεροσολύμων, ἀκήκοα τὰ εἰς τὸ ἅγιον μοναστήριον τοῦ θεοβαδίστου ὄρους Σινᾶ γενόμενα σκάνδαλα παρὰ τοῦ τότε ἐπισκοπεύοντος κῦρ Μακαρίου, καὶ οὐ μόνον τὰ παρ' αὐτοῦ, ἀλλὰ καὶ τῶν σὺν αὐτῷ, εἴτε ἱερομονάχων καὶ μοναχῶν, ἐπροσκαλεσάμην τὸν πατριάρχην τῆς μεγάλης Θεουπόλεως Ἀντιοχείας, ὡς ἀδελφὸν καὶ συλλειτουργὸν τῆς ἡμῶν μετριότητος, κῦρ Ἰωακείμ, ὃς καὶ ἐλθὼν εἰς Ἱεροσόλυμα κἀκεῖ κοινὴν βουλὴν πεποιήκαμεν μετὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου κῦρ Γερμανοῦ, καὶ ἐκατέβημεν εἰς Αἴγυπτον· κἀκεῖ πάλιν ἐνωθέντες μὲ τὸν ἁγιώτατον πάπαν καὶ πατριάρχην Ἀλεξανδρείας καὶ πάσης Αἰγύπτου κῦρ Ἰωακείμ, ἤλθομεν εἰς τὸ τῶν Σιναϊτῶν μετόχιον· ὅθεν καὶ εὑρόντες αὐτούς, τούς τε ἱερομονάχους καὶ μοναχούς, ὡς πρόβατα μὴ ἔχοντα ποιμένα, ἐπεσκεψάμεθα αὐτοὺς ὡς θέμις καὶ οἷα ὀφειλέται τυγχάνοντες, κατὰ τὸν θεσπέσιον Παῦλον, χρέος εὐτελὲς ἔχοντες περὶ πάντων κήδεσθαι

[1] Ἐκ τοῦ συνοδικοῦ κώδικος τοῦ ἐν Ἱεροσολύμοις πατριαρχείου, ἐν ᾧ τὰ περὶ τῆς ἐπισκοπῆς τοῦ Σινᾶ κεῖται πατριαρχικὰ γράμματα· ὁ δὲ κῶδιξ οὗτος ἐπιγράφεται ὧδε· «Συλλογὴ διαφόρων ἐγγράφων καὶ κώδηξ τῶν ἱερῶν ὑπομνημάτων», σελ. 1-2.

τῶν τῇ ἐκκλησίᾳ ἐπερχομένων καὶ τελουμένων ἀθέσμων. Ἔνθεν τὸ ἐφικτὸν τῆς δυνάμεως ἡμῶν, ὡς οἷόν τε ἦν, ἐπ' αὐτοὺς γνωρίσαντες εἰς τὸ διαλύσασθαι ἡμᾶς πᾶν εἴ τι σκανδαλῶδες πολιτευόμενον ἔθισμα, ἅτε ἀπαρέσκον Θεῷ καὶ ἀνθρώποις, καὶ κανονικά πως ἀνατρέψαι καὶ διαστεῖλαι καὶ πρὸς εἰρηναίαν κατάστασιν καὶ εὐαρμοστίαν ῥυθμήσασθαι αὐτούς. Ταύτης τῆς ὑποθέσεως ἕνεκεν, κατὰ τὴν κάτωθεν γεγραμμένην ἡμέραν ἐσυνήχθημεν κατ' ἀμφοῖν ἐπὶ τὸ αὐτὸ ὅ τε ἁγιώτατος κῦρ Ἰωακεὶμ Ἀλεξανδρείας καὶ ὁ ἕτερος κῦρ Ἰωακεὶμ Ἀντιοχείας σὺν τῇ ἡμῶν μετριότητι καὶ τῷ διαληφθέντι ἐπισκόπῳ κῦρ Γερμανῷ τῷ ἐκ τῆς τοῦ ἁγίου Σάββα λαύρας, ἅμα τε τοῖς ὁσιωτάτοις ἱερομονάχοις καὶ μοναχοῖς τοῦ ῥηθέντος μετοχίου τοῦ ἁγίου ὄρους Σινᾶ, συμπαρατυγχάνοντος καὶ τοῦ αὐτῶν ἐπισκόπου κῦρ Μακαρίου, κοινὴν βουλὴν ποιησάμενοι ἅπαντες ἀνατρέψαμεν τὸ αὐτῶν ἅγιον μοναστήριον ἀπὸ ἰδιορρύθμου εἰς κοινοβιακὴν κατάστασιν, καθὼς καὶ πάλαι ποτὲ ὑπῆρχε, ὥστε νὰ διάγουν εὐστάθμως καὶ εὐρύθμως, ὡς καὶ τὰ ἐξῆς τῶν ὀρθοδόξων κοινόβια· καὶ εἰς αὐτὸ τοῦτο ἐκαταστήσαμεν καὶ γέροντας κατὰ τὴν τάξιν, τὸν ἀριθμὸν ιβ', καὶ οἰκονόμους ἔσωθεν τῆς ἁγίας μονῆς καὶ ἔξωθεν εἰς τὰ μετόχια. Διὸ καὶ ὀφείλουσιν οὐ μόνον αὐτοί, ἀλλὰ καὶ οἱ μετ' αὐτοὺς ἐν Χριστῷ ἀδελφοί, ὑπηρετεῖν ὁμογνωμόνως καὶ διοικεῖν ἅπαντα τὰ τοῦ μοναστηρίου κινητὰ καὶ ἀκίνητα πράγματα μετὰ φόβου Θεοῦ καὶ γνησιότητος· τὸν δὲ ἐπίσκοπον κῦρ Μακάριον, ἐξόριστον ὄντα, ἐποιήσαμεν εἰς αὐτὸν εὐγνωμοσύνην καὶ ἔλεος, ὡς παρακληθέντες παρὰ πάντων τῶν ἀδελφῶν, καὶ ἀπεφήναμεν ὅπως εὑρίσκηται ἐντὸς τοῦ ἁγίου μοναστηρίου· διὸ δὴ καὶ αὐτὸς ὑπεσχέθη, ὡς καὶ εἰς τὴν τούτου χειροτονίαν, ἐκ δευτέρου, ὅπως ἔνι ἔσω τοῦ μοναστηρίου μετὰ τοὺς ἰδίους γέροντας, πλὴν νὰ μὴν ἔχῃ ἐξουσίαν κρατεῖν τι πρᾶγμα τῆς μονῆς, μόνον νὰ κοινοβιάζῃ ὡς καὶ τοὺς λοιπούς, πάρεξ τὴν βούλλαν καὶ ὅταν κάμνει χρεία νὰ χειροτονῇ κατὰ τὴν ὁμολογίαν του ἱερεῖς καὶ διακόνους. Λοιπὸν ἀπὸ τὴν σήμερον θέλομεν καὶ ὁρίζομεν ἅπαντες οἱ ἐν τῇ συνόδῳ συναθροισθέντες, ἔχοντες καὶ τὴν ἰδίαν βουλὴν τοῦ αὐτοῦ ἐπισκόπου κῦρ Μακαρίου, ὅτι νὰ ἐπισκο-

πεύῃ τὸ ῥηθὲν ἅγιον φροντιστήριον, ὡς καὶ τὸ πρότερον, διά τινα σύστασιν καὶ καταρτισμὸν τῶν ἐκεῖσε ἀδελφῶν. Εἰ δὲ καὶ συγχύσεις αὖθις ἐξεγείρει, ὡς καὶ προτοῦ, κἂν αὐτὸς κἂν οἱ μετ' αὐτὸν διάδοχοι ἐπίσκοποι, μετὰ τοῦ νῦν Ἀλεξανδρείας πατριάρχου κυρ Ἰωακείμ, ἢ τῶν μετ' αὐτὸν διαδόχων πατριαρχῶν, εἰς συγχύσεις καὶ πάρταις μετὰ τοῦ αὐτοῦ πατριάρχου, καὶ ἁπαξαπλῶς κἂν ἐπίσκοπος κἂν ἡγούμενος, ἢ ἱερομόναχος ἢ γέροντας, ἤ τις ἄλλος τῶν ἀδελφῶν μικρὸς ἢ μέγας, ἔστωσαν εἰς βάρος ἀλύτου ἀφορισμοῦ καὶ μετὰ θάνατον τυμπανιαῖοι· ἐχέτωσαν ἐξουσίαν οἱ γέροντες νὰ ἐγκαλοῦν αὐτὸν πρὸς ἡμᾶς· εἰ δὲ τύχῃ ἕτερός τις ἐξ αὐτῶν, ἐκ τοὺς γέροντας, σκανδαλοποιός, ἐχέτωσαν ὁμοῦ ἐξουσίαν ὅ τε ἐπίσκοπος καὶ οἱ λοιποὶ γέροντες στερίσκειν αὐτὸν τῆς ἀξίας καὶ ἕτερον ἀντ' αὐτοῦ θέτειν. Ἔτι δὲ ὁρίζομεν, ἵνα ἔσονται ἐνθάδε, ἐν τῇ Αἰγύπτῳ, μετὰ καὶ ἄλλους ἀδελφοὺς τρεῖς γέροντες πάντοτε· καὶ οἱ μὲν δύο νὰ κρατοῦσι κλειδία, ὁ δὲ ἄλλος τὴν βούλλαν, μὴ ὑπάρχοντος ἐνταῦθα δηλονότι τοῦ ἀρχιεπισκόπου, καὶ νὰ θεωροῦν τὴν οἱανοῦν εἴσοδον καὶ ἔξοδον τοῦ μοναστηρίου ὡς πιστοὶ οἰκοκυροί, μετὰ φόβου Θεοῦ, ἀνεπιβουλεύτως. Εἴδομεν δὲ καὶ τὰ εἴ τι ἄρα σκεύη τοῦ μετοχίου, ἃ καὶ παρεδώκαμεν εἰς τὰς αὐτῶν χεῖρας ἐγγράφως· καὶ ἐξ αὐτῶν τῶν τριῶν γερόντων μηδεὶς ἐχέτω ἄδειαν τινὰ ποιῆσαί τι ἄνευ βουλεύσεως τοῦ ἐπισκόπου, ὡσαύτως μήτε ὁ ἐπίσκοπος δίχα τῶν γερόντων· καὶ τὴν ἔξοδον ὁποῦ νὰ ποιῇ ὁ οἰκονόμος τοῦ μετοχίου τῆς Αἰγύπτου μετὰ τῶν λοιπῶν γερόντων, νὰ ἠμπορῇ νὰ δίδῃ λογαριασμὸν κατὰ τρεῖς μῆνας τοῦ ἐπισκόπου καὶ τῶν ἐξῆς γερόντων· τὰ αὐτὰ ποιήτωσαν καὶ οἱ ἐν τῷ μοναστηρίῳ εὑρισκόμενοι γέροντες.

Εἰ δέ τις ἤθελεν ἀντιρρήσας τὰ ἄνωθεν παρ' ἡμῶν θεσμοθετηθέντα, ἢ ἐπίσκοπος ἢ ἱερομόναχος ἢ μοναχὸς ἀπὸ τῶν ἐντὸς τοῦ μοναστηρίου καὶ τῶν ἐκτός, τὴν παρὰ Θεοῦ ἔνδικον ἀγανάκτησιν καὶ ὀργὴν λάβοιτο, τήν τε ἀρὰν τῶν τιμ' θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ κληρώσαιτο καὶ ἐπὶ τῷ τῶν ἡμῶν μετριοτήτων ἀφορισμῷ ἀλύτῳ καθυποβληθήσεται, οἷα ἀπειθὴς καὶ παραβάτης ἀποστολικῶν καὶ πατρικῶν ὅρων καὶ τάξεως. Τούτου χάριν ὑπεγράψαμεν οἱ-

κείαις χερσὶν εἰς ἐνσφράγισμα ἀσφαλείας καὶ τῆς ἀληθείας βεβαίωσιν, μεθ' ἡμῶν δὲ καὶ οἱ κάτωθεν γεγραμμένοι, οἵτινες ὡς ὑπείκοντες τοῖς θείοις ὅροις αὐθαιρέτως τὰ ἑαυτῶν ὀνόματα, ἅτε ὑποσχόμενοι καὶ ὁρεγόμενοι, διεχάραξαν· ὁ δέ γε ἐπίσκοπος τοῦ ἁγίου μοναστηρίου χειροτονεῖσθαι παρὰ τοῦ τῶν Ἱεροσολύμων πατριάρχου, ὡς ἐπέχοντα τὴν τούτου ἐπαρχίαν πατροπαραδότως.

Τοῦ ζξε' ἔτους, ἰνδικτιῶνος ιε', ἐν μηνὶ ἰουνίῳ ιε'. εἰς Αἴγυπτον.

† Ἰωακεὶμ ἐλέῳ Θεοῦ πάπας καὶ πατριάρχης τῆς μεγάλης πόλεως Ἀλεξανδρείας καὶ κριτὴς τῆς οἰκουμένης.

† Ἰωακεὶμ ἐλέῳ Θεοῦ πατριάχης τῆς μεγάλης Θεουπόλεως Ἀντιοχείας.

† Γερμανὸς ἐλέῳ Θεοῦ πατριάρχης τῆς ἁγίας πόλεως Ἱερουσαλήμ.

† Γερμανὸς ἐπίσκοπος, εὑρισκόμενος εἰς τὸν ἅγιον Σάββαν.

† Εὐγένιος ἐπίσκοπος ὄρους Σινᾶ.

Ἀρσένιος ἱερομόναχος.

Πατάπιος ἱερομόναχος.

Μανασσῆς ἱερομόναχος.

Μεθόδιος ἱερομόναχος.

Βαρνάβας ἱεροδιάκων.

Ἰωσὴφ ἱεροδιάκων.

Μελέτιος ἱεροδιάκων.

Ἐφραὶμ Σύρος μοναχός.

Κυπριανὸς μοναχός.

Ἱερεμίας μοναχός.

Θεόφιλος μοναχός.

Γερμανὸς μοναχός.

Λεόντιος μοναχός.

Γεράσιμος μοναχός.

Ἀθανάσιος μοναχός.

Μακάριος μοναχός.

Μανασσῆς μοναχός.

Μακάριος μοναχός.
Θεοδόσιος μοναχός.
Ἀθανάσιος Σύρος μοναχός.
Νεόφυτος μοναχός.
Μακάριος μοναχός.
Γρηγόριος μοναχός.
Σωφρόνιος μοναχός.
Κωνστάντιος μοναχός.
Νικόδημος μοναχός.
Ἰωακειμ μοναχός.
Ἐφραιμ μοναχός.
Γρηγόριος μοναχός.
Μωυσῆς μοναχός.
Μακάριος Ῥῶσος μοναχός.
Καὶ ἕτεροι πλεῖστοι.

V.

ΣΩΦΡΟΝΙΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ

ΓΡΑΜΜΑ ΠΡΟΣ ΤΟΥΣ ΣΙΝΑΪΤΑΣ.

Ἴσον καὶ ὅμοιον τοῦ ἐν τῇ Ἱερουσαλὴμ γενομένου γράμματος περὶ τῆς ἀθωώσεως τοῦ κῦρ Λαυρεντίου, διαλαμβάνον ἔτι καὶ περὶ τῆς καταστάσεως τοῦ μοναστηρίου, περί τε τοῦ κοινοβίου καὶ περὶ τοῦ μὴ εἶναι διχοστασίας καὶ πάρτας [1].

Σωφρόνιος ἐλέῳ Θεοῦ πατριάρχης τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ καὶ πάσης Παλαιστίνης.

† Οἱ ἐν τῷ ἁγίῳ καὶ θεοβαδίστῳ ὄρει Σινᾶ εὑρισκόμενοι ἱερομόναχοι καὶ γέροντες τῆς συνάξεως καὶ πάντες οἱ ἐν τῇ Ῥαΐθῳ καὶ Αἰγύπτῳ καὶ ἐν πᾶσι τοῖς μετοχίοις τοῦ ἁγίου μοναστηρίου εὑρισκόμενοι μοναχοί, χάρις ὑμῖν καὶ εἰρήνη καὶ ἔλεος ἀπὸ Θεοῦ παντοκράτορος καὶ ἀπὸ τοῦ ἁγίου καὶ ζωοδόχου Τάφου, καὶ παρὰ τῆς ἡμῶν μετριότητος εὐχὴ καὶ εὐλογία καὶ συγχώρησις. Κυρίῳ τῷ Θεῷ δεόμεθα τοῦ σκέπειν καὶ διαφυλάττειν ὑμᾶς ψυχῇ τε καὶ σώματι εἰς σύστασιν καὶ ὠφέλειαν τοῦ ἁγίου μοναστηρίου καὶ εἰς ἡμῶν ἀγαλλίασιν.

Γνωστὸν οὖν ἔστω ὑμῖν ἅπασιν, ἐν ἁγίῳ πνεύματι τέκνα ἐν Κυρίῳ τῆς ἡμῶν μετριότητος, ὅπως ἦλθε πρὸς ἡμᾶς μετὰ κας ἑτέρων ἀδελφῶν **, ἔχων καὶ τίμια γράμματα παρὰ τῶν παναγιωτάτων πατριαρχῶν καὶ οἰκουμενικῶν, τοῦ τε μακαρίτου κῦρ Ἱερεμίου καὶ τοῦ νῦν κῦρ Ματθαίου, ἀδελφῶν καὶ συλλειτουργῶν

[1] «Συλλογὴ διαφόρων ἐγγράφων» κτλ., σ. 6. Ἕτερα τοῦ πατριάρχου τούτου γράμματα ὅρα ἐν τοῖς ἑξῆς βιβλίοις: [Παύλου Νεοκλέους], Τὸ κανονικὸν δίκαιον τοῦ πατριαρχικοῦ θρόνου τῶν Ἱεροσολύμων ἐπὶ τῆς ἀρχιεπισκοπῆς Σινᾶ, ἐπιμαρτυρούμενον ὑπὸ ἐπισήμων ἐκκλησιαστικῶν ἐγγράφων. Ἐν Κωνσταντινουπόλει 1868, σ. 11. Ἀ. Π. Κεραμέως, Συμβολαὶ εἰς τὴν ἱστορίαν τῆς νεοελληνικῆς φιλολογίας. Ἐν Κωνσταντινουπόλει 1886, σ. 70. Ἑλλην. Φιλολογ. Σύλλογος ΙΖ', σ. 70.

ἡμῶν· ὁμοίως καὶ παρὰ τοῦ μακαριωτάτου πάπα καὶ πατριάρχου Ἀλεξανδρείας κυροῦ Μελετίου, ἀδελφοῦ καὶ συλλειτουργοῦ ἡμῶν, ὁμοίως καὶ παρ' ὑμῶν ἕτερα γράμματα· ἅπερ γράμματα τῶν παναγιωτάτων οἰκουμενικῶν πατριαρχῶν γράφουσι καὶ συγχωροῦν καὶ ἀθωώνουν τὸν ἐπίσκοπον ὑμῶν κῦρ Λαυρέντιον εἰς τὰ ἐγκλήματα, ἅπερ ἐγκαλεῖ αὐτὸν ὁ μακαριώτατος κῦρ Μελέτιος, τὴν ὑπὸ τῶν δύο χειροτονίαν· τὰ δὲ αὐτοῦ γράμματα καὶ τὰ ὑμέτερα γράφουσι πρὸς ἡμᾶς, ἵνα ἐξετάσωμεν περὶ τῆς αὐτῆς ὑποθέσεως τὸν ἐπίσκοπον ὑμῶν, ὃν καὶ ἐξετάσαμεν. Εἴδομεν καὶ ἐρευνήσαμεν τοὺς θείους καὶ ἱεροὺς νόμους· ἅμα μετὰ τοῦ παναγιωτάτου πατριάρχου Ἀντιοχείας κυροῦ Ἰωακείμ, παρόντος καὶ αὐτοῦ ἐν Ἱερουσαλὴμ μετὰ καὶ ἑτέρων ἀρχιερέων, ἀδελφῶν καὶ συλλειτουργῶν ἡμῶν, τοῦ τε κλήρου τῆς ἁγίας πόλεως Ἱερουσαλήμ, συνοδικῶς ἐξετάσαμεν καὶ εἴδομεν ἀκριβῶς ἅπαντα τὰ κατ' αὐτοῦ λαληθέντα καὶ οὐδὲν εὕρομεν ἔγκλημα τὸ κωλύον αὐτοῦ τὴν ἀρχιερωσύνην. Εἰς τοῦτο καὶ ἡμεῖς αὐτὸν ἐσυγχωρήσαμεν καὶ ἀθωώσαμεν καὶ ἐλειτουργήσαμεν ὁμοῦ ἅπαντες. Τοιγαροῦν γνωστὸν ἔστω ὑμῖν ἅπασι τοῖς μοναχοῖς, ὅτι ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος ὑμῶν κῦρ Λαυρέντιος ὑπάρχει ἄξιος καὶ νόμιμος ἀρχιερεύς, καὶ νὰ ἐνεργῇ ἀνεμποδίστως καὶ ἀνενδοιάστως τὰ τῆς ἀρχιερωσύνης ἅπαντα παρ' οὐδενὸς ἐμποδιζόμενος εἰς βάρος ἀργίας καὶ ἀλύτου ἀφορισμοῦ· καὶ οἱ χειροτονηθέντες καὶ αὐτοὶ ὑπ' αὐτοῦ ὁμοίως ἔστωσαν εὐλογημένοι καὶ συγκεχωρημένοι, καὶ νὰ ἐνεργοῦν καὶ αὐτοὶ τὰ τῆς ἱερωσύνης ἀνεμποδίστως ἅπαντα. Τούτου ἕνεκεν ἰδοὺ γράφομεν καὶ παρακαλοῦμεν τὴν ὑμετέραν ἀγάπην, τέκνα ἐν Χριστῷ ἀγαπητὰ τῆς ἡμῶν μετριότητος, νὰ ἦσθε εἰς ὁμόνοιαν εἰρήνην καὶ ἀδελφικὴν ἑνότητα τὴν εἰς ἀλλήλους, πειθόμενοι ὅλῃ ψυχῇ καὶ καρδίᾳ τὸν ἀρχηγὸν καὶ προεστῶτα ὑμῶν καὶ τῶν ἁγίων πατέρων τοῖς νομικοῖς παραγγέλμασιν, ἅπερ ἡμεῖς ἐν ἁγίῳ πνεύματι ἐνωθέντες ἐπιστώσαμεν καὶ ἐπεσφραγίσαμεν. Ἔτι δέ, πατέρες, μηδόλως ἔστωσαν ἐν ὑμῖν διχοστασίαι καὶ πάρται, ἵνα μὴ ἐπὶ τὸ τοῦ ἀφορισμοῦ κατάκριμα ἐμπέσηται, ἀλλὰ τὴν φιλικὴν ὁμόνοιαν καὶ ἀδελφικὴν ἕνωσιν ὅση δύναμις ἀσπάζησθε, τὸ δὲ κοινόβιον

οὕτω προσεκτέον ἔσται, ὡς ἄνωθεν παρελάβατε συνοδικῶς καὶ θελληματικῶς ἅπαντες ἐστέρξατε, διὰ τὸ τῆς ἀρᾶς ἐπικίνδυνον· οἱ δὲ πρόκριτοι τοῦ ἁγίου μοναστηρίου, ἱερομόναχοί τε καὶ γέροντες τῆς συνάξεως, μετὰ πάσης προθυμίας καὶ ἑνώσεως πνευματικῆς τὰ τοῦ μοναστηρίου συμφέροντα δικαίῳ τρόπῳ ἐκζητήτωσαν μετὰ τῆς βουλῆς τοῦ ἀρχιεπισκόπου ὑμῶν, καὶ πάντα ὅσα ἂν ποιῆτε, μετὰ βουλῆς τοῦ ἀρχιεπισκόπου ὑμῶν, καὶ πάντα ὅσα ἂν ποιῆτε, μετὰ εἰρήνης ἔστωσαν· καὶ ἐὰν συμβῇ τι ἀναμεταξὺ ὑμῶν, τῶν πλειόνων ἡ ψῆφος κρατείτω. Οὕτως οὖν ποιήσατε, ὡς γράφομεν ἄνωθεν· ἡ δὲ τοῦ Θεοῦ χάρις καὶ τὸ ἄπειρον αὐτοῦ ἔλεος ἔσται μετὰ πάντων ὑμῶν· ἀμήν. Ἔρρωσθε ἐν Χριστῷ. Ἔτους ,ζρζ', ἰνδικτιῶνος ιβ' (1599).

† Σωφρόνιος ἐλέῳ Θεοῦ πατριάρχης τῆς ἁγίας πόλεως Ἱερουσαλήμ.

† Ταπεινὸς μητροπολίτης Γερμανὸς Καισαρείας τῆς Φιλίππου.

VI.

ΝΕΚΤΑΡΙΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ

ΠΡΑΞΕΙΣ.

(1661-1667).

1.

Ψῆφος τοῦ μακαριωτάτου πατριάρχου Ἱεροσολύμων Νεκταρίου [1].

Ἐπειδὴ διὰ τὸ μεταστῆναι τῶν τῇδε τὸν ἐν μακαρίᾳ τῇ μνήμῃ ποτὲ πατριάρχην Ἱεροσολύμων κύριον Παΐσιον καὶ τοῦ πατριαρχικοῦ καὶ ἀποστολικοῦ θρόνου αὐτοῦ οὕτως ἀπροστατεύτου ἐναπολειφθέντος, δέον ὂν ἵνα μὴ εὑρίσκεσθαι τὸν θρόνον αὐτὸν ἐν στερήσει γνησίου ποιμένος, συνεκροτήθη σύνοδος ἐν τῇ τοῦ Χριστοῦ μεγάλῃ ἐκκλησίᾳ κατὰ τὸν οἰκουμενικὸν πατριαρχικὸν θρόνον, παρόντος τοῦ οἰκουμενικοῦ παναγιωτάτου πατριάρχου κυρίου κυρίου Παρθενίου καὶ τῶν ἐκλαμπροτάτων καὶ εὐσεβεστάτων αὐθεντῶν, τοῦ τε κυρίου κυρίου Ἰωάννου Βασιλείου βοεβόνδα καὶ τοῦ κυρίου κυρίου Ἰωάννου Γεωργίου Γκίκα βοεβόνδα, καὶ τῶν πανιερωτάτων μητροπολιτῶν, τῶν τε ὑποκειμένων τῷ οἰκουμενικῷ θρόνῳ καὶ τῶν παρευρεθέντων ὑποκειμένων τῷ θρόνῳ ἐκείνῳ, μετὰ καὶ τῶν ἱερομονάχων καὶ ἡγουμένων καὶ ὀφφικιαλίων τοῦ θρόνου ἐκείνου, καὶ τῶν τιμιωτάτων καὶ λογιωτάτων κληρικῶν τῆς μεγάλης ἐκκλησίας καὶ τῶν εὐγενεστάτων καὶ χρησιμωτάτων ἀρχόντων

[1] Ἐκ τοῦ 411-ου κωδικος τῆς ἐν Κωνσταντινουπόλει Ἱεροσολυμιτικῆς βιβλιοθήκης, σ. 41. Τὸ αὐτὸ ἔγγραφον ἔχει καὶ ἡ νομικὴ συναγωγὴ Δοσιθέου. Κ. Σάθα, Μεσ. Βιβλιοθ. III, σ. 595. Περὶ δὲ τοῦ πατριάρχου Νεκταρίου ὅρα τὴν ἀξιόλογον διατριβὴν Κυρίλλου τοῦ Ἀθανασιάδου (Σωτὴρ· μηνιαῖον περιοδικὸν σύγγραμμα συνταττόμενον ὑπὸ διαφόρων λογίων. Ἐν Ἀθήναις, τ. XIII, 1890, τεῦχος γ', ε', ζ').

τῆς πολιτείας καὶ ἄλλων χρησίμων χριστιανῶν καὶ ἐπιτρόπων τοῦ θρόνου ἐκείνου, ἐπὶ ἐκλογῇ προσώπου ἀξίου καὶ ἁρμοδίου, χειροτονηθῆναι δηλονότι καὶ ἀποκατασταθῆναι γνήσιον καὶ κανονικὸν πατριάρχην τοῦ θρόνου ἐκείνου Ἱεροσολύμων. Καὶ δὴ πολλῶν προσώπων παρὰ πολλῶν προβληθέντων ὡς ἀξίων, ὡς ἐδόκει ἑκάστῳ, καὶ σκέψεως ἀκριβοῦς καὶ ἐρεύνης γενομένης, τέλος συμφώνῳ γνώμῃ καὶ διανοίᾳ ἡρμοσμένῃ καὶ ψήφῳ δεδοκιμασμένῃ ἔγνωσται παρὰ πάντων καὶ κέκριται ἄξιος καὶ ἁρμόδιος τοῦ ἀναδέξασθαι τὴν ποιμαντικὴν ῥάβδον τοῦ ἀποστολικοῦ θρόνου Ἱεροσολύμων ὁ πανοσιώτατος καὶ λογιώτατος διδάσκαλος κύριος Νεκτάριος καὶ ὑποψήφιος τῆς ἀρχιεπισκοπῆς τοῦ Σιναίου ὄρους.

Ὅθεν τὴν παρὰ πάντων ὑπογραφεῖσαν καὶ βεβαιωθεῖσαν (ψῆφον), ἐπὶ τῷ χειροτονηθῆναι δηλονότι τὸν διαληφθέντα ὑποψήφιον αὐτὸν κύριον Νεκτάριον πατριάρχην γνήσιον καὶ κανονικὸν τοῦ ἀποστολικοῦ πατριαρχικοῦ θρόνου Ἱεροσολύμων, ἔδοξεν, ἐπὶ τῷ μὴ βουληθῆναί τινας κατ' ἰδίαν θέλησιν τὴν μὲν κοινὴν ταύτην ψῆφον καὶ κανονικὴν ἀποβάλλειν, ἀντιτάξαι δέ τινα ἄλλον, προστεθῆναι καὶ τάδε τῇ κανονικῇ ψήφῳ, ἵνα ὅστις τῶν πάντων, ἢ ἀρχιερέων καὶ ἱερομονάχων, ἢ λαϊκῶν ἀρχόντων ἢ ἀρχομένων, τῶν παρόντων ἢ καὶ τῶν ἀπόντων, βουληθῇ ὡς ἀντάρτης καὶ ἀποφρὰς φρονῆσαι καὶ πράξαι τἀναντία τῇ θεοπνεύστῳ ταύτῃ καὶ κοινῇ ψήφῳ ὁπωσδήποτε, ἢ διὰ λόγων ἢ διὰ χρημάτων, ἢ δυναστείας, πρὸς τῷ εἶναι ἀφωρισμένον ἀπὸ τῆς ἁγίας καὶ ὁμοουσίου καὶ ζωοποιοῦ καὶ ἀδιαιρέτου καὶ ἀσυγχύτου τριάδος, τοῦ ἑνὸς τῇ φύσει μόνου Θεοῦ, καὶ κατηραμένον καὶ ἀσυγχώρητον καὶ ἄλυτον μετὰ θάνατον καὶ ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς καὶ τῷ αἰωνίῳ ἀναθέματι ὑπόδικον, καὶ παιδεύεσθαι εἰς τὸν ἴδιον αὐτοῦ βαθμὸν ἐκκλησιαστικῶς, καὶ εἰ δεήσει, καὶ ἐξωτερικῶς, καθὼς δόξει καὶ τοῖς ὑπογεγραμμένοις τῇ παρούσῃ ψήφῳ. Διὸ εἰς δήλωσιν ἐγράφη καὶ παρὰ πάντων ὑπεγράφη καὶ τῷ ἱερῷ κατεστρώθη κώδικι τῆς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας ἡ παροῦσα συνοδικὴ κανονικὴ ψῆφος. Ἔν ἔτει ,αχξα' (1661), ἰανουαρίου κε'.

2.

(Παρθενίου Κωνσταντινουπόλεως συνοδικὸν) γράμμα εἰδήσεως περὶ τῆς χειροτονίας τοῦ Ἱεροσολύμων κῦρ Νεκταρίου [1].

Ἱερώτατοι μητροπολῖται, οἱ ὑποκείμενοι τῷ ἱερωτάτῳ θρόνῳ τῶν Ἱεροσολύμων, ἐν ἁγίῳ πνεύματι ἀγαπητοὶ ἀδελφοὶ καὶ συλλειτουργοί, ἐντιμότατοι κληρικοί, ἀρχιμανδρῖται καὶ ἄλλοι ὁσιώτατοι ἱερομόναχοι καὶ μοναχοὶ τῆς συνοδίας ἁπάσης τῶν πατέρων, χρησιμώτατοι ἄρχοντες καὶ προσκυνηταὶ τοῦ ἁγίου καὶ ζωοδόχου Τάφου, καὶ ἅπας ὁ τοῦ Κυρίου χριστώνυμος λαός, τέκνα ἐν Κυρίῳ ἀγαπητὰ τῆς ἡμῶν μετριότητος, χάρις εἴη ὑμῖν ἅπασιν καὶ εἰρήνη καὶ ἔλεος ἀπὸ Θεοῦ παντοκράτορος καὶ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εὐχὴ δὲ καὶ εὐλογία καὶ συγχώρησις παρ' ἡμῶν.

Γνωστὸν ὑμῖν ἔστω, ὅτι μετὰ τὸ ἐκδημῆσαι πρὸς Κύριον τὸν μακαριώτατον πατριάρχην Ἱεροσολύμων κῦρ Παίσιον, παρεγένοντο ἡμῖν οἵ τε πατέρες τοῦ θρόνου αὐτοῦ, οἱ ἐνταῦθα παρευρεθέντες, καὶ οἱ τιμιώτατοι ἄρχοντες τῆς πολιτείας καὶ ἐπίτροποι καὶ κηδεμόνες τοῦ ἁγίου καὶ ζωοδόχου Τάφου, καὶ ᾐτήσαντο σκέψιν προβῆναι συνοδικὴν εἰς ἐκλογὴν καὶ εὕρεσιν ἀξίου καὶ τιμίου προσώπου τοῦ ἀναλαβεῖν τὴν πατριαρχικὴν ἱεραρχίαν τῆς ἀποστολικῆς ταύτης καθέδρας, ὅπως μὴ μείνῃ ἐπὶ πολὺ ἐστερημένη τοῦ ἰδίου προστάτου καὶ τηνάλλως φέρωνται τὰ κατ' αὐτὴν ἐκκλησιαστικά τε πράγματα καὶ ὅσ' ἄλλα παρομαρτεῖν εἴωθε καθ' ἑκάστην αὐτῷ τῷ θρόνῳ, ἐκ τῶν διαφόρων τοῦ καιροῦ περιστάσεων οἰκονομίας ἐσκεμμένης δεόμενα καὶ νουνεχοῦς προνοίας καὶ κυβερνήσεως· ὧν τὴν αἰτίαν προσηκάμενοι, οὐ μόνον εὔλογον οὖσαν καὶ νόμιμον, ἀλλὰ καὶ πολλὴν τὴν ἀνάγκην προβάλλουσαν, σύνοδον ὑπερτελῆ περὶ τούτου συγκροτηθῆναι παρεκελεύσαμεν καὶ ὁμιλος συνῆλθε καὶ συνεκαθέσθη παρ' ἡμῖν, ὁ θεῖος καὶ ἱερὸς τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας σύλλογος τῶν ἐν Κωνσταντινουπόλει δηλαδὴ τανῦν ἐνδημούντων ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων,

[1] Κῶδ. 411, σ. 42, τῆς αὐτῆς Ἱεροσολυμιτικῆς βιβλιοθήκης.

τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, εὐσεβεστάτων καὶ ἐκλαμπροτάτων αὐθεντῶν καὶ τιμιωτάτων κληρικῶν, εὐγενεστάτων ἀρχόντων τῆς πολιτείας καὶ λοιπῶν χρησίμων καὶ ἐγκριτων προσώπων, παρόντων καὶ πάντων τῶν πατέρων τοῦ αὐτοῦ θρόνου. Καὶ Θεὸν ἀρχηγέτην καὶ ὁδηγὸν καὶ τελειωτὴν τοῦ θείου αὐτοῦ ἔργου προστησάμενοι, παρ' οὗ πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον, ὡς ἐξ ἀειζώου πηγῆς τοῖς ἀξίοις ἐπιδαψιλεύεται, καὶ αὐτῷ μόνῳ τῷ τὰ πάντα σχεδὸν ἀπταίστως καὶ ἀλανθάστως γινώσκοντι πρὶν καὶ γενέσεως αὐτῶν τοὺς τῆς ψυχῆς καὶ τοῦ σώματος ὀφθαλμοὺς ἀνατείναντες, καὶ δεηθέντες τὸν ἄξιον τοῦ θρόνου αὐτοῦ γνωρίσαι ἡμῖν, ἤρξαντο τῇ αὐτοῦ ὁδηγίᾳ ἐκλέγειν καὶ ὀνομαστὶ προβάλλειν οὐκ ὀλίγους τῶν τε ἀρχιερατικῶν προσώπων καὶ τῶν ἐν τάξει ἱερομονάχων τελούντων, χρησίμων καὶ ἐναρέτων ἀνδρῶν, μέχρις οὗ τὴν ἐκλογὴν περιέστησαν ἐπὶ τὸν λογιώτατον καὶ σοφώτατον διδάσκαλον ἐν ἱερομονάχοις καὶ πνευματικοῖς κῦρ Νεκτάριον, τὸν ἐν τῷ μοναστηρίῳ τοῦ θεοβαδίστου ὄρους Σινᾶ τὴν κατὰ Θεὸν ἀγωγὴν καὶ ἐνάρετον πολιτείαν διάγοντα, ὡς ἄνδρα κεκοσμημένον ψυχῇ καὶ σώματι καὶ φυσικοῖς προτερήμασιν ἐνδόξοις καὶ ἀρεταῖς ἐπισήμοις προσωκειωμένον καὶ λόγου καὶ παιδείας τρόφιμον καὶ διδασκαλίας καὶ γνώσεως θείας φωτὶ καταστραπτόμενον, καὶ ἱκανὸν καὶ ἀξιώτατον τῆς ποιμαντικῆς προστασίας καὶ πατριαρχικῆς ἀξίας. Ὥστε ἐνηχηθέντος τέως τοῦ σεμνοῦ ὀνόματος αὐτοῦ μέσον τοῦ πλήθους, οὐρανόθεν ἔδοξε πᾶσι κατενεχθῆναι τὴν ψῆφον καὶ θείας ἐπιπνοίας εἶναι τὴν πρόσκλησιν, καὶ ὁμοφώνῳ φωνῇ πάντες, ὡς ἐξ ἑνὸς στόματος, τὸ "καλὸς καὶ ἄξιος" καὶ ἐπ' ἐγκωμίοις ἐγκώμια προσετίθεντο, τὰς τοῦ ἀνδρὸς ἀξιολόγους ἀρετὰς καὶ τὰ κατὰ Θεὸν προτερήματα χαρμοσύνῳ φωνῇ καὶ γλώσσῃ κατεξαγγέλλοντες, καὶ κοινῶς ἐγένετο ὁ ἀνὴρ τοῖς πᾶσι φαιδρὸν περιλάλημα καὶ αἰδέσιμον ἄκουσμα καὶ σύμψηφα σχεδὸν ἔσχε τοῖς ἐπὶ γῆς τὰ οὐράνια.

Εἶτ' ἐπὶ τούτοις ἡμετέρᾳ πατριαρχικῇ προτροπῇ τῶν κανονικῶν αὐτοῦ ἐν τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας ψήφων καταστρωθεισῶν, πεφρόντισται καὶ τὰ

πρὸς τελείαν ἐκπλήρωσιν τῆς χειροτονίας αὐτοῦ γενέσθαι κατὰ τόπον, αὐτόθι, παρὰ τῷ καθολικῷ θρόνῳ τῶν Ἱεροσολύμων. Καὶ δὴ κρίναντες ἐσκεμμένῃ συμβουλῇ καὶ ἀκριβείας λόγῳ ἐξελεξάμεθα εἰς τοῦτο ἱκανὸν καὶ ἄξιον καὶ δόκιμον ὑπουργόν, τὸν ἱερώτατον μητροπολίτην Φιλιππουπόλεως, ὑπέρτιμον καὶ ἔξαρχον πάσης Θράκης Δροβιτίας, τὸν ἐν ἁγίῳ πνεύματι ἀγαπητὸν ἀδελφὸν ἡμῶν καὶ συλλειτουργὸν τῆς ἡμῶν μετριότητος κῦρ Γαβριήλ, οὐχ ὡς ἔγκριτον μόνον τῆς ἀρχιερατικῆς ὁμηγύρεως, ἀλλὰ καὶ συνετὸν ἐς τὰ μάλιστα καὶ κράτει λογισμῶν καὶ ἀξία φρονήσεως ὑπερέχοντα καὶ πεπαιδευμένον ἐν πᾶσι καὶ πεῖραν ἱκανῶς εἰληφότα πραγμάτων· καὶ πέμπομεν ἐπίτροπον ἡμέτερον τὰ τῆς χειροτονίας ἐκτελέσαι ὡς ἐκ προσώπου ἡμετέρου, καὶ διὰ τῆς θείας καὶ ἱερᾶς κανονικῆς ὑποτυπώσεως εἰς τὸν πατριαρχικὸν καὶ ἀποστολικὸν αὐτὸν θρόνον προβιβάσαι τὸν ὑποψήφιον κῦρ Νεκτάριον, Θεοῦ συνεργίᾳ καὶ χάριτι.

Ὅθεν καὶ γράφοντες ἐντελλόμεθα ὑμῖν συνοδικῇ καὶ κοινῇ παρακελεύσει, ἵνα ἀποδεξάμενοι αὐτὸν καὶ γνόντες ἔξαρχον πατριαρχικὸν καὶ ἡμέτερον ἐπίτροπον καὶ κατὰ πάντα πατριαρχικὸν ἐπιφέροντα πρόσωπον καὶ πάντα τά τε λεγόμενα καὶ πραττόμενα ὑπὸ τῆς αὐτοῦ ἱερότητος ὡς ἴδια ἔργα καὶ λόγους εἶναι τῆς ἡμῶν μετριότητος ἀναντιρρήτως καὶ ἀναμφιβόλως, ἐπιδείξητε τῇ αὐτοῦ ἱερότητι πᾶσαν ὑπεροχὴν τιμῆς καὶ ἀξίας καὶ εὐλαβείας καὶ εὐπειθείας καὶ δεξιώσεως καὶ φιλοτιμίας καὶ περιποιήσεως ἐν ἀγάπῃ καὶ στοργῇ τῇ ἁρμοζούσῃ, ὡς τὸν ἡμέτερον πατριαρχικὸν τόπον ἐπέχοντα καὶ ἄδειαν συνοδικὴν εἰληφότα τὴν ἐκκλησιαστικὴν ταύτην ὑπουργίαν καὶ πατριαρχικὴν χειροτονίαν ἐν εἴδει τῆς ἡμετέρας πατριαρχικῆς ἀξίας ἐκτελέσαι ὡς ἐκ προσώπου ἡμῶν, ἵνα καὶ ἡ τοῦ Θεοῦ χάρις καὶ τὸ ἄπειρον ἔλεος εἴη μετὰ πάντων ὑμῶν. ,αχξά´ (1661).

3.

(Πρᾶξις τῶν ἐν Ἱεροσολύμοις Ἁγιοταφιτῶν ἐπὶ τῇ παραδοχῇ τῆς ἐν Κωνσταντινουπόλει γενομένης ἐκλογῆς τοῦ πατριάρχου Νεκταρίου).

αχξα' ἔτει τῷ σωτηρίῳ, κατὰ μῆνα ἀπρίλιον [1].

Νόμῳ φύσεως τῶν τῇδε μεταστάντος τοῦ μακαριωτάτου καὶ ἀοιδίμου πατριάρχου Ἱεροσολύμων κυροῦ Παϊσίου καὶ γνησίου προστάτου χηρεύοντος ἤδη τοῦ ἁγιωτάτου καὶ ἀποστολικοῦ τούτου θρόνου, φροντὶς οὐκ ὀλίγη γέγονε τῷ παναγιωτάτῳ καὶ λογιωτάτῳ οἰκουμενικῷ πατριάρχῃ κυρίῳ κυρίῳ Παρθενίῳ καὶ τῶν ἐνδοξοτάτων καὶ ἐκλαμπροτάτων αὐθεντῶν κυρίου κυρίου Ἰωάννου Βασιλείου βοεβόνδα καὶ κυρίου κυρίου Ἰωάννου Γγίκα βοεβόνδα, τῇ Κωνσταντίνου τό γε νῦν ἔχον ἐπιδημούντων, καὶ πάσης τῆς ἱερᾶς καὶ ἁγίας συνόδου τῆς ἐν Κωνσταντινουπόλει, τοῦ τε κλήρου παντὸς καὶ λοιπῶν ἐκείσε τιμιωτάτων ἀρχόντων καὶ ἐπιτρόπων τοῦ ἁγίου καὶ ζωοδόχου Τάφου, περὶ τοῦ ταχίστην γνήσιον ἀποκαταστῆσαι πατριάρχην ἐν τούτῳ τῷ παναγιωτάτῳ καὶ ἀποστολικῷ θρόνῳ, ἵνα μὴ ὥσπερ πλοῖον δίχα τοῦ πηδαλιουχοῦντος τηνάλλως φέρηται τὰ τούτου πράγματα, πολλῶν ὄντων ἐχθρῶν τοῦ καλοῦ καὶ τῆς ἀληθείας καὶ ἐπιτηρούντων καιροῦ τυχόντες νεωτερισμόν τινα ἐπινοῆσαί τε καὶ διαπράξασθαι. Καὶ δὴ συνόδου ὑπερτελοῦς ἱερᾶς καὶ ἁγίας συγκροτηθείσης ἐν Κωνσταντίνου πόλει, συνεδριαζόντων τῷ παναγιωτάτῳ καὶ οἰκουμενικῷ πατριάρχῃ τῶν εἰρημένων ἐνδοξοτάτων αὐθεντῶν καὶ τῶν παρευρεθέντων πανιερωτάτων καὶ λογιωτάτων μητροπολιτῶν καὶ τῶν λοιπῶν κληρικῶν καὶ ἀρχόντων ἁπάντων, πολλῶν τε προσώπων εἰς μέσον ἀχθέντων καὶ ἀπὸ πάντων ἐκλογῆς γενομένης ἐκρίθη ἄξιος τῆς ἐπιστασίας καὶ διοικήσεως ταύτης ὁ σοφώτατος ἅγιος διδάσκαλος κύριος Νεκτάριος, ὑποψήφιος τότε τελῶν τῆς ἁγιωτάτης ἀρχιε-

[1] Ἐκ τοῦ πρωτοτύπου τοῦ ἐν τῷ συνοδικῷ βιβλίῳ τοῦ ἐν Ἱεροσολύμοις Πατριαρχείου (σ. 37), ὅπερ ἐπιγέγραπται «Συλλογὴ διαφόρων ἐγγράφων» κτλ. Ἐγένετο δὲ ἡ πρᾶξις τῇ 6 ἀπριλίου, κατὰ τὸ ἀντίγραφον τὸ ἐν τῷ 411-ῳ κώδικι τῆς ἐν Κωνσταντινουπόλει βιβλιοθήκης, σ. 44.

πισκοπῆς τοῦ ἁγίου καὶ θεοβαδίστου ὄρους Σινᾶ· καὶ μὴ παροντος ἐν Κωνσταντίνου πόλει, ἀλλὰ τοῖς τῆς Αἰγύπτου μέρεσι τὰς διατριβὰς ποιουμενου, τὰς ἁπάντων ψήφους ἀδεκάστως ὡς ἀπὸ μιᾶς εἴληφε γνώμης, εἰσκεκόμικε δὲ πρὸς ἡμᾶς τοὺς ἐκεῖθεν ψήφους συνοδικῶς ἐνυπογραφους ὁ πανιερώτατος καὶ λογιώτατος Φιλίππου πόλεως κύριος κύριος Γαβριήλ, ἔξαρχός τε ὢν τῆς ἐκεῖσε συνόδου καὶ πατριαρχικὸς λεγᾶτος, καὶ ἐπ' αὐτῷ τούτῳ ἀποσταλεὶς κἀπὶ τῇ χειροτονίᾳ συμπράξασθαι. Ὅθεν καὶ ἡμεῖς οἱ τὴν ἐν Ἱεροσολύμοις ἁγίαν συγκροτοῦντες σύνοδον (γνησιας καὶ οἰκείας οὔσης ἡμῖν τῆς τοιαυτης σκέψεως) ἀρχιερεῖς ἀρχιμανδρῖται ἡγούμενοί τε καὶ πρωτοσύγκελλοι, ἱερεῖς τε καὶ μονάζοντες, ἐν τῷ περιωνύμῳ καὶ σεβασμίῳ καὶ θείῳ ναῷ τῆς ἁγίας τοῦ Χριστοῦ Ἀναστάσεως, τοῦ Ζωηφόρου Τάφου, συναθροισθέντες μετὰ τοῦ προειρημένου πανιερωτάτου μητροπολίτου καὶ πατριαρχικοῦ λεγάτου κυρίου κυρίου Γαβριήλ, τῇ πρεπούσῃ καὶ ἁρμοζούσῃ ἐκείνῃ δικαίᾳ ψήφῳ κατὰ πάντα ἑπόμενοι, εὐλόγῳ τε καὶ δικαίᾳ οὔσῃ, συμψηφίζομεν τοῦτον τὸν εἰρημένον σοφώτατον καὶ αἰδεσιμώτατον ἅγιον διδάσκαλον κύριον κύριον Νεκτάριον, ἅρτι ἐπιδημήσαντα τῇ ἁγίᾳ ταύτῃ γῇ, ὡς ἄνδρα τίμιον καὶ εὐλαβῆ, σοφίᾳ ἀρετῇ καὶ πράξει κεκοσμημένον, καὶ δεχόμεθα αὐτὸν ὡς γνήσιον ἡμῶν καὶ καθολικὸν ποιμένα, ὑποσχόμενοι αὐτῷ πᾶσαν ἐν Χριστῷ ὑπακοὴν καὶ εὐπείθειαν. Ὅθεν καὶ κατεστρώθησαν ἐν τῷ ἐνταῦθα πατριαρχικῷ κώδικι οἱ γενηθέντες οὗτοι ψῆφοι, ἐνυπόγραφοι παρὰ τῆς ἑνὸς ἑκάστου ἡμῶν χειρός.

† Ὁ ἐλάχιστος ἀρχιερεὺς Γαβριὴλ Φιλιππουπόλεως καὶ ἔξαρχος πατριαρχικός.

† Ὁ ταπεινὸς μητροπολίτης Βηθλεὲμ Νεόφυτος.

† Ὁ ταπεινὸς μητροπολίτης Ναζαρὲτ Ἀντώνιος.

† Ταπινὸς μητροπόλήτης Πέτρας Δωρόθεος.

† Ὁ ἀρχιμανδρίτης, τὸν Ἱεροσολύμων Ἰωάσαφ ἱερομόναχος.

† Χριστόφορος ἱερομόναχος καὶ πρωτοσύγκελλος Ἱεροσολύμων.

25 Τῶν ὑπογραφῶν τὰ ὀνόματα παρείδομεν ἐν τῷ κειμένῳ κατὰ τὸ πρωτότυπον.

† Γαβριὴλ· ἱερομόναχος. صودكر برم طوبا باش
Πρόχωρος ἱερομόναχος. اسحق اسحورجى سمعانيل
Διονύσιος ἱερομόναχος.
† Ὁ ἐν ἱερομονάχοις Τιμόθεος.
† ὁ Μακάριος ἱερομόναχος.
† Ναθαναὴλ ἱερομόναχος.
Ἰωαννικίου ἱερομοναχου.
Καλλινίκος ιερωμοναχος
† Παχώμιος ἱερομόναχος.
Χριστώδουλος ἡρωμοναχος.
ἐλάχιστος ἱεροδιακων Δανιὴλ.
Νεόφιτος ἱερομοναχος.
Εὐσέβιος ἱερομόναχος.

(Αὐτόγραφον).

Ἐχειροτονήθηκα πατριάρχης Ἱεροσολύμων κατὰ τὸ ,αχξα^ον ἔτος τὸ σωτήριον ἑβδόμην ἄγοντος μηνὸς ἀπριλλίου, τῆς ἁγίας ἐκκλησίας ἑορτὴν τελουσης τὴν τῶν βαΐων.

† Νεκτάριος ἐλέῳ Θεοῦ πατριάρχης τῆς ἁγίας πόλεως Ἱερουσαλήμ.

4.

(Ἐπικύρωσις ἀρχαιοτέρων ἀποφάσεων περὶ τῆς ὀφειλομένης διδοσθαι τῇ νύμφῃ παρὰ τοῦ νυμφίου προγαμιαίας δωρεᾶς, ἵνα τὸ κρατῆσαν ἐκ παλαιοῦ περὶ ταύτην ἔθος ἐν Παλαιστίνῃ κῦρος ἔχῃ καὶ εἰς τὸν ἑξῆς χρόνον. 1667) [1].

Προκαθημένης τῆς ἡμετέρας μετριότητος, συνεδριαζόντων καὶ τῶν πανιερωτάτων μητροπολιτῶν τῶν ἐν Χριστῷ ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, καὶ πρωτοσυγκέλλων καὶ πνευματικῶν καὶ — — κληρικῶν, ἀνήνεγκον ἡμῖν οἱ πρῶτοι τῶν χριστιανῶν περὶ τῶν προγαμίων δωρεῶν τῶν διδομένων παρὰ τοῦ νυμφίου τῇ νύμφῃ εἰς τοὺς γάμους, ὅτι κατὰ μικρὸν αὐξανόμεναι προῆλθον εἰς μέγα(ν) ἀριθμόν, καὶ ταῦτα διωρισμένου ὄντος τοῦ πράγματος

[1] «Συλλογὴ διαφόρων ἐγγράφων» κτλ. σ. 61.

παρὰ τῶν πρὸ ἡμῶν πατριαρχῶν μὴ περαιτέρω τῶν πεντήκοντα γροσίων προβαίνειν· διὸ καὶ ἐζήτησαν ἵνα πάλιν ἀποκατασταθῇ εἰς τὸν πρότερον ἐκεῖνον ἀριθμὸν τῶν πεντήκοντα γροσίων. Ὅθεν ἡ μετριότης ἡμῶν φροντίζουσα ἀεὶ τὸ ἀζήμιον τῶν ὑπὸ τὴν ἡμετέραν πατριαρχίαν εὑρισκομένων χριστιανῶν, καὶ στοχαζομένη τὸ δίκαιον ἐν πᾶσιν, ὑπείκουσα τῇ δεήσει τῶν ἀναφερόντων πρὸς ἡμᾶς τὸ πρᾶγμα, δίκαια αἰτούντων καὶ εὔλογα, καὶ διὰ τοῦτο ἀποφαίνεται συνοδικῶς μετὰ τῆς περὶ αὐτὴν ἱερᾶς τῶν ἀρχιερέων συνόδου, ἵνα ἀνανεωθῇ καὶ ἐπικρατήσῃ αὖθις ὁ πρότερον γενόμενος διορισμὸς παρὰ τῶν πρὸ ἡμῶν πατριαρχῶν, τοῦ τε ἀοιδίμου κῦρ Παϊσίου καὶ τοῦ ἀοιδίμου κῦρ Θεοφάνους, ἵνα δηλαδὴ ἅπαντες οἱ ὑπὸ τὸν πατριαρχικὸν τοῦτον θρόνον εὑρισκόμενοι ὀρθόδοξοι χριστιανοὶ ἔν τε ταῖς μητροπόλεσι καὶ ἀρχιεπισκοπαῖς καὶ ταῖς ἡμετέραις ἐξαρχίαις μηδὲν πλέον διδόναι τῶν πεντήκοντα γροσίων, ἢ λαμβάνειν ἐν ταῖς προγαμίαις δωρεαῖς· ὁ δὲ τολμήσας ἀθετῆσαι τὰς συνοδικὰς ἀποφάσεις ταύτας, ἢ διδόναι πλέον τῶν πεντήκοντα γροσίων ἢ λαμβάνειν, ἐπιτιμηθήσεται ἐκκλησιαστικῶς τε καὶ κανονικῶς, ὡς παραβάτης τῆς συνοδικῆς ἀποφάσεως καὶ ὡς ἀθετῶν τὸ δίκαιον· καὶ ὁ ἱερεὺς ὁ εὐλογήσας καὶ στεφανώσας τὸ τοιοῦτον ἀνδρόγυνον ἐπιτιμηθήσεται τῇ ἀργίᾳ, καταφρονῶν δὲ καὶ τῆς ἀργίας ὑποπεσεῖται τῇ τελείᾳ καθαιρέσει. Ἐδόθη ἐν τῇ ἁγίᾳ πόλει Ἱερουσαλὴμ τὸ ,αχξζ^ον^ ἔτος τῆς σωτηρίας, κατὰ μῆνα ἰανουάριον ἰνδικτιῶνος ε'.

† Ὁ τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ πατριάρχης Νεκτάριος.

5.

Μαρτυρικὸν Νεκταρίου πατριάρχου Ἱεροσολύμων περὶ τοῦ ἁγίου λειψάνου τοῦ ἐν τῇ μονῇ ἐπιλεγομένῃ τῆς Παναγίας τῆς Μεγάλης· εἶναι δὲ ἰδιόγραφον τοῦ αοιδίμου ἐκείνου, καὶ διὰ τὸ ἀσφαλέστερον ἀντεγράφη καὶ ὧδε· τὸ δὲ καθ' αὐτὸ κεῖται ἐν τῷ ἰδίῳ κιβωτίῳ τοῦ ἁγίου λειψάνου· αωκβ', ἰουλίου ιθ'.

Ἴσον ἀπαράλλακτον [1].

Νεκτάριος ἐλέῳ Θεοῦ πατριάρχης τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ καὶ πάσης Παλαιστίνης.

† Ἡ μετριότης ἡμῶν διὰ τοῦ παρόντος βεβαιωτικοῦ γράμματος προσεπιμαρτυρεῖ τουτὶ τὸ τίμιον καὶ ἱερὸν λείψανον εἶναι χεῖρα τῆς ἁγίας μάρτυρος Ἰουλίττης, ἐκ πολλοῦ τοῦ χρόνου ἀφιερωμένον ὡς ἱερὸν καὶ σεβάσμιον κειμήλιον τῇ μονῇ τῶν μοναζουσῶν τῆς ὑπεραγίας Θεοτόκου καὶ Ὁδηγητρίας, τῆς ἔνδον τῆς ἁγίας πόλεως Ἱερουσαλήμ. Ὅστις οὖν θελήσει ἀφελεῖν καὶ ἀλλοτριῶσαι τοῦτο τῆς εἰρημένης μονῆς τῆς ὑπεραγίας Θεοτόκου, ἔστω ὑπὸ ἐπιτιμίῳ αἰωνίου ἀρᾶς καὶ ἡ μερὶς αὐτοῦ μετὰ τῶν ἱεροσύλων· ἀλλ' ἵνα μένῃ ἐνταῦθα ἀδιάσπαστον εἰς αἰῶνα τὸν ἅπαντα, εἰς δόξαν πατρὸς υἱοῦ καὶ ἁγίου πνεύματος καὶ τῆς ἁγίας μεγαλομάρτυρος Ἰουλίττης ἐν τῷ προσκυνεῖσθαι καὶ ἀσπάζεσθαι παρὰ πάντων τῶν χριστιανῶν. Λείπουσι δὲ ἐξ αὐτῆς τῆς χειρὸς δάκτυλοι τρεῖς, ὁ ἀντίχειρ, ὁ λιχανὸς καὶ ὁ μέσος, σωζομένης τῆς παλάμης καὶ τῶν δύο μεγάλων δακτύλων καὶ τοῦ πήχεως ὅλου ἄχρι τοῦ ἀγκῶνος, συμπεφυκυίας ὅλης τῆς χειρὸς μετὰ τοῦ δέρματος. Σεσημείωται δὲ οὕτω κατὰ μέρος, ἵνα μηδεὶς τοῦ λοιποῦ τολμήσῃ ἀφελεῖν κἂν γοῦν μικρὸν μερίδιον ἐξ αὐτῆς τῆς ἱερᾶς χειρὸς καὶ πεσεῖται ὑπὸ τῷ ἄνωθεν ἐπιτιμίῳ· ἕνεκεν γὰρ τούτου ἐγράφη καὶ τὸ παρὸν καὶ ἐναπετέθη τῇ ἱερᾷ τούτου θήκῃ εἰς μαρτύριον καὶ ἀσφάλειαν. Κατὰ τὸ ,αχξζ' (1667-ον) ἔτος σωτήριον, κατὰ μῆνα σεπτέμβριον.

† Ὁ Ἱεροσολύμων πατριάρχης Νεκτάριος.

† Βηθλεὲμ Νεόφυτος.

[1] Ἐκ τοῦ ἀντιγράφου τοῦ ἐν τῷ κώδικι λειτουργιῶν καὶ πρωτοσυγκέλλων τοῦ Παναγίου Τάφου, φ. 59β. Κεῖται δὲ ὁ κῶδιξ οὗτος ἐν τοῖς ἀρχείοις τοῦ ἐν Ἱεροσολύμοις Πατριαρχείου.

6.

Ὅρια ἐπαρχιῶν τοῦ Ἱεροσολυμιτικοῦ πατριαρχικοῦ θρόνου [1].

Κατὰ τὸ ,αχξζ^ον (1667) ἔτος τῆς σωτηρίας, κατὰ μῆνα δεκέμβριον. — Τὴν σήμερον ἐρευνήσαντες καὶ ἐξετάσαντες ἀκριβῶς ἀπό τε τοῦ τακτικοῦ κώδικος τοῦ παλαιοῦ καὶ ἀπὸ τῶν ἱερέων τῶν εὑρισκομένων ἐν ταῖς ἐπαρχίαις ταύταις, Ναζαρέτ, Πτολεμαιδι καὶ Καισαρεία, διορίζονται τὰ ὅρια τῆς ἐπισκοπῆς Ναζαρὲτ κατὰ σχοίνου διάμετρον, ἀπὸ μὲν τῆς αὐτῆς Ναζαρὲτ ἕως τοῦ μεγάλου χειμάρρου τοῦ ἀνὰ μέσον αὐτῆς τῆς Ναζαρὲτ καὶ τῆς Πτολεμαΐδος, ἀπὸ δὲ τοῦ μεγάλου χειμάρρου ἕως τοῦ ποδὸς τοῦ βουνοῦ τοῦ Θαβωρίου ὄρους τοῦ στρεφομένου πρὸς δυσμάς, ἀπὸ δὲ τοῦ ποδὸς τοῦ βουνοῦ τούτου ἑτέρα διάμετρος ἕως τῆς Ναζαρέτ, καὶ ἀποκλείεται πᾶσα ἡ ἐπαρχία ὡς ἐν σχήματι τριγώνου. Τὰ δὲ σωζόμενα χωρία, ἐν οἷς εὑρίσκονται μέχρι τοῦδε χριστιανοί, εἰσὶ ταῦτα, δηλαδὴ τὰ χωρία ταύτης τῆς ἐπισκοπῆς. Σαφούρη, Ῥένη, Σεφαάμερ, Ἀπειλήν, Τάμρα, Σαχνίαι, Ἀρεμπιέ, Μουγάρ, Χατίν, Σέρτη, Ἐλ-Μιγγιαηντήλ, Ἐνταμοῦν, Σιάμπ, Λουμπίε, Σέγγερε, Τουράν, Κεφαρκινᾶν, Κεφαρμάντα, Ἐλ-Μεσιάδ.

Τὰ δὲ ὑποκείμενα χωρία τῇ μητροπόλει Πτολεμαΐδι εἰσὶ ταῦτα· Μάκρη, Μπαροῦα, Μεγγιτελκουροῦν, Ἐλμπάνε, Νόφχ, Κάπρα, Ἐράμε, Μπέητ-γγίν, Γγέρμακ, Ἐλ-Μπουκαηᾶ, Καφὰρ-Σούμαηρ, Σαχμονέτα, Ταρσίχα, Γιανούχ, Γγέρκα, Γγιοῦνες, Ἀμπουσινᾶν, Καφαργιασήφ, Κονηκάτ, Ἄμκα, Ἐλμάζραα, Σουμερίε, Ζήμπ, Ἐλμπάσα, Χουρφέση, Σάσα, Ἄλμα, Γιαροῦν, Καρσίφα, Ἀήτα, Σάφετ.

Τὰ τοῦ Καισαρείας ὅσα ἦλθον εἰς μνήμην. Χάηφα, Ῥουσιμία, Ἀλτήρε, Ταρτοῦρα, Ἀηγγαζάλ, Οὐμελζεηνάδ, Ὄσφια, Σιὲχ-Μπουρέκη, Ἐλ-Γουμπέηε, Οὐμιλφάχμη, Ταήνικ, Ῥομάνη, Γγι-

[1] Ἐκ τοῦ πρωτοτύπου τοῦ ἐν τῇ «Συλλογῇ διαφόρων ἐγγράφων» κτλ. σ. 59. Τὰ τοπικὰ ὀνόματα παρατίθενται ὧδε κατὰ τὴν ἐν τῷ πρωτοτύπῳ γραφήν.

νήν, Καμπάτη, Οὐμιλμπούτμου, Νοῦρες, Νάγουρα, Ἀντούρ, Ναΐν-Τάμρα, Κάφρα, Ἐλφούλη, Ἀφούλη, Ντένρ, Ζαρεήν, Ἀκλήτ, Ἐλ-Τάημπε.

Τὰ τῆς Σεβαστείας. Σεβάστεια, Μουστιγγιμπήν, Μπέητ-Μηρήν, Γγέμπα, Μεθαλοῦν, Ῥάμε, Μποῦρκα, Ἀνάπτα, Νακούρα, Γγινησία.

VII.

ΔΟΣΙΘΕΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ

ΠΡΑΞΕΙΣ καὶ ΓΡΑΜΜΑΤΑ.

1669 - 1706.

1.

(Φροντὶς περὶ τοῦ παραιτησαν ὄντος πατριάρχου Νεκταρίου) [1].

Τὴν δικαιοσύνην διανεμετικὴν ἑκάστῳ τοῦ κατ' ἀξίαν οἶδεν ὁ λόγος. Ἐπειδὴ λοιπὸν καὶ ὁ μακαριώτατος καὶ τῷ ὄντι σοφώτατος καὶ ἁγιώτατος πατὴρ ἡμῶν, ὁ δοὺς ἡμῖν ὄμματα κατὰ Θεὸν καὶ φῶς ἐν τῷ κόσμῳ—ὁ γὰρ πατριάρχης κύριος Νεκτάριος πιεζόμενος ἀπὸ τὰς συνεχεῖς καὶ ἀλλεπαλλήλους καὶ ἀφορήτους ἀσθενείας, ἅμα δὲ καὶ ἀπὸ τοῦ γήρους ἀδυνατῶν καὶ τὴν ἡσυχίαν ὥσπερ τινὰ λιμένα πάντων τῶν ἐναντίων ἐκλέξας, παρητήσατο τὸν ἀποστολικὸν θρόνον τῶν Ἱεροσολύμων τῇ τε συνόδῳ τῇ ἐν Κωνσταντινουπόλει, ἐπεὶ καὶ ἔτυχεν ἀποδημῶν, καὶ τῇ Ἀδελφότητι τῶν πατέρων τῶν Ἁγιοταφιτῶν καὶ τῇ κοινότητι πάσῃ τῶν χριστιανῶν ἀρχόντων καὶ λοιπῶν, ἀφ' ὧν τῇ χάριτι τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ψήφῳ κανονικῇ ἐπὶ τὸν θρόνον προεβιβάσθημεν, δίκαιον ἐφάνη καὶ εὔλογον, ἵνα κατὰ τὸ δυνατὸν ἡμῖν (τὴν γὰρ κατὰ τὸ πρέπον ἀνάπαυσιν μόνος ὁ Θεὸς δώῃ ἐν τῇ ἄνω Ἱερουσαλήμ) ἔχῃ τὴν ἀνάπαυσιν αὐτοῦ διὰ τοὺς μυρίους κόπους ὑποῦ εἰς σύστασιν τῆς ἁγίας ἐκκλησίας πεποίηκεν — ὅσον τὸ κατ' αὐτὸν τὴν γῆν καὶ τὴν θάλασσαν ἀναδραμὼν καὶ ὑγιὴς ὢν πρότερον, ὅτε προεβλήθη τὸν θρόνον, ἐν

[1] «Συλλογὴ διαφόρων ἐγγράφων καὶ κώδηξ τῶν ἱερῶν ὑπομνημάτων», σ. 54.

τῇ διακονίᾳ τῆς ἐκκλησίας κατεδαπάνησε μὲν τὴν ὑγείαν, ἐκτήσατο δὲ τὰς ἀσθενείας καὶ ἀδυναμίας τοῦ σώματος, δίδομεν τοίνυν εἰς ἀνάπαυσιν τῆς αὐτοῦ μακαριότητος τὸ ἔνδον τῆς Ἱερουσαλὴμ μοναστήριον τοῦ Ἀρχαγγέλου μὲ εἴ τι ἄρα εἰσόδημα ἔχει, ὅσον καὶ ἂν εἶναι, ἵνα ὑπάγῃ νὰ εὑρίσκεται ἐκεῖ, ὁπόταν βουληθῇ, ὡς ἴδιος οἰκοκύρης, καὶ τινὰς μὲ κανένα τρόπον μηδέποτε νὰ ἔχῃ νὰ τοῦ ζητήσῃ λογαριασμόν, μήτε εἰσοδήματος, μήτε περισσεύματος, ἀλλὰ εἴ τι καὶ ἂν ἔρχεται, κἂν τε ἀπὸ ἐκκλησίας, κἂν τε ἀπὸ τοὺς προσκυνητάς, κἂν τε ἀπὸ ἐλαίας ἢ ἀμπέλιον ἢ χωράφιον τοῦ Ἀρχαγγέλου, νὰ εἶναι ἐδικά του καὶ εἰς τὴν ἐξουσίαν του. Ἔπειτα οἱ προσκυνηταὶ νὰ ὑπαγένουν κατὰ τὴν ἀρχαίαν συνήθειαν προθύμως, κατὰ τὴν προσκύνησιν τῆς ἁγίας Βηθλεὲμ καὶ τοῦ ἁγίου Ἠλιού, εἰς τὸν Ἀρχάγγελον· νὰ γίνεται εὐσεβῶς καὶ ἀπαθῶς τὸ συνήθειον καὶ ὄχι κατά τινα περίστασιν νὰ ἀθετῆται τὸ πρὸς τὸν Ἀρχάγγελον ἔλεος, ὡς δῆθεν ἡ μακαριότης του λαμβάνει τὸ παρ' αὐτῶν ἔλεος.

Πρὸς τούτοις οἱ εἰς τὸν Ἀρχάγγελον καλόγηροι, ὅσοι εὑρίσκουνται δηλονότι ἐκεῖσε, νὰ εἶναι μὲ τὸ θέλημά του καὶ οὓς ἂν θελήσῃ μοναχός του· εἰ δὲ καὶ κατὰ τύχην εἶναι στενοχωρία τόπου διὰ πλήθους ἀδελφότητος, χωρὶς τοῦ θελήματός του τινὰς ἐκεῖ νὰ μὴ στέλλεται· καὶ ἂν τύχῃ εἰς τὸ μοναστήριον αὐτὸ (ὅπερ μὴ γένοιτο) φονικὸν ἢ ἀδικία ὁπωσοῦν παρά τινος τῶν ἐξουσιαστῶν ἢ ἄλλων τινῶν, τὸ Πατριαρχεῖον νὰ ἀποκρίνεται ἄχρι καὶ ὀβολοῦ, καὶ ἡ μακαριότης του νὰ εἶναι ἀνενόχλητος τὸ παράπαν.

Κατὰ τὴν συνήθειαν τὸ ὅ τι ψάρι ἀπ' Αἰγύπτου, ἢ μαγειρέματα ἢ ἄλλο τι ἐδίδετον καὶ δίδεται ἀπὸ τὸ Πατριαρχεῖον εἰς τὸν Ἀρχάγγελον, νὰ δίδεται πλουσιώτατα, καὶ ἁπλῶς εἰπεῖν νὰ ἔχῃ τὴν ἐλευθερίαν τὸ μοναστήριον ἁπλῶς, ὥστε ἐν τῷ Κοινῷ νὰ μὴ εἶναι καμμία βοήθεια παντάπασιν ἀπὸ τὸ μοναστήριον αὐτό, ἀλλὰ μάλιστα μὲ μεγάλην εὐλάβειαν καὶ ἀγάπην νὰ ἔχῃ τὴν κυβέρνησίν του καὶ νὰ εἶναι κοινὸς καὶ πνευματικὸς πατήρ, εἰς καύχημα καὶ τιμὴν τοῦ ἁγιωτάτου καὶ ἀποστολικοῦ θρόνου, παραινῶν καὶ διορθῶν τὴν Ἀδελφότητα ὡς ἄριστος ἰατρός.

Ἂν δέ τις ποτὲ φανῇ ἐναντίος εἰς τὰ ἄνωθεν δικαίως γεγραμμένα καὶ δεδομένα, κἂν τε μικρὸς εἴη, κἂν τε μέγας, ὁ τοιοῦτος ὡς ἄδικος καὶ Θεὸν μὴ φοβούμενος καὶ ὡς εἰπεῖν σκληροτράχηλος καὶ λιθοκάρδιος, ἐπεὶ πατρικὴν καὶ σεβασμίαν πολιὰν οὐκ αἰδεῖται, ἔστω ὑπόδικος ἀλύτῳ καὶ αἰωνίῳ ἀφορισμῷ καὶ ἐστερημένος τῆς δόξης τοῦ Θεοῦ εἰς αἰῶνα τὸν ἅπαντα. 1669 κατὰ μῆνα ἀπρίλιον.

2.

Ισον τοῦ συνοδικοῦ γράμματος, δι' οὗ ὁ μακαριώτατος σοφώτατός τε καὶ ἁγιώτατος δεσπότης ἡμῶν καὶ πατριάρχης τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ, κύριος κύριος Δοσίθεος, ἀπεκατέστησεν εἰς τὸν πατριαρχικὸν καὶ ἀποστολικὸν αὐτοῦ θρόνον σύναξιν ἐγκρίτων ἀδελφῶν, ἤτοι ἀριστοκρατείαν [1].

Ἱερώτατε ἀρχιεπίσκοπε Λύδδης κύριε Νεόφυτε καὶ ὑπέρτιμε, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργὲ τῆς ἡμῶν μετριότητος, καὶ ὁσιώτατοι ἅγιοι γέροντες κῦρ Λαυρέντιε, κῦρ Φιλόθεε, κῦρ Γεράσιμε, καὶ ὁσιώτατε ἅγιε πνευματικὲ παπᾶ κῦρ Σέργιε, τέκνα ἐν Κυρίῳ ἀγαπητὰ τῆς ἡμῶν μετριότητος, χάρις εἰρήνη καὶ ἔλεος εἴη ὑμῖν ἀπὸ Θεοῦ καὶ παρ' ἡμῶν εὐχὴ εὐλογία καὶ συγχώρησις.

Ἡμεῖς εἰς τὸ σπῆτι αὐτὸ τὸ εὐλογημένον εἴ τι ἐδυνήθημεν μὲ τὸ ἔλεος τοῦ Θεοῦ, ἐδουλεύσαμεν καὶ ἐκυβερνήσαμεν, καὶ εἰς οἰκοδομὰς καὶ εἰς χρέη καὶ κατὰ τῶν αἱρετικῶν καὶ ἐναντία τῶν κρατούντων· καὶ ἠθελαμεν κάμει ἀκόμα καὶ ἄλλα πολλά, ἂν δὲν μᾶς ἐμπόδιζαν ἡ κακαῖς κυβέρνησαις τῶν ἐπιτρόπων. Διὰ τοῦτο ἐβάλαμεν τὸν Πτολεμαΐδος μὲ σύναξιν, τάχα νὰ κυβερνήσουν καλλίτερα οἱ πολλοί, καὶ μὲ τὸ νὰ φατριάζουν καὶ νὰ στασιάζουν ἀναμεταξύ τους, ἔκαμαν πολλὰ καὶ ἄλλα κακὰ καὶ τὴν ζημίαν ὁποῦ ἔγινε διὰ τοὺς Ποιμένας· ὕστερον ἐβάλαμεν τὸν ἅγιον Λύδδης μαζῆ σας, ὁποῦ εἶστε παιδία μας καὶ φίλοι μας καὶ ἀδελφοί μας, θαρροῦντες πῶς νὰ κυβερνήσητε καλλίτερα, καὶ ἡ ἁγιω-

[1] Ἐξ ἰδιαιτέρου κώδικος ευρισκομένου ἐν τῷ Πατριαρχείῳ τῶν Ἱεροσολύμων καὶ περιέχοντος ἔγγραφα τοῦ πατριάρχου Δοσιθέου (σ. 31-34).

σύνη σας τώρα ἐκαταλάβαμεν ἀπὸ τὴν διχόνοιαν, ὁποῦ εἴπαμεν νὰ πάρῃ τὸ κλειδὶ ὁ γέρων Φιλόθεος. πῶς δὲν τρέχετε κατὰ Θεόν. Διὰ τοῦτο ἐγνωρίσαμεν εὔλογον καὶ κάμνομεν τὴν διόρθωσιν τούτην σὺν Θεῷ ἁγίῳ, καὶ ὅποιος ἀπὸ τοῦ νῦν παραστρατίσει, θέλει ἔχει τὴν ἐντροπὴν καὶ τὴν ἁμαρτίαν καὶ εἰς τὴν ψυχήν του καὶ εἰς τὴν ζωήν του, καὶ παρὰ Θεῷ καὶ παρὰ ἀνθρώποις. Λοιπὸν ἀποφαινόμεθα ἐν ἁγίῳ πνεύματι

Πρῶτον νὰ κάμετε ἕνα σεντοῦκι μὲ πέντε κλειδιά, καὶ νὰ εἶναι μέσα τὰ ἄσπρα τῆς ἐκκλησίας καὶ ἡ βούλλα τοῦ μοναστηρίου, καὶ νὰ εἶναι ἐπίτροπος ὁ ἅγιος Λύδδης, καθὼς καὶ ἦτον, καὶ γέροντες τῆς συνάξεως τρεῖς, ὁ Λαβρέντιος ὁ Φιλόθεος καὶ ὁ Γεράσιμος καὶ ὁ παπὰ Σέργιος καὶ τῆς συνάξεως μέλος καὶ γραμματικός· καὶ νὰ ἔχετε οἱ πέντε ἀπὸ ἕνα κλειδὶ τοῦ σεντουκίου, νὰ ἀνοίγετε ὅλοι μαζῆ, ὅταν κάμνει χρεία καὶ νὰ σφαλῆτε μαζῆ.

Δεύτερον νὰ εἶστε εἰρηνικοὶ ὁμονοιασμένοι καὶ ἰσόψυχοι, ὅσον εἰς τὴν ὑπηρεσίαν καὶ τὸ συμφέρον τοῦ Κοινοῦ, ὁποῦ νὰ μὴ εἶνε ἀναμεταξὺ καμμία ἐπιβουλή, ὥστε νὰ φρονῇ ὁ ἕνας "ἂς γένῃ ζημία εἰς ἐκεῖνον, διὰ νὰ εὔγῃ ἀπὸ τὴν ἐπιτροπικήν· ἂς γένῃ ζημία εἰς ἐκεῖνον νὰ εὔγῃ ἀπὸ τὴν τιμήν του"· ἀλλὰ ὅλοι νὰ συντρέχετε μὲ πᾶσαν προθυμίαν καὶ ἐπιμέλειαν διὰ τὸ συμφέρον τοῦ Κοινοῦ.

Τρίτον· τινὰς ἀπὸ ὑμᾶς, ὅταν εἶναι χρεία καὶ πρέπον νὰ ἐνεργήσῃ ἢ νὰ συντύχῃ, νὰ μὴ λέγῃ μὲ πάθος ἢ μὲ ἀμέλειαν "ἐγὼ ἐπίτροπος δὲν εἶμαι, ἐγὼ δὲν ὁρίζω"· ἀλλὰ τοῦτο, ἂν εἶναι διὰ οἰκονομίαν καὶ κυβέρνησιν, δὲν βλάπτει· ἀμὴ ἂν εἶναι διὰ πάθος ἢ ἀμέλειαν ἢ πεῖσμα, τινὰς νὰ μὴ τὸ λέγῃ, μήτε νὰ τὸ κάμνῃ, μόνον ὁλοψύχως καὶ μὲ ταπείνωσιν καὶ μακροθυμίαν νὰ λέγῃ καὶ νὰ ἐνεργῇ τὸ καλὸν τοῦ Κοινοῦ.

Τέταρτον· ὅταν γένῃ σύναξις, νὰ μὴ σιωπᾶτε κατὰ πάθος καὶ νὰ λέγετε ὕστερον "ἐκεῖνος τὸ εἶπεν, ἐκεῖνος πταίει, ἐκεῖνος τὸ ἔκαμεν, ἐγὼ δὲν πταίω, δὲν ἐσύντυχα, εἴδησιν δὲν ἔχω"· ἀλλὰ μὲ καθαρὰν συνείδησιν καὶ μὲ κατὰ Θεὸν ζῆλον νὰ συντυχαίνετε εἰς τὴν σύναξιν καθένας ἐκεῖνο ὁποῦ ἐγνωρίζει χωρὶς πάθος, χωρὶς πεῖσμα, χωρὶς φωναῖς· καὶ ἂν δὲν συμφωνήσητε

μὲ ἕνα πρῶτον, νὰ γένῃ καὶ δευτέρα καὶ τρίτη σκέψις, ἕως ὁποῦ νὰ συμφωνήσετε, καὶ νὰ μὴ θέλῃ καθένας νὰ γένῃ ὁ λόγος του, ἀλλὰ ὅποιος εἰπεῖ τὸ καλλίτερον, νὰ εἶστε εἰς ἐκεῖνο εὐχαριστημένοι, ὅτι ὡσὰν συντυχαίνετε εἰς τὴν σύναξιν κατὰ Θεὸν καὶ ὁμοφωνεῖτε κατὰ τὸ θέλημα τοῦ Κυρίου καὶ γίνονται ὅλα καλὰ καὶ εἴ τι ἀκολουθήσει, τὸ ἰξεύρομεν ἀπὸ τὸν Θεὸν καὶ ἤμεθα καὶ ἡμεῖς ἥσυχοι.

Πέμπτον· Λαβρέντιος, Γεράσιμος, Φιλόθεος· περιπατεῖτε ἀπ' ἔξω καὶ ὅπου κάθεστε, κἂν τε εἰς τὴν πόρταν, κἂν τε ἀλλοῦ, κἂν τε τοῦ πασιᾶ ἄνθρωπος ἔλθῃ, κἂν τε τοῦ κατῆ, κἂν τε σιέχης, κἂν τε ἄλλος ἄνθρωπος ὀρθόδοξος ἢ αἱρετικός, ἢ καὶ ἀδελφός, ἂν ἐρωτήσῃ ἢ γυρεύσῃ τίποτα, νὰ μὴ λέγουσιν "ἐγὼ θέλω καὶ ἀγαπῶ νὰ σοῦ δώσω, ἀμὴ ὁ δεῖνας δὲν ἀφίνει· ἐγὼ θέλω νὰ σοῦ δώσω, ἀμὴ φοβοῦμαι ἀπὸ τὸν δεῖνα· ἐγὼ δὲν ὁρίζω, μόνον ὁρίζει ὁ δεῖνας καὶ ὁ δεῖνας". Ἀλλὰ ὅποιος γυρεύσει καὶ εἰπεῖ τίποτα ἀναγκαῖον ἐκείνου ὁποῦ τὸ γυρεύσει, ἢ νὰ τὸ εἰπῇ ἢ νὰ τὸ συμπεράνῃ, ὅτι καὶ ἂν εἶναι μὲ λόγον καλόν, ἢ ἂν εἶναι ἀναγκαῖον καὶ εὔλογον, "μετὰ χαρᾶς· νὰ τὸ εἰποῦμεν τοῦ ἐπιτρόπου"· καὶ ἔτζη νὰ εἶναι καὶ οἱ τρεῖς γέροντες ἕνας σύνδεσμος, μία ψυχή, μία ἀγάπη καὶ ὁμόνοια, καὶ εἰς τὴν πόρταν καὶ μέσα καὶ ἔξω καὶ ὅπου κάθονται καὶ περπατοῦν, νὰ πνέουν καὶ νὰ φρονοῦν ἀγάπην εἰρήνην καὶ δικαιοσύνην.

Ἕκτον· ὅταν ἀνοίγουν ἡ φυλαῖς, εἴτε Φράγγοι εἴτε Ἀρμένιοι, καὶ κάμνουν λιτανείαις, Λαβρέντιος, Γεράσιμος, Φιλόθεος, παπᾶ-Σέργιος, νὰ εὑρίσκωνται μέσα εἰς τὸν Ἅγιον Τάφον εἴτε τὸ Ἅγιον Κουβούκλιον καὶ εἰς τὰ λοιπὰ προσκυνήματα, νὰ προσέχουν νὰ μὴ γίνεται καμμία καινοτομία, κανένα σκάνδαλον· καὶ καμμία φορὰ ἂν κάμνῃ χρεία, νὰ πέρνουσι καὶ ἄλλους ἀπὸ τοὺς ἀρχιμανδρίτας, ἀπὸ τοὺς πνευματικοὺς καὶ ἀπὸ τοὺς γέροντας, καὶ μάλιστα ὁ Κάλλιστος ἀπὸ λόγου του ποτὲ νὰ μὴ λείπῃ· ὅταν ὑπάγουν εἰς τὸν Ἅγιον Τάφον καὶ ὅταν ἀνοίγουν ἀπὸ ταῖς φυλαῖς καὶ ὑπάγουν μέσα οἱ προεστοί των, ὄχι εἰς ἡμέρας ἐπισήμους, ἀλλὰ τάχα διὰ προσκύνημα, πάλιν ἕνα-δύο γέροντες νὰ μὴ λείπουν.

Ἕβδομον· τὰ ἄσπρα τῆς Ἁγίας Πόρτας καὶ τοῦ Ἰορδάνου νὰ τὰ μαζώνῃ πάλιν ὁ κῦρ Λαβρέντιος, καθὼς τὰ ἐμάζωνε πάντοτε.

Ὄγδοον· παραδραγουμάνον νὰ βάλλετε ἢ τὸν Κύριλλον, τὸν ὁποῖον στέλλομεν τῶρα καὶ θαρροῦμεν νὰ φανῇ εὐάρεστος εἰς αὐτὸ τὸ δικόνημα· ἢ ἂν δὲν φανῇ αὐτὸς εὐάρεστος, βάλετε ὅποιον θέλετε. Μὲ τοῦτα ὅλα, ὅταν ἀνοίγῃ ἡ Ἁγία Πόρτα, ἐπειδὴ καὶ ἀπὸ τοὺς τρεῖς κανένας δραγουμάνος δὲν θέλει νὰ εἶναι διωρισμένος, ἀπὸ τοὺς τρεῖς νὰ μὴ λείπῃ ὁ ἕνας, καὶ ταῖς περισσότεραις φοραῖς νὰ εὑρίσκεται ἐκεῖ μάλιστα ὁ γέρων Λαβρέντιος. Καὶ πάλιν διὰ τὴν αὐτὴν αἰτίαν ὁπού δὲν θέλει νὰ εἶναι τινὰς διωρισμένος δραγουμάνος, ὅταν εἶναι τίποτα δουλεία ἀπορριξιμία, νὰ στέλνουν τὸν παραδραγουμάνον· ἀμὴ εἰς ταῖς χρείαις καὶ κυβέρνησαις τοῦ ὁσπητίου καὶ εἰς ταῖς πόρταις καὶ φυλαῖς καὶ φίλους νὰ περπατοῦν μαζῆ οἱ δύο, ὁ κῦρ Γεράσιμος καὶ ὁ κῦρ Φιλόθεος· καὶ ὅταν λείπῃ ὁ ἕνας, νὰ ὑπαγένῃ ὁ ἄλλος· ἀμὴ τοῦτο ὁπού νὰ εἶναι πότε ὁ ἕνας πότε ὁ ἄλλος, ἂν εἶναι τίποτα ἀρρωστία· νὰ μὴ τὸ δώσῃ ὁ Θεός· ἀμὴ ὅταν εἶναι καλά, ὅλον μαζῆ νὰ εἶναι. Ἔτι ἂν εἶναι τινὰς ἀπὸ τοὺς ἀδελφοὺς ἢ ἀρχιερεὺς ἢ ἱερομόναχος ἢ διάκονος ἢ καλόγηρος ἢ νέος ἢ γέρων ἢ καινούριος ἢ παλαιός, μακάρι ἂν εἶναι καὶ ἀπὸ τοὺς ἀδελφοὺς τῆς συνάξεως, ἂν σφάλῃ τίποτα μετὰ πρώτην καὶ δευτέραν νουθεσίαν, ἂν εἶναι ἀπὸ τὴν σύναξιν ὁ ἕνας, νὰ τὸν νουθετοῦν οἱ τέσσαρες· καὶ ἂν εἶναι ἄλλος, νὰ τὸν νουθετῇ ὁ ἐπίτροπος μὲ τὴν σύναξιν, χωρὶς πάθος, χωρὶς βλασφημίαις, χωρὶς πείσματα καὶ φιλονεικίαις, ἀλλὰ καθὼς νουθετεῖ ὁ θεῖος ἀπόστολος, μὲ πραότητα, μὲ μακροθυμίαν, μὲ ἀγάπην· ἂν καὶ τὸ πταίσιμον εἶναι πολύ, νὰ μὴ ἀποβλέπουν εἰς τὸ πταίσιμον, ἀλλ' εἰς τὴν διόρθωσιν. Εἰ δὲ καὶ δὲν διορθωθῇ ὁ ἀδελφὸς ἐκεῖνος, ἢ ἕνας εἶναι ἢ καὶ περισσότεροι, νὰ ἐλέγχωνται ἐπὶ συνόδου· καὶ ἂν δὲν διορθωθῇ, ἂν εἶναι τὸ πταίσιμόν του νὰ παιδευθῇ, νὰ παιδεύεται πρὸς σωφρονισμὸν τῶν ἄλλων· καὶ ἂν εἶναι διὰ νὰ γένῃ ἀναφορὰ εἰς τοῦ λόγου μας, νὰ ἀναφέρεται χωρὶς ἀναβολὴν φανερά.

Ἔννατον· τὸ σεντοῦκι ἂν ἔχῃ καμμίαν φορὰν τίποτα, ἀπὸ τοὺς πέντε καὶ ἄλλος νὰ μὴ τὸ ἰξεύρῃ, οὔτε μεγάλος οὔτε μικρός. Τὰ ὅσα γράφομεν καὶ εἶναι μυστικά, νὰ μὴ τὰ λέγῃ κανένας ἀπὸ τοὺς ἀδελφοὺς τῆς συνάξεως ἢ φίλου του ἢ ἀδελφοῦ του, ἢ ὑπηρέτου του, ἢ εἰς Τοῦρκον ἢ εἰς αἱρετικόν, μήτε μὲ λόγον μήτε μὲ ἔργον, μήτε μὲ σχῆμα, ἀλλὰ νὰ μένωσι πάντα μυστικὰ καὶ ἀνεκφώνητα· καὶ ἐκεῖνο ὁποῦ γράφομεν διὰ ταῖς ὑποθέσεις τοῦ μοναστηρίου, νὰ ταῖς κοινολογᾶτε συχνά, διὰ νὰ οἰκονομῆτε καλῶς καὶ ἀληθινῶς· νὰ εἶστε, κατὰ τὸν θεῖον ἀπόστολον, προεστῶτες πρεσβύτεροι διπλῆς τιμῆς ἀξιούμενοι, καὶ τῆς παρούσης καὶ τῆς μελλούσης. Καὶ ὅταν καμμία ὑπόθεσις ἔχει δυσκολίαν, νὰ κράζετε καὶ μερικοὺς ἀπὸ τοὺς ἄλλους ἀδελφούς, ἐγκριτους καὶ μυστικούς, νὰ συμβουλεύεσθε· μόνον νὰ στοχάζεσθε νὰ μὴ συντυχαίνουν κατὰ πάθος, ἀλλὰ κατὰ Θεόν, ἐπειδὴ ἐκεῖ ὁποῦ εἶναι κατὰ Θεὸν σύναξις, ἐκεῖ εἶναι ὁ ἴδιος Θεός.

Τοῦτα εἶναι, πατέρες ἅγιοι, ὁποῦ ἡ φιλονεικία ὁποῦ ἔγινεν αὐτοῦ εἰς ὑμᾶς μᾶς ἔμαθε νὰ τὰ θελήσωμεν καὶ νὰ τὰ ἀγαπήσωμεν, καὶ μάλιστα τὰ θαρροῦμεν τοῦ πνεύματος τοῦ ἁγίου λόγια· καὶ ἰδοὺ ὁποῦ τὰ γράφομεν ὄχι ὡς προσταγιαῖς, ἀλλ' ὡς ἀπόφασαις Θεοῦ· καὶ σᾶς προστάζομεν καὶ σᾶς παρακαλοῦμεν νὰ τὰ φυλάγετε καὶ νὰ τὰ ἐνεργῆτε, καὶ φυλάττοντές τα ἕως ὁποῦ σὺν Θεῷ ἁγίῳ νὰ σᾶς ἀπολαύσωμεν. Νὰ εἶστε εὐλογημένοι καὶ συγχωρημένοι παρὰ Θεοῦ κυρίου παντοκράτορος καὶ ὑμεῖς καὶ οἱ γονεῖς ὑμῶν, καὶ εἰς τὴν ἐκκλησίαν θέλετε φανεῖ εὐάρεστοι καὶ ὁ μισθὸς ὑμῶν ἔσται πολὺς ἐν οὐρανοῖς, καὶ ἡμεῖς πλέον δὲν θέλομεν σᾶς ἔχει ἄλλως, παρὰ φίλους καὶ ἀδελφούς· εἰ δὲ καὶ τινάς, εἰ καὶ πολλοὶ ἀπὸ λόγου σας δὲν θέλει τὰ καταδεχθῆ, ἢ θέλει τὰ μετρήσει παράξενα, ἢ θέλει τὰ μυκτηρίσει, ἢ δὲν θέλει τὰ ὑπακούσει, ἢ ὅλως διόλου θέλει φανῆ ἐναντίος καὶ εἰς ἕνα ἀπὸ τὰ εννέα κεφάλαια, καὶ δὲν σταθῆ καὶ δὲν φανῆ πρόθυμος εἰς τὰ γραφόμενα καὶ πιστὸς εἰς τὸ σπῆτι τοῦ Θεοῦ καὶ ὁμόψυχος μὲ τοὺς ἀδελφούς, ὁ τοιοῦτος, ὡς ἔχων σύνοικον ἐν ἑαυτῷ τὸν Διάβολον καὶ ὢν καὶ φαινόμενος ἐχθρὸς καὶ ἐπίβουλος καὶ προδότης καὶ

ἐπιζήμιος τοῦ οἴκου τοῦ Θεοῦ καὶ ἀνυπότακτος εἰς τὸν προεστὸν καὶ ἐπίβουλος καὶ φθονερὸς καὶ σκανδάλου αἴτιος εἰς τοὺς ἀδελφούς, ὁ τοιοῦτος ἔστω ἀσυγχώρητος καὶ ἀφωρισμένος παρὰ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, τοῦ ἑνὸς τῇ φύσει μόνου Θεοῦ, καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι, καὶ ἄλυτος μετὰ θάνατον καὶ τυμπανιαῖος καὶ ὑπόδικος τῷ αἰωνίῳ ἀναθέματι.

Πατέρες ἅγιοι, εἰπῆτε καὶ ἡ ἁγιωσύνη σας, "ἂν καὶ ὁ πατριάρχης εἰς τὸ σπῆτι ζῇ καὶ κυβερνᾷ πεισματικά, ἀνάθεμα ἔστω". Πατέρες, τί κακὸν σᾶς ἐκάμαμεν; οἱ ἀδελφοὶ τοῦ Ἁγίου Τάφου κινδυνεύουν εἰς τὸν κόσμον καὶ ταλαιπωροῦνται καὶ τὴν ἁγιωσύνην σας ἐβάλαμεν οἰκοκυροὺς καὶ εἰς τὰ κελλία σας* τί κακὸν σᾶς ἐκάμαμεν, καὶ ὅταν ἔλθῃ ἀπ' αὐτοῦ γράμμα, μᾶς κάμνετε καὶ ἀρρωστοῦμεν; Ὁ κόσμος ἐχάλασε καὶ τὰ ἔξοδά μας δὲν εὐγάνομεν· τί κακὸν εἴδετε ἀπὸ τὸν Ἅγιον Τάφον καὶ μὲ ταῖς διχόνοιαις σας κινδυνεύετε νὰ τὸν βάλλετε εἰς τὸ πρῶτον χρέος; Τῶρα ἐκεῖνα τὰ περασμένα διὰ ἀγάπην Θεοῦ ἐσυγχωρέθησαν καὶ ἰδῆτε νὰ λέγεται — νὰ ζῆτε — νὰ ἐνεργῆτε, ὡς γράφομεν ἐδῶ· καὶ ὅσοι δὲν θελήσουν, ἄλλα γράμματα πλέον δὲν γράφονται, παρὰ ἢ ἡμεῖς ἀναχωρίζομεν τοῦ Ἁγίου Τάφου, ἢ αὐτοὶ κληρονομήσουσι τὴν μοῖραν τοῦ προδότου Ἰούδα· συνεργοῦντες δὲ καὶ ζῶντες, καθὼς ἐδῶ διορίζονται, μακάριοι καὶ ἐν τῷ νῦν, μακαριώτατοι καὶ ἐν τῷ μέλλοντι (αἰῶνι) καὶ ὑμεῖς καὶ οἱ γονεῖς ὑμῶν.

αχπγ', αὐγούστου ιζ, ἀπὸ Κωνσταντινουπόλεως (1687).

✝ Ὁ Ἱεροσολύμων Δοσίθεος ἐν ἁγίῳ πνεύματι ἀποφαίνομαι καὶ προστάζω ἐξ ἀποφάσεως ἀλλέως μὴ γενέσθαι.

3.

Ἴσον τοῦ πατριαρχικοῦ καὶ συνοδικοῦ γράμματος περι τῶν ὧν δεῖ φυλάττειν τὸν κατὰ καιροὺς καθηγούμενον τοῦ παντίμου μοναστηριου τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ [1].

Ἐπειδὴ καὶ εὐδόκησεν ὁ Κύριος νὰ ἔλθῃ τὸ πάντιμον μοναστήριον τοῦ τιμίου Σταυροῦ εἰς τὴν προτέραν κατάστασιν, ἔδοξε τῇ ἡμετέρᾳ μετριότητι καὶ τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσι

[1] Ἐκ τοῦ αὐτοῦ κώδικος, σ. 35-36. Ἀπὸ τῆς σελιδος 37 κέ κεινται «Τοῦ μακα-

καὶ ὁσιωτάτοις ἀρχιμανδρίταις, πρωτοσυγκέλλοις τε καὶ πνευματικοῖς καὶ τοῖς γέρουσιν, ἵνα ὁ προχειρισθησόμενος ἐκεῖσε ἡγούμενος ἔχῃ διαφυλάξαι ταῦτα τὰ κάτωθεν κείμενα κεφάλαια.

Πρῶτον, ἵνα μηδενὸς χρήματος γένηται κύριος, ἤτοι ἐκ τῶν νοικίων, ἐκ τῶν προσκυνητῶν καὶ ἐκ τῶν ὑποστατικῶν τοῦ μοναστηρίου καὶ ἐξ ἄλλης οἱασδηποτοῦν ἐλεημοσύνης αὐτοῦ, κλέψαι ἢ ἁρπάσαι ἢ πλεονεκτῆσαι πολὺ ἢ ὀλίγον, ἢ χρήματα ἢ πράγματα πολλὰ ἢ ὀλίγα· ἀλλὰ εἴ τι ἄρα εἰσόδημα εἶναι, νὰ τὸ φανερώνῃ εἰς τὸ μέσον καὶ αὐτὸς νὰ εἶναι πάντῃ καὶ πάντως ἀσφαιτέριστος.

Δεύτερον, ἵνα πᾶσαν ἐσοδίαν τε καὶ ἐξοδίαν καταγράφειν ἐν καθαρῷ καταστίχῳ, πρὸς φανέρωσιν τῆς ἑαυτοῦ συνειδήσεως καὶ εἴδησιν τοῦ εἰσοδήματος καὶ ἐξοδίας τοῦ μοναστηρίου.

Τρίτον, ἵνα ἐπιμεληθῇ τοῦ μαθεῖν καὶ καταγράψαι ἐν καθαρῷ καταστίχῳ πάντα τὰ ὁσπήτια ὁποῦ εἶναι ἔξω τῶν μοναστηρίων, τὰ χωράφια, τοὺς τόπους, ἀμπέλια καὶ τὰς ἐλαίας τοῦ μοναστηρίου μετὰ τῶν συνόρων αὐτοῦ, καὶ τί δίδεται τῶν σπαχίδων καὶ λοιπῶν ἐξωτερικῶν διὰ τοὺς τινὰς τόπους τοῦ μοναστηρίου.

Τέταρτον, ἵνα εἰς τὸ μοναστήριον τοῦ Σταυροῦ ἐν μηδεμιᾷ ἑορτῇ ἢ ἄλλῃ ἡμέρᾳ δύνασθαι κοιμᾶσθαι γυναῖκα, εἴτε καλογραία εἴτε κοσμική, μήτε ἐμφιλοχωρεῖν συνεχῶς εἰς τὸ μοναστήριον· ἀλλ' εἴ τις δι' εὐλάβειαν ἀπέρχεται ἐκεῖσε, μόνον λειτουργίαν νὰ ἀκούῃ, καὶ τοῦτο ἢ εἰς τὰς Κυριακὰς ἢ εἰς τὰς δεσποτικὰς ἡμέρας, τὰς δ' ἄλλας ἀποσείεσθαι ταύτας· τοῦτο δεῖ δὲ ἐννοεῖσθαι καὶ περὶ νέων παιδίων.

ριωτάτου σοφωτάτου τε καὶ παναγιωτάτου κυρίου κυρίου Δοσιθέου, ἡμετέρου αὐθεντὸς δεσπότου τε καὶ κηδεμόνος, ἐπιστολαὶ ἐκ πολλῶν ὀλίγαι πρὸς τοὺς κατὰ καιροὺς ἐπιτρόπους καὶ τοποτηρητὰς τοῦ ἀποστολικοῦ αὐτοῦ θρόνου, ἀρχόμεναι ἀπὸ τοῦ αχπε' (1685) ἔτους τῆς σωτηρίας ἡμῶν». Ἐν μια δὲ τούτων, γραφείσῃ «ἀπὸ Ρέγλιαν» τῇ 20 ὀκτ. 1685 πρὸς τὸν Πτολεμαΐδος Ἰωάσαφ (σ. 38), λέγει Δοσίθεος· «ὁ παπᾶ κῦρ Νεόφυτος διδότω γραμματικὴν τοῖς βουλομένοις», ὅ ἐστι διδάσκειν ἑλληνικὴν γραμματικὴν ἐν Ἱεροσολύμοις. Ἐν ἄλλῳ δὲ γράμματι πρὸς τὸν αὐτὸν ἐπίτροπον Ἰωάσαφ (σ. 39), γραφέντι ἐν Κωνσταντινουπόλει τῇ 23 νοεμβρίου 1685, διατάττει τοῦτο· «Τὸν παπὰ κῦρ Σωφρόνιον ὁποῦ ἐβάλατε εἰς τὴν ἁγίαν Βηθλεέμ. . . . . καὶ ἡ ἁγιωσύνη του εἰς τὴν Βηθλεὲμ νὰ διαβάζῃ καὶ μερικὰ παιδία ψαλτικά· ἴσως νὰ ἐμάνθαναν τὰς τρεῖς λειτουργίας καὶ τὰ ἀναστάσιμα».

Πέμπτον, ἵνα ἐρχόμενος ὁ ἡγούμενος εἰς τὸ κάστρον, μηδ' ὅλως ἀπέρχεσθαι εἰς μοναστήριον Ἰβέρικον, ἀλλ' ἐνταῦθα ἐν τῷ Πατριαρχείῳ καὶ ἔρχεσθαι καὶ θεωρεῖν τὰ κατ' αὐτὸν καὶ μένειν ἐν τῷ μοναστηρίῳ, εἶτα ἀπέρχεσθαι ἐν τῷ μοναστηρίῳ.

Ἕκτον, ἵνα ἐκεῖσε ζῇ κοινοβιακῶς κατὰ τὸ δυνατόν, κατὰ τὴν τάξιν τῶν κατὰ τὸ παρὸν ἐγκριτοτέρων κοινοβίων.

Ἕβδομον καὶ τελευταῖον, ἵνα ἐν τοῖς ἀναγκαίοις πράγμασιν ἐνεργῇ κατ' ἐρώτησιν καὶ συμβουλὴν τοῦ Πατριαρχείου.

Προσθετέον καὶ ὄγδοον, ἵνα ἐπιμελῆται διορθοῦν τὰς ἐν τῇ ἀνάγκῃ τοῦ μοναστηρίου συμβεβηκυίας κακὰς συνηθείας, εἴτε εἰς χρήματα, εἴτε εἰς ἄλλας περιποιήσεις τῶν τε φελάχιδων καὶ λοιπῶν ἐξωτερικῶν, ὁτὲ μὲν αὐτός, ὁτὲ δὲ διὰ τῆς δυνάμεως σὺν Θεῷ τοῦ Πατριαρχείου.

Βουλόμεθα δὲ σὺν Θεῷ τὰ εἰρημένα μένειν ἀμετασάλευτα καὶ ἀμεταποίητα, καὶ ἐκ τοῦ ἡγουμένου τοῦ μοναστηρίου καὶ ἐκ τοῦ ἐπιτρόπου καὶ τῆς συνάξεως· ὅστις δὲ ταῦτα μετακινῆσαι βουληθείη ἐκ πάντων αὐτῶν, ἢ ἄλλως περὶ τούτων διορίσασθαι καὶ ἐνεργεῖν ἐθελήσει, ὡς φθορεὺς τοῦ καλοῦ καὶ νεωτεριστὴς ἐν τοῖς σεβασμίοις, ἀφωρισμένος εἴη παρὰ πατρὸς υἱοῦ καὶ ἁγίου πνεύματος, τοῦ ἑνὸς τῇ φύσει μόνου Θεοῦ, καὶ κατηραμένος καὶ ἄλυτος μετὰ θάνατον, καὶ ἡ μερὶς αὐτοῦ μετὰ τοῦ προδότου Ἰούδα. Ἐν μηνὶ ἀπριλλίῳ, τῷ ,αχπεῳ ἔτει (1685).

† Ὁ Ἱεροσολύμων Δοσίθεος ἀποφαινόμενος ἐν ἁγίῳ πνεύματι.

† Ὁ εὐτελὴς πρώην Πέτρας.

† Ὁ Πτολεμαΐδος Ἰωάσαφ.

† Ὁ Λύδδης Νεόφυτος.

† Ὁ Γάζης Χριστόδουλος.

† Ὁ Φιλαδελφείας Φώτιος.

† Κατὰ τὴν στοργὴν καὶ ὑπογραφὴν τῶν ἀρχιερέων κἀγὼ Δανιὴλ ἱερομόναχος ἀποφαίνομαι.

† Ὁ ἐλάχιστος Ἀκάκιος ἱερομόναχος ὑπογράφω τὰ ἄνωθεν.

† Δανιὴλ ἱερομόναχος.

4.

(Γράμμα πρὸς τὸν ἀρχιεπίσκοπον Γάζης Χριστόδουλον περὶ τῶν ἐν Ἱεροσολύμοις καὶ Κωνσταντινουπόλει τῶν Λατίνων ἐνεργειῶν εἰς ἁρπαγὴν τῶν προσκυνημάτων) [1].

Δοσίθεος πατριάρχης τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ καὶ πάσης Παλαιστίνης.

† Θεοφιλέστατε ἀρχιεπίσκοπε Γάζης κύριε Χριστόδουλε, ἐν Χριστῷ τῷ Θεῷ ἀγαπητέ, ἡ χάρις τοῦ παναγίου πνεύματος ἔστω μετὰ σοῦ.

Τὴν ιη' Ἰουλίου γεγραμμένην ἐπιστολήν σου ἐλάβομεν καὶ χαίρομεν ὅτι ὑγιαίνεις. Ὁ ἀρχιμανδρίτης δὲν ἠξεύρομεν ποίους μᾶς ἔστειλε μὲ τὰ γράμματα καὶ ἀκόμι δὲν ἠμποροῦν νὰ ἔλθουν. Λοιπὸν ἀπὸ τὸ ὑμέτερον γράμμα ἐκαταλάβαμεν τὰ ἔργα τῶν Δυτικῶν καὶ ἐστείλαμεν μὲ τὸν παπᾶ Δανιὴλ τοῦ ὁρισμοῦ των τὸ ἴσον, καὶ ἰδὲ καὶ ἐκεῖνα ὁποῦ ἔκαμαν εἶναι ἔξω ἀπὸ τὴν βασιλικὴν προσταγήν. Ἐθαύμασα δὲ πῶς φρονεῖς εἰς τὸ προοίμιον τοῦ γράμματός σου. Καὶ τὰ γράμματα καὶ τὰ γηρατεῖα τῶρα εἶναι καιρὸς νὰ φανοῦν; ἀκούεις; τὰ πρόσωπα ἀλλάσσουν εἰς τὴν ἐκκλησίαν, ἀμὴ ὁ τρόπος τῆς διοικήσεως τῆς θείας προνοίας εἶναι εἰς καὶ ὁ αὐτός. Ἄλλοι ἂν παραπονοῦνται διὰ τὰ πάθη, ἴσως καὶ ἔχουν πρόφασιν (καὶ λέγω τὸ ἴσως, ὅτι ὅλοι ἔχουσιν οἱ χριστιανοὶ τὸ ἱερὸν εὐαγγέλιον καὶ δὲν πρέπει νὰ ἐνεργοῦν παρὰ τὸν σκοπόν του)· ἀμὴ αὐτοὶ εἵστεν ἐκεῖ ὁποῦ ἔπαθεν καὶ ἐσταυρώθη ὁ Κύριος καὶ ἔπαθον καὶ ἐδιώχθησαν καὶ ἐκαταφρονέθησαν οἱ ἀπόστολοι καὶ δὲν πρέπει ἔτζι εὔκολα νὰ παραπονεῖσθε διὰ τὰ

[1] Ἐκ τοῦ αὐτοῦ κώδικος, σ. 185-186. Ἐν δὲ τῇ 183-ῃ σελίδι κεῖται ἐπιγραφὴ τοιαύτη· «Τοῦ αὐτοῦ μακαριωτάτου καὶ σοφωτάτου καὶ ἁγιωτάτου πατρὸς ἡμῶν καὶ δεσπότου, πατριάρχου τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν Ἀναστάσεως, κυρίου κυρίου Δοσιθέου, ἐπιστολαὶ μερικαὶ ἐξ ἀπείρων ὀλίγαι πρός τινας τῶν ἀρχιερέων ἱερομονάχων χριστιανῶν μουφτίδων πασιάδων καὶ ἄλλων ἀξιωματικῶν ἐθνικῶν, καὶ αἱ πρὸς τοὺς εὐσεβεστάτους αὐθέντας καὶ καθολικοὺς καὶ ἀρχιερεῖς καὶ τετοπάλισσας καὶ αὐθεντοπούλους καὶ περιβλέπτους ἄρχοντας τῆς τε ἄνω καὶ κάτω Ἰβηρίας· καὶ πρῶτον αἱ πρὸς τὸν ἀρχιεπίσκοπον Γάζης», ὧν τὴν πρώτην τάξιν ἔχει ἡ νῦν ἐνταῦθα τυπουμένη. Περὶ δὲ τοῦ Χριστοδούλου ὅρα τὴν Ἱεροσολυμιτικὴν Βιβλιοθήκην, τόμον Ι, σ. 473.

συμβαίνοντα πάθη. Τριακοσίους δέκα χρόνους προτήτερα ἦτον ὁ Ἅγιος Τάφος ναὸς τῆς Ἀρτέμιδος καὶ περίπου τὰ ἑξακόσια πέντε ἔτη τῆς σωτηρίας τὸν ἔκαυσαν οἱ Πέρσαι, καὶ εἰς τοὺς ὀκτακοσίους δώδεκα κατέκοψαν τοὺς χριστιανοὺς τῆς ἁγίας πόλεως καὶ τῆς Παλαιστίνης καὶ τοὺς λοιποὺς ἐφυγάδευσαν· καὶ εἰς ἐννεακοσίους ἑβδομήντα πέντε ἔκαυσαν τὸν ναὸν τοῦ Ἁγίου Τάφου καὶ Ἰωάννην τὸν πατριάρχην μὲ τὰ λοιπὰ προσκυνήματα μοναστήρια καὶ ἐκκλησίας καὶ εἰς τοὺς χιλίους ἐνενηταεπτὰ ἐπῆγαν οἱ Φράγγοι εἰς τὰ Ἱεροσόλυμα καὶ ἔκαμαν τὰ περισσότερα εἰς τὰ μοναστήρια προσκυνήματα ἐκκλησίαις καὶ χριστιανούς, καὶ ἕως χιλίους τριακοσίους ὀκτὼ ἐπολεμοῦσαν μὲ τοὺς Ἄραβας, καὶ πότε τὸ ἕνα μέρος ἐνίκα, πότε τὸ ἄλλον, καὶ ἐφθάρησαν πόλεις καὶ χῶραι καὶ ἐκκλησίαις καὶ μοναστήρια, καὶ τὰ προσκυνήματα ἐκαταπάτησαν καὶ τοὺς χριστιανοὺς ἠφάνησαν καὶ ὁ Θεὸς ὅλα τὰ ἐδιώρθωσε, καὶ τῶρα ἐχάλασεν ὁ κόσμος, ὁποῦ ὁρισμὸς τῆς βασιλείας ἔτζι δὰ ἔγραφε; καὶ ὑμεῖς τί εἶναι αὐτὸ ὁποῦ κακοπέσετε ἔτζι εὔκολα καὶ θρηνεῖτε καὶ ὀδύρεσθε; μή να ἐκριθήκαμεν καὶ μᾶς ἐνίκησαν; μή να ἐπῆραν μετὰ τὴν κρίσιν ἀποφασιστικὸν ὁρισμόν; μή να οἱ Τοῦρκοι τοὺς ἐπεριποιήθησαν διὰ ἀγάπην ὁποῦ τοὺς ἔχουν; Ὁ καιρὸς τὸ ἐκάλεσε καὶ ἔκαμαν καὶ αὐτοὶ κυβέρνησιν ἀπὸ ἀνάγκην τους. Εἶναι χρεία νὰ μὴ ὀλιγοψυχοῦμεν καὶ νὰ θρηνοῦμεν σὰν μικρὰ παιδία· μόνον νὰ ἔχετε ὑπομονὴν καὶ νὰ παρακαλῆτε τὸν δεσπότην Χριστὸν διὰ τὸ καλλήτερον, καὶ εἰ μὲν εὐδοκήσει νὰ τὰ διορθώσῃ, χάρις αὐτῷ· εἰ δὲ καὶ τὰ ἀφήσει ἔτζι, θεομάχοι δὲν ἠμποροῦμεν νὰ γενοῦμεν, ἀλλὰ μόνον θέλομεν κυβερνηθῆ, καθὼς ἠμπορέσει, ἂν καλὰ καὶ ἐλπίζομεν εἰς τὸ ἔλεός του νὰ διορθωθοῦν καλλήτερα παρὰ πρῶτα. Ἄκουσε. Ἀπὸ τὸ σεφέρι τῆς Ῥάμπας, ὁποῦ εἶναι τῶρα σωστοὶ 25 χρόνοι ὁποῦ ἐνικήθη ὁ Κιουπρουλόγλης εἰς τὴν Νεμτζίαν καὶ ἦλθεν ὁ μεγάλος ἐλτζῆς, εἰς τὴν Πόλιν ὀηλονότι, ἔχουν τόσοι ἐλτζῆδες ὁποῦ ἔρχονται καὶ γυρεύουν τὰ προσκυνήματα· καὶ ἂν καλὰ καὶ ἐκριθήκαμεν, ἀμὴ πάλιν τὰ ἐγύρευαν καὶ μᾶς εὔγαλναν τὸν χρόνον ἀπὸ 25 καὶ 30 πουγγία· τῶρα ἤθελε διορθωθῆ νὰ λείψουν τὰ σκάνδαλα τὰ καθημερινὰ καὶ

τὰ ἔξοδα τὰ ὑπέρογκα καὶ θέλομεν κοιτάξει τοῦ λόγου μας νὰ ζήσωμεν καθὼς ἠμπορέσομεν; Καὶ λοιπὸν αὐτὰ ὅποιος ἔχει νοῦν, δὲν τὰ συλλογίζεται· μόνον εὐχαριστᾶ τὸν Θεὸν καὶ κάμνει ὑπομονήν, διὰ νὰ τοῦ δώκῃ ὁ Θεὸς τὸ ἔλεός του, ὡσὰν ὁποῦ εἶναι Θεὸς ἐλέους. Καὶ αὐτὰ τὰ μαχζάρια ὁποῦ ἔκαμαν τῶρα (= οἱ Δυτικοί), εἶναι τὸ οὐδετίποτα· μόνον θαρρεῖς τὰ χογγέτια ὁποῦ ἔκαμαν οἱ Φράγγοι μὲ τὸν Σαλὴχ-πασιὰν καὶ μὲ τὴν γερουσίαν τῶν υἱῶν τῆς ἀπωλείας, ἢ τὰ ἄλλα χογγέτια καὶ μαχζάρια ὁποῦ ἔκαμαν πρῶτα καὶ ὕστερα, τοὺς ὠφέλησαν τίποτα; ἢ αὐτὸς ὁ φράρος ὁ ὑπερήφανος ἐκατώρθωσε τίποτα; Μόνον ὁ καιρὸς εἶναι ὁποῦ τὰ ἔκαμε αὐτὰ ὅλα· καὶ ἂς ἰδοῦμεν εἰς ἐκεῖνα ὁποῦ ὑπεσχέθηκαν οἱ ἀντικείμενοι, τάχα τὰ ἐνεργοῦν, τάχα γίνουνται; Δὲν ἐβαρεθήκετε εἰς τὸν κατὴν κάθε χρόνον νὰ ἐξοδιάζετε; τῶρα ὁποῦ ἐγίνηκεν ἔτζι, ἐλπίζομεν νὰ διορθωθοῦν καὶ νὰ ἐλευθερωθοῦμεν ἀπὸ τὰ καθημερινὰ σύζαλα. Λοιπὸν τὰ ὅσα χρειάζονται κυβέρνησιν ἐδῶ, ἡμεῖς ἔχομεν αὐτῶν τὴν ἔννοιαν σὺν Θεῷ· τὰ δὲ ὅσα χρειάζονται αὐτοῦ, νὰ τὰ κάμνετε εἶναι χρεία, ὄχι μόνον ὁ ἐπίτροπος, ἀλλὰ καὶ ὅλοι ὑμεῖς νὰ στέκεσθε εἰς τὸ μοναστῆρι ὡσὰν καὶ πρῶτα καὶ καλλήτερα· νὰ εἶναι οἱ πατέρες καὶ τὰ μοναστήρια καὶ μέσα καὶ ἔξω περισυμμαζομένοι· οἱ χριστιανοὶ νὰ εἶναι εἰς τὴν ἐκκλησίαν τους μὲ τιμὴν καὶ ἐπιμέλειαν, ὁποῦ πρέπει. Εἰς τὸν Ἀβραὰμ νὰ εἶναι οἱ αὐτοὶ διδάσκαλοι, νὰ διαβάζουν τὰ παιδία γράμματα μὲ τὴν αὐτὴν ἐπιμέλειαν, καὶ ἡ ἀρχιερωσύνη σου καὶ ξεχωριστὰ γράφε εἰς τὰς χώρας καὶ κάστρη καὶ παρηγόρα τοὺς χριστιανοὺς νὰ στέκωνται εὐραῖοι. Διὰ ἐκεῖνο εἰς τὸ σπῆτι ἀνατράφης καὶ ἐτιμήθης — καὶ ἐπαινῶ σε — διὰ νὰ συντρέχῃς καὶ ἡ ἀρχιερωσύνη σου εἰς τοιαύταις ὥραις καὶ ὄχι νὰ καρτερῇς νὰ σὲ γράψωμεν ἡμεῖς· μόνον νὰ συλλογίζεσαι τί πρέπει νὰ κάμνῃς καὶ νὰ τὸ ἐνεργῇς μοναχός σου, ὄχι μὲ ὕβρεις καὶ λόγια, ὁποῦ παρακινοῦν σκάνδαλα, ἀλλὰ μὲ λόγον εὐαγγελικόν. Τρεῖς χρόνους ἐπεριπάτησεν ὁ προφήτης Ἡσαΐας ξεπόλυτος, οἱ ἀπόστολοι ἐγίνηκαν θέατρον ἀγγέλοις καὶ ἀνθρώποις. Λοιπὸν κοπίασον καὶ αὐτὸς ἀπὸ κελλὶ εἰς κελλί, εἰς τὰ μοναστή-

ρια, εἰς ταῖς ἐκκλησίαις, εἰς τοὺς ξένους, εἰς ἐντόπιους, εἰς χατζῆδες, καὶ παρηγόρα καθένα, καθὼς πρέπει· καὶ ἂν δὲν τὸ ἠξεύρουν οἱ ἄνθρωποι, τὸ γνωρίζει ὁ Θεός· καὶ ἂν σὲ μέμφουνται τινές, μέμνησο τὸ "εἰ ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην"· κἂν ὀλιγοψυχοῦν οἱ χριστιανοὶ καὶ οἱ κυβερνῆται, παρηγόρα, ἐπάλειφε. Καὶ λοιπὸν ἀγωνίσου τὸν καλὸν ἀγῶνα καὶ θέλει γνωρισθῆ καὶ παρὰ Θεῶ καὶ παρὰ ἀνθρώποις ὁ κόπος σου. Ἂν ὁ παπᾶ κῦρ Δανιὴλ εἶναι ἀκόμη αὐτοῦ, νὰ διαβάσῃ τὸ γράμμα του καὶ νὰ ἐνεργήσῃς, καθὼς γράφομεν ἐκεῖ· καὶ τὸ παρὸν γράμμα σὲ ὁρκίζω εἰς τὸν Θεὸν νὰ τὸ διαβάσῃς εἰς ὅλους τοὺς πατέρας ὁμπρὸς καὶ εἰς ὅλα τὰ μοναστήρια, καὶ νὰ ἔχωμεν καὶ γράμμα σου διὰ ταῖς καλαῖς σου ὑγείαις, ἵνα καὶ τὸ τοῦ Θεοῦ ἄπειρον ἔλεος εἴη μετὰ σοῦ. 1690 σεπτεμβρίου 10, ἀπὸ Ἀδριανοῦ.

5.

(Ἐγκύκλιος ἐλέγχουσα ψευδεῖς ἀγγελίας περὶ τῶν προσκυνημάτων)[1].

Οἱ ἀπανταχοῦ εὑρισκόμενοι ὀρθοδοξότατοι χριστιανοί, πανιερώτατοι μητροπολῖται καὶ ὑπέρτιμοι, θεοφιλέστατοι ἐπίσκοποι, ἐν ἁγίῳ πνεύματι ἀγαπητοὶ ἀδελφοὶ καὶ συλλειτουργοὶ τῆς ἡμῶν μετριότητος· ὁσιώτατοι ἱερομόναχοι καὶ πνευματικοί, εὐλαβέστατοι ἱερεῖς, λογιώτατοι κληρικοί, εὐγενέστατοι ἄρχοντες, θεοφιλέστατοι προσκυνηταὶ τοῦ Ἁγίου Τάφου, χρησιμώτατοι πραγματευταὶ καὶ ἅπαξ ὁ τοῦ Κυρίου χριστώνυμος λαός, τέκνα ἐν Κυρίῳ ἀγαπητὰ τῆς ἡμῶν μετριότητος, χάρις εἰρήνη καὶ ἔλεος εἴη ὑμῖν ἅπασιν ἀπὸ Θεοῦ καὶ ἀπὸ τοῦ Παναγίου Τάφου βοήθεια καὶ ἐπίσκεψις, παρ' ἡμῶν δὲ εὐχὴ εὐλογία καὶ συγχώρησις.

[1] Ἐξ ἰδίου κώδικος ὑπάρχοντος ἐν τῇ βιβλιοθήκῃ τῆς ἐν Ἱεροσολύμοις πατριαρχικῆς αὐθούσης· συνίσταται ἐκ φύλλων χάρτου 67· ἐπιγραφὴν δὲ τοιαύτην ἔχει· «Ἴσα τῶν γενομένων συνοδικῶν κατὰ τῶν νεωτερισμῶν τῶν ἐπισκόπων τοῦ ὄρους Σινᾶ ἀπὸ τῆς πατριαρχείας τῶν ἀοιδίμων πατριαρχῶν Ἱερεμίου Κωνσταντινουπόλεως καὶ Γερμανοῦ Ἱεροσολύμων καὶ καθεξῆς μέχρι τῶν νῦν ἁγιωτάτων καὶ μακαριωτάτων πατριαρχῶν, Καλλινίκου Κωνσταντινουπόλεως καὶ Ἱεροσολύμων κυρίου Δοσιθέου, τοῦ θειοτάτου αὐθεντὸς ἡμῶν καὶ δεσπότου». Τὸ νῦν ἐκδιδόμενον ἐγκύκλιον γράμμα περιέλαβεν ἐξ ἀρχῆς τούτου τοῦ κώδικος (φ. 37β-40α).

Τριακοσίους δέκα ὀκτὼ χρόνους ἦτον ἀπάνω εἰς τὸ Ἅγιον Σπήλαιον τὸ εἰδωλον τοῦ Ἄδωνι, καὶ εἰς ἑξακοσίους δεκαπέντε ἐκαυσε τὰ προσκυνήματα ὁ περσάρχης Χοσρόης καὶ ἐκαταρήμαξε τὰ μοναστήρια τῆς ἐρήμου, τοὺς πατέρας ἔσφαζε καὶ τοὺς χριστιανοὺς ἀγόραζον οἱ Ἑβραῖοι καὶ ἔσφαττον· καὶ ἂν καλὰ καὶ ὁ Μόδεστος ἔκαμε κάποιαις ἀνακαίνισαις καὶ ὁ βασιλεὺς Ἡράκλειος εἰς τοὺς ἑξακοσίους εἰκοσιπέντε ἤφερε τὰ τίμια ξύλα εἰς τὴν Ἱερουσαλὴμ καὶ ἀνακαίνισε καὶ μερικὰ τῶν κατασκαμμένων· ἀμὴ εἰς τοὺς ἑξακοσίους τριάντα ἑπτὰ ἐπῆρεν ὁ Ὁμέρης τὴν Ἱερουσαλὴμ καὶ τοὺς ἀφανισμοὺς ὁποῦ ἔκαμε, ποιὸς νὰ τοὺς γράψῃ; Τόσον μόνον νὰ εἰποῦμεν, ὅτι ὁ πατριάρχης Σωφρόνιος μὴν ἠμπορῶντας νὰ ὑπάγῃ εἰς τὴν Βηθλεὲμ νὰ προσκυνήσῃ, ἐκαίετον ἀπὸ τὰ δάκρυα. Τόσα ἦσαν τὰ κακὰ μεγάλα, ὁποῦ μετὰ τὸν Σωφρόνιον εἴκοσι ἐννέα χρόνους ἔμεινεν ὁ θρόνος χωρὶς πατριάρχην. Ἐπὶ δὲ τοῦ Κοπρωνύμου, ὁ Ἀβδελᾶς ὁ ἄρχων τῶν Ἀράβων ἐπρόσταξε σταυροὺς νὰ μὴ φαίνεται εἰς τὰ Ἱεροσόλυμα, καὶ τοὺς καλογήρους ἐχαράτζωσε, καὶ τὰ σκεύη τοῦ Ἁγίου Τάφου καὶ τῶν λοιπῶν προσκυνημάτων τὰ ἐπήρασιν οἱ Ἑβραῖοι· καθὼς καὶ εἰς τοὺς ἑξακοσίους ὀγδοῆντα, εἰς τὴν ἕκτην οἰκουμενικὴν σύνοδον, τόσον ἦτον τὰ προσκυνήματα καταφρονεμένα, ὁποῦ τὸν πατριάρχην Θεόδωρον εἴχασιν ἐξωρισμένον δύο χιλιάδας μίλια μακρὰ(ν) ἀπὸ τὴν Ἱερουσαλήμ. Ἐπὶ Μιχαὴλ τοῦ Κουροπαλάτου, ἤτοι εἰς τοὺς ὀκτακοσίους δέκα, τόσος ἀφανισμὸς ἐγίνηκεν εἰς τὰ προσκυνήματα καὶ διωγμὸς εἰς τοὺς χριστιανούς, ὁποῦ ὅλοι ἔφυγαν εἰς τὴν Κύπρον καὶ εἰς τὴν Κωνσταντινούπολιν, καθὼς σημειώνουσι κοινῶς ὅλοι οἱ ἱστορικοὶ καὶ μαρτυρεῖ καὶ ὁ βίος Μιχαὴλ τοῦ Συγκέλλου. Εἰς τοὺς ἐννακοσίους ἐξῆντα, πατριαρχοῦντος Χριστοδούλου, κατέστρεψαν οἱ Σαρακηνοὶ καὶ κατέσφαξαν τοὺς Χριστιανοὺς τῆς Ἱερουσαλὴμ καὶ τὰ προσκυνήματα κατεπάτησαν. Καὶ εἰς τοὺς ἐννεακοσίους ὀγδοῆντα τρεῖς κατέκαυσαν τὸν ναὸν τοῦ Ἁγίου Τάφου καὶ Ἰωάννην τὸν πατριάρχην· καὶ ἂν καλὰ καὶ ἀνακαινίσθη, ἀμὴ οἱ Ἑβραῖοι ἔγραψαν εἰς τὸν σουλτάνον τοῦ Μπαγδατίου, ὅτι οἱ χριστιανοὶ ἔρχονται πολλοί, πλῆθος ἄπειρον εἰς ἱστορίαν τοῦ νέου

ναοῦ, καὶ βούλονται νὰ κυριεύσουν καὶ τὴν Ἱερουσαλήμ. Ὅθεν ἔστειλεν ὁ Ἀζίζιος καὶ τὸν ἐκατακρέμισε δεύτερον, καὶ ὕστερον Μιχαὴλ ὁ Παφλαγὼν καὶ ὁ Μονομαχος μὲ πολλοὺς κόπους τὸν ἀνακαίνισαν. Εἰς τοὺς χιλίους ὀγδοῆντα ἑπτὰ ἐπήρασιν οἱ Λατῖνοι τὴν Ἱερουσαλὴμ καὶ ἐξέβαλον ἀπὸ τὰ προσκυνήματα καὶ μεγάλα μοναστήρια τὸν Ἱεροσολύμων Συμεὼν καὶ ἐκάμασι πατριάρχην Φράγκον, καὶ εἰς τὴν Ναζαρὲτ Καισάρειαν Σεβάστειαν Βηθλεὲμ Ἐλευθερούπολιν Πέτραν καὶ Λύδδαν ἐκάμασιν ἐπισκόπους Φράγκους, καὶ ἐστάθησαν τὰ τοιαῦτα χρόνους ὀγδοῆντα ἑπτά, ὅτε ὁ σουλτάνος Σαλαδῖνος πολεμῶντας μὲ τοὺς Φράγκους ἐ(γ)κρέμισεν ἐκ θεμελίων ὅλα τὰ περίφημα κάστρη τῆς Ἱερουσαλὴμ Παλαιστίνης καὶ Γαλιλαίας, καὶ κατέσκαψεν καθάπαξ ὅλα τὰ μοναστήρια· καὶ πέρνοντας τὴν Ἱερουσαλὴμ ἐγκρέμισεν τὰ προαύλια τοῦ Ἁγίου Τάφου καὶ εὔγαλε τὰ παράθυρα, καὶ ἂν ἔλειπεν ἡ ἐπιμέλεια καὶ πρεσβεία τοῦ αὐτοκράτορος Ἰσαακίου τοῦ Ἀγγέλου, ἐκ θεμελίων ἠφάνιζε τοὺς ἁγίους ναοὺς τοῦ Ἁγίου Τάφου καὶ τῆς Βηθλεέμ· ὁ δὲ υἱός του Σαραφαντίνης καὶ τὸ τειχόκαστρον κατέσκαψεν τῆς Ἱερουσαλὴμ καὶ τὴν ἀφῆκεν ὡς κώμην. Εἰς ὀλίγα λόγια, ἀπὸ χιλίους σαράντα ἑπτὰ ἕως χιλίους τριακοσίους ὀκτώ, πότε ἔπερναν τὴν Ἱερουσαλὴμ οἱ Φράγκοι καὶ ἔβαλναν πατριάρχας Φράγκους καὶ ἐδίωχναν τοὺς Ῥωμαίους, πότε πάλιν τὴν ἔπερναν οἱ Ἄραβες καὶ ἔδιδαν τὴν ἐξουσίαν εἰς τοὺς Ῥωμαίους. Ἐπὶ δὲ Ἰωάννου τοῦ Καντακουζηνοῦ ἦλθαν εἰς τὰ Ἱεροσόλυμα Φράγκοι καὶ πολεμοῦν τοὺς πατριάρχας ἕως τὴν σήμερον, τῶρα τριακοσίους ἑξῆντα χρόνους, μὲ διαφόρους τρόπους καὶ πονηρίας καὶ ζημίας· καὶ πότε πολεμοῦν αὐτοὶ μοναχοί τους, καὶ πότε σηκώνουν τοὺς Ἀρμενίους καὶ ἄλλους αἱρετικοὺς καὶ πολεμοῦν ἀντ' αὐτῶν. Καὶ διὰ νὰ ἀφήσωμεν τὰ πολλά, ἐπὶ Σωφρονίου, τῶρα ἑκατὸν εἴκοσι χρόνοι, ἐπήρασιν οἱ Φράγκοι μὲ πονηρίαν τὸ Ἅγιον Σπήλαιον καὶ τὸν μισὸν Ἅγιον Γολγοθᾶν, καὶ ἔδωκεν ὁ Σωφρόνιος δώδεκα χιλιάδας φλωρία καὶ ἐπῆρέν τα ὀπίσω. Καὶ ἂν καλὰ καὶ ὁ κῦρ Θεοφάνης (εἰς τοὺς) χιλίους ἑξακοσίους τριάντα τρεῖς (χρόνους) ἐπῆρε μὲ κρίσιν τοῦ Ντιβανίου τὰ προσκυνήματα ὅλα ἀπὸ

τοὺς Φράγκους, ἀμὴ εἰς τοὺς χιλίους ἑξακοσίους τριάντα πέντε πάλιν τὰ ἐπῆρασιν οἱ Φράγκοι καὶ τὰ ἐβάσταξαν δύο χρόνους σωστούς· εἰς δὲ τοὺς χιλίους ἑξακοσίους τριάντα ἑπτὰ πάλιν τὰ ἐπῆρεν σὺν Θεῷ ὁ κῦρ Θεοφάνης. Εἰς τοὺς χιλίους ἑξακοσίους πενῆντα ἕξη ἐκρέμασαν μέσα οἱ Ἀρμένιδες κανδήλια καὶ τὰ εὔγαλεν ὁ κῦρ Παΐσιος πάλιν μετὰ μυρίων κόπων καὶ ἐξόδων. Τῶρα πάλιν ἀπὸ χιλίους ἑξακοσίους ἑξῆντα δύο, ὁποῦ ἔκαμαν ἀγάπην οἱ Νέμιτζοι μὲ τοὺς Τούρκους, ἄρχισαν οἱ Παπίσται νὰ γυρεύουν τὰ προσκυνήματα μὲ ἐλτζῆδες μὲ ἄσπρα καὶ μὲ ἄλλους τρόπους, καὶ δὲν ἴσχυσαν. Εἰς δὲ τοὺς χιλίους ἑξακοσίους ἑβδομῆντα τεσσάρους ἐπῆγεν εἰς τὴν Ἱερουσαλὴμ ἐλτζῆς Φράντζας, τάχα διὰ προσκύνησιν, καὶ γυρεύοντας νὰ ἐξουσιάσῃ τὸν Ἅγιον Τάφον ἐσκότωσε ἕναν ἀδελφὸν καὶ ἐσακάτευσε καὶ δύο. Ὅθεν ἐκρίθημεν εἰς Ἀδριανούπολιν καὶ ἐπήραμεν ὁρισμὸν καὶ τοὺς ἀποβάλαμεν, καθὼς καὶ προτίτερα. Ὕστερον πάλιν οἱ ἐλτζῆδες ὁλωνῶν τῶν Παπιστῶν καὶ αὐτοὶ οἱ Φράγκοι ἐπολέμησαν μὲ διαφόρους τρόπους καὶ μάλιστα μὲ πλῆθος χρημάτων, ἀμὴ δὲν τοὺς ἤκουσαν.

Τῶρα χιλίους ἑξακοσίους ἐνενῆντα ὁ ἐλτζῆς τῆς Φράντζας ἦλθε καὶ τί εἶπε καὶ τί ἴσχυσε, οἱ φρόνιμοι τὰ καταλαμβάνουν. Τοῦ ἔδωκεν ἡ βασιλεία ὅμως ὁρισμὸν νὰ προσκυνοῦν πρῶτα καὶ ὄχι νὰ ἐξουσιάζουν. Αὐτοὶ ὅμως ἐπῆγαν εἰς τὰ προσκυνήματα καὶ ἔκαμαν ὡσὰν λῃσταὶ φονεῖς καὶ κλέπται, καὶ ἡμεῖς ὅμως αὐτὸ τὸ κακὸν νὰ γένῃ, ἂν καλὰ καὶ δὲν ἠθέλαμεν νὰ τὸ ἀκούσωμεν, οὐδὲ κἂν νὰ τὸ ἰδοῦμεν· ἀμὴ πῶς ἔγινεν εὐχαριστήθημεν, ὅτι ἐμπεζερίσαμεν κάθε χρόνον νὰ μᾶς ζητοῦν οἱ ἄδικοι νὰ κάμνωμεν καινούριους τοὺς ὁρισμούς μας καὶ νὰ πέρνουν ἀπὸ δεκαπέντε καὶ εἴκοσι πουγγιά. Τοὺς Φράγκους ἐδίωχναν καὶ ἀπὸ ἡμᾶς ἐγύρευαν· ἑκατὸν ἑπτὰ χιλιάδας γρόσια χρέος ἠὕραμεν ὁποῦ ἔγιναν εἰς τὸν καιρὸν τοῦ κῦρ Παΐσιου, καὶ τὰ εὐγάλαμεν σὺν Θεῷ· καὶ τῶρα ἀπὸ τὰ σκάνδαλα τῶν κατηραμένων καὶ ἀναθεματισμένων αἱρετικῶν Λατίνων κινδυνεύει νὰ γένῃ τὸ πρῶτον χρέος. Καὶ τότε μὲν ἦσαν χατζῆδες πολλοί, ἡ Βλοχομπογδανίαις καὶ

Ρούμελαις εἰς εὐτυχίαν· ἀμὴ τῶρα εἶναι ὅλα τὰ ἐναντία καὶ ἦταν χρεία σαν κορυφωθῇ τὸ χρέος, νὰ φύγωμεν ἀπ' ἐκεῖ ὅλοι καὶ νὰ ἐξουσιάσουν οἱ αἱρετικοὶ ὄχι μόνον τὰ προσκυνήματα, ἀμὴ ἐξ ὁλοκλήρου καὶ τὰ μοναστήριά μας. Ἀμὴ τῶρα ἢ θελει τὰ διορθώσει ὁ Θεός, ὁποῦ νὰ ζήσωμεν μὲ εἰρηνικὴν κατάστασιν, ἢ θέλομεν ἡσυχάσει, κἂν νὰ λείπωμεν ἀπὸ τὸ ὑπέρογκον χρέος. Ὅθεν αὐτὸ ὁποῦ τινὲς χριστιανοὶ αὐτοῦ, ὁποῦ φαίνονται νὰ ἔχουν μόρφωσιν εὐσεβείας, τὴν δὲ δύναμιν αὐτῆς ἀρνοῦνται, καὶ καθὼς ὅταν οἱ ὀρθόδοξοι εἶχαν τὰ προσκυνήματα ἐξ ὁλοκλήρου, εὑρίσκασιν αἰτίας ἀπὸ τὸν πατέρα τους τὸν Διάβολον καὶ ἐβλασφημοῦσαν διαφόρως τὰ προσκυνήματα καὶ ἐμπόδιζαν τὴν ἐλεημοσύνην τῶν χριστιανῶν νὰ δίδεται εἰς τὸν Ἅγιον Τάφον, καθὼς καὶ οἱ Ἑβραῖοι ἐβλασφημούσασιν διαφόρως τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ ἐμπόδιζαν τὴν πρὸς αὐτὸν πίστιν—ὅθεν ὁ Θεὸς ὁποῦ ἔλεγεν εἰς τὴν παλαιὰν Γραφὴν νὰ τοὺς ἔχῃ τέκνα του, τότε τοὺς ἔλεγεν ὅτι "Ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ Διαβόλου ἐστέ"—, τῶρα πάλιν καὶ αὐτοὶ οἱ ψευδοχριστιανοί, τόσον ἱερωμένοι ἀνίεροι, ὅσον καὶ λαϊκοί, λέγουσι ῥήματα καταποντισμοῦ καὶ εὐγαλμένα ἀπὸ τὴν καρδίαν τοῦ Διαβόλου, ὅτι δηλαδὴ ἡ βασιλεία τοὺς ὀρθοδόξους ἀπέβαλεν ἀπὸ τὰ προσκυνήματα καὶ ὅτι οἱ Φράγκοι ἐξ ὁλοκλήρου τὰ ἐκυρίευσαν καὶ ἄλλα τοιαῦτα· οἵτινες ὅτι ψεύδονται προφανῶς καὶ ἐθελοντὶ κακουργοῦσιν, εἶναι φανερόν. Πρῶτον, ὅτι ἡ βασιλεία τῶρα ἂν θελήσωμεν ὁρισμὸν νὰ ἤμεθα εἰς τὰ προσκυνήματα οἰκοκυροὶ μετὰ τοὺς Φράγκους, τὸν δίδει· ἀμὴ ἡμεῖς δὲν θέλομεν νὰ λειτουργοῦμεν ἐκεῖ ὁποῦ λειτουργοῦν οἱ αἱρετικοὶ καὶ νὰ κοινωνοῦμεν τοῖς ἀκοινωνήτοις, φυλάττοντες καθαρὰν τὴν ὀρθοδοξίαν καὶ μάλιστα ὁποῦ ἐλπίζομεν ταχέως νὰ τοὺς καταστρέψῃ καὶ νὰ τοὺς ταπεινωσῃ ὁ Κύριος· δεύτερον, ὅτι ἡμεῖς μέσα εἰς τὸν Ἅγιον Τάφον ἔχομεν εἰκοσιτέσσαρα καντήλια καὶ οἱ Φράγκοι καὶ οἱ Ἀρμένιδες καὶ ὅλοι οἱ αἱρετικοὶ ἔχουσιν εἴκοσι· πῶς εἵμεσθεν ἡμεῖς ἔξω τοῦ Ἁγίου Τάφου; Οἱ Φράγκοι λειτουργοῦν μέσα εἰς τὸν Ἅγιον Τάφον. Ἂν θέλωμεν, λειτουργοῦμεν καὶ ἡμεῖς· καὶ πῶς ἡμεῖς εἵμεσθεν ἔξω τοῦ

Ζ'. Μηδένα τῶν προεστώτων δεφεντεύειν τὸν ἀτακτοῦντα, ὡς οἰκεῖον τάχα ἢ τζιράκι του· καταφέρεσθαι δὲ μᾶλλον ὀφείλει τῶν ἀτάκτων, ἵνα μὴ δόξῃ συγκοινωνὸς καὶ συνήγορος τῆς ἀταξίας· ὁ δὲ σκανδάλων πρόξενος ἐπικατάρατος.

Η'. Μηδένα τολμᾶν ἀπέρχεσθαι εἰς τὰ τῶν μοναζουσῶν καταγώγια ἄνευ αἰτίας εὐλόγου· ὡσαύτως καὶ τὰς μοναζούσας εἰς τὰ τῶν ἀδελφῶν· εἰ δέ τις καὶ συχνάζειν τολμήσει, ἢ συνεσθίειν ποτὲ φωραθείη, ἐκδιωκέσθω σὺν αὐτῇ, ἢ ὡς ἂν ἄλλως δόξῃ τοῖς προεστῶσιν ἱκανοποιείσθω.

Θ'. Μηδένα τῶν ἀδελφῶν δέχεσθαι ἐν τῷ κελλίῳ πρόσωπον ὑποψίας ἢ σκανδάλου πρόξενον τοῖς ἄλλοις, εἰ μή που δι' ἀνάγκην καὶ μετ' ἀδείας τοῦ προεστῶτος.

Γ'. Δάνεια ἢ συναλλάγματα ἢ ληψοδοσίας μετ' Ἀράβων μὴ ποιεῖν, ὡς οἱ ἀοίδιμοι διετάξαντο πατριάρχαι· ἐπικατάρατος δὲ ὁ φατρίας μετὰ τούτων ποιῶν, ἢ κατά τινος ἀδελφοῦ διεγείρων τούτους, ἢ ὅλως πρὸς ζημίαν τοῦ ἁγίου μοναστηρίου κινούμενος.

ΙΑ'. Μηδένα τολμᾶν δεφεντεύειν εἰς ἰδίας καλογραίας ἀτακτούσας, μηδὲ δέχεσθαι αὐτὰς ἐν τοῖς ἰδίοις κελλίοις συχναζούσας, εἰ μὴ δι' ἀναγκαίαν καὶ εὔλογον αἰτίαν, οὔτε μὴν σκανδαλίζεσθαι μετὰ τῶν ἀδελφῶν δι' αἰτίαν αὐτῶν· ὁ δὲ μὴ οὕτω ποιῶν ἐπικατάρατος.

ΙΒ'. Ἐν κελλίῳ προσκυνητὴν ἢ ἄλλον κοσμικὸν τῇ νυκτὶ μὴ τολμᾶν κατέχειν, εἰ μή που ὁ ὁραγουμάνος ἐξ ἀνάγκης διά τινα περιστατικὰ χρείας καλούσης, καὶ τοῦτο πάλιν εἰδήσει τοῦ προεστῶτος· ὁμοίως καὶ ὁ μιρχάτζης· ὁ δὲ τοῦτο παραβῆναι τολμήσων ἱκανοποιείσθω.

ΙΓ'. Πρὸ τοῦ γραψίματος μηδεὶς συγκαλείτω προσκυνητὴν εἰς τὸ ἴδιον κελλίον πρὸς ὁμιλίαν, εἰ μή που ζητήσειε τοῦτο ὁ προσκυνητής, καὶ τότε πάλιν γενέσθω ἡ ὁμιλία ἀδεία τοῦ προεστῶτος.

ΙΔ'. Οἱ ἔχοντες διηκονήματα ἐργαζέσθωσαν ταῦτα μετὰ πάσης προσοχῆς, ὡς λόγον ὀφείοντες Θεῷ· οἱ δὲ ἀργοὶ μὴ τὰ στενὰ καὶ παζάρια περιερχέσθωσαν, μὴ εἰς ἀργολογίας ἐνασχολείσθωσαν καὶ μάλιστα ἐν νυκτί· ἀλλ' ἐργαχειρήτωσαν τὸ κατὰ δύναμιν, ἢ τῇ ἀναγνώσει τῶν θείων βίβλων σχολαζέτωσαν· οἱ δὲ ἀγράμματοι ἄλλων ἀναγινωσκόντων προσεχέτωσαν καὶ μὴ κυβερνησιν ζητείτωσαν, ἀλλὰ τὴν βασιλείαν τῶν οὐρανῶν "ζητεῖτε γὰρ" φησί "πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν".

ΙΕ'. Οἱ ἀγένειοι μὴ συναναστρεφέσθωσαν μετὰ τῶν τυχόντων ἄνευ γνώμης τῶν ἰδίων γερόντων, μηδὲ διηκονίαν ὅλως λαμβανέτωσαν οἴνου, ὡς σύνηθες, ἀλλ' ἀνατρεφέσθωσαν ἐν παιδείᾳ Κυρίου εἰς γράμματα καὶ ψαλτικὰ πρὸς δόξαν Θεοῦ καὶ ὠφέλειαν τοῦ ἁγίου μοναστηρίου, καί τινες εἰς ἀραβικά.

Ις'. Εἰς τὴν πλάσιν πάντες συνερχέσθωσαν, πλὴν τῶν ἀρχιε-

ρέων καὶ τῶν συνοδικῶν, ὡς ἔθος, καὶ εἴ τις ἐξ ἀσθενείας καὶ ὅσοι εἰσὶ χρειώδεις εἰς συμπλήρωσιν ψάλματος καὶ τῆς ἐκκλησιαστικῆς ἀκολουθίας· ὁ δὲ μὴ συνελθών, μὴ ἀπολαύσῃ τῶν ἄρτων τῆς ζύμης ἐκείνης.

ΙΖ'. Τὰ μνημόσυνα τῶν θανόντων ἀδελφῶν παρρησίᾳ γιγνέσθωσαν μετὰ τοῦ "ὁ Θεὸς τῶν πνευμάτων" μέχρι τῶν τεσσαράκοντα ἡμερῶν· καὶ ὑπὲρ τοῦ κοιμηθέντος ποιεῖν μετανοίας μεγάλας ἢ μικρὰς δώδεκα ἕκαστον τῶν ἀδελφῶν· τὸν δὲ ἀδιόρθωτον ἀποθανόντα μηδενὸς τούτων ἀξιοῦμεν, εἰ μή που τύχῃ αἰφνιδίως θανών.

ΙΗ'. Ὁ μετὰ ἀρρένων ἢ γυναικῶν ἀσελγαίνειν φωραθείς, ὁποίας ἂν εἴη τάξεως, διωκέσθω μετὰ τοῦ συμφθειρομένου· ὁ δὲ δεφεντεύων αὐτὸν ἐπικατάρατος.

ΙΘ'. Ταῖς καλογραίαις διορίζομεν μὴ εἰσάγειν προσκυνητὰς εἰς τὰ κελλία αὐτῶν, μηδὲ φιλεύειν αὐτάς· ἀλλὰ καὶ αὗται μὴ περιερχέσθωσαν εἰς τὰ τῶν προσκυνητῶν κελλία· τὴν δὲ παραβῆναι τολμήσουσαν παιδευτέον κατὰ τὸ δοκοῦν τοῖς προεστῶσι· τὴν δὲ μὴ ἀπαγγείλασαν τὸ ἐλάττωμα τῆς καλογραίας εἰς τὸν προεστῶτα ἡγουμένην ἀποβλητέον.

Κ'. Μηδένα τῶν ἀδελφῶν τολμᾶν εἰς προσκυνητὰς δηλοῦν τὰ τοῦ μοναστηρίου κρυπτά, ἢ δημοσιεύειν ἀδελφῶν ἐλαττώματα, καὶ οἱ πνευματικοὶ μάλιστα· εἰ δέ τις ἐλεγχόμενος ἀπειλεῖ κατὰ τῆς πίστεως, ὁ τοιοῦτος εἰς τὸ ἑξῆς μηδενὸς ἡγείσθω βαθμοῦ ἢ διηκονήματος.

Ταῦτα πάντα ὡς ὠφέλιμα, ὡς σωτήρια καὶ ὡς πατροπαράδοτα, στέργοντες καὶ ἀποδεχόμενοι καὶ ἡμεῖς ἰδίαις ὑπογραφαῖς βεβαιοῦμεν.

† Ὁ Σκυθουπόλεως Βαρνάβας.

† Ὁ Πέτρας Κύριλλος.

† Ὁ Ναζαρὲτ Παΐσιος.

† Ὁ Λύδδης Ματθαῖος.

† Ὁ Σεβαστείας Ἱερεμίας.

† Ὁ Θαβωρίου Ἰάκωβος.

† Ὁ Φιλαδελφείας Ἀνανίας.

† Ὁ ἐπίτροπος τοῦ μακαριωτάτου Ἐφραίμ.

† Ὁ ἀρχιμανδρίτης Ἰωακείμ.

† Ὁ ἀρχιμανδρίτης Νεόφυτος.

† Ὁ ἀρχιμανδρίτης Συμεών.

† καὶ ὁ δραγουμάνος Ἀνανίας.

Ταῦτα πεμφθέντα τῷ μακαριωτάτῳ ἐκρίθησαν ὡς εἰσὶ καλά, καὶ στερχθέντα ἐπεβεβαιώθησαν.

XI.

ΔΙΑΦΟΡΩΝ ΕΓΓΡΑΦΩΝ ΣΕΙΡΑ ΔΕΥΤΕΡΑ.

1.

('Ιωάννου Ναυπάκτου γράμμα πρὸς λύσιν ὅρκου γενομένου παρὰ γυναικὸς ὑποσχεθείσης τῷ Θεῷ παραγενέσθαι πρὸς 'Ιεροσόλυμα) [1].

Τῇ εὐγενεστάτῃ κυρᾷ Θεοδώρᾳ τῇ Μαυροδουκαίνῃ καὶ ἐν Κυρίῳ πνευματικῇ ἡμῶν θυγατρὶ προθεμένῃ ἐνόρκως, ὡς εἶπε, τὴν πρὸς τὰ 'Ιεροσόλυμα στείλασθαι καὶ τῷ ζωοποιῷ τοῦ Κυρίου Τάφῳ τὴν μετὰ συντριβῆς καὶ δακρύων προσκύνησιν ἀφοσιώσασθαι, πολλὰ ἐπεγένετο καὶ διάφορα τὰ κωλύματα· ἐν καὶ πρῶτον καὶ μέγα ἡ ἐκεῖσε τοῦ λατινικοῦ ἀνάπλευσις στόλου καὶ τὸ ἐντεῦθεν κώλυμα τῆς ἐν 'Ιεροσολύμοις διαπλωίσεως, ἡ τῆς ἁγίας πόλεως 'Ιερουσαλὴμ τοῦ ἁγιωτάτου πατριάρχου πρὸς τοὺς ἐκεῖσε ἀπερχομένους παραγγελία τοῦ μηδένα τῶν ἀπὸ τῶν ὧδε χριστιανῶν πορεύεσθαι εἰς 'Ιεροσόλυμα διὰ τὴν τῶν Λατίνων κατὰ τῶν Σαρακηνῶν ἐκστρατείαν καὶ ὡς μὴ τῇ καταβολῇ τῶν διδομένων τοῖς 'Ισμαηλίταις χρημάτων οἱ τοῦ ζωοδόχου κυριεύοντες Τάφου ἀλάστορες οὗτοι καταπλουτίζωνται [2]. 'Επῆλθεν οὖν τῇ Μαυροδουκαίνῃ

[1] Κῶδ. πατρ. ἐν 'Ιεροσολύμοις, ἀριθ. 276, φ. 80. Κῶδ. Πετρουπόλεως ἀριθ. 250, φ. 63. Τὸ γράμμα πιθανῶς ἐγράφη ἔτει 1216-ῳ, διὰ τὴν ἐν αὐτῷ παρασημειουμένην λατινικὴν ἐκστρατείαν εἰς ἀπελευθέρωσιν τῆς 'Ιερουσαλήμ. — [2] 'Ην δὲ τότε πατριάρχης Εὐθύμιος ὁ Β', οὗ ὁ τάφος ἐστὶν ἐν Σινᾷ· λέγει δὲ ἡ ἐπὶ τοῦ τάφου γραφὴ τάδε· «'Ενθάδε κεῖται τὸ σῶμα τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Εὐθυμίου πατριάρχου 'Ιεροσολύμων· ϛψλβ' μηνὶ δεκεμβρίῳ ιγ' ἰνδ. δ', ἐπὶ τοῦ ὁσιωτάτου πατρὸς ἡμῶν Μακαρίου ἀρχιεπισκόπου τοῦ ἁγίου ὄρους Σινᾶ» [1223]. Второе путешествіе архимандрита Порфирія Успенскаго въ Синайскій монастырь въ 1850 году. 'Εν Πετρουπόλει 1856, σ. 246.

ἐμπόδιον αὐτά τε ταῦτα καὶ διάφορα, καὶ ἀσχαλλούσῃ διὰ τὸν ὅρκον ἐδυσώπησεν ἡμᾶς τὰ ἀναγεγραμμένα ἐμπόδια λῦσαι ταύτῃ τὸν ὅρκον, ἕως ὅτου πάντως ὁ τῶν ὅλων τὴν σωτηρίαν θέλων Θεὸς καὶ τὰ κατ' αὐτὴν σωτήρια, ὡς οἶδεν ἡ τούτου μεγάλη πρόνοια, διοικονομήσεται.

2.

Τὸ σημείωμα τὸ γεγονὸς ἐπὶ τῇ ἀπὸ τοῦ Κωνσταντινουπόλεως θρόνου καταβάσει τοῦ κυροῦ Δοσιθέου καὶ ἀποκαταστάσει τοῦ τῶν Ἱεροσολύμων θρόνου [1].

Μηνὶ σεπτεμβρίῳ προκαθημένου τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως [2] εἰς τὸ ἐν τῇ τοποθεσίᾳ τοῦ Ἁγίου Ζαχαρίου θεοφρούρητον παλάτιον, συνεδριάζοντος τῷ ἐνθέῳ κράτει αὐτοῦ τοῦ πανευτυχεστάτου σεβαστοκράτορος καὶ περιποθήτου τῆς ἁγίας αὐτοῦ βασιλείας κυροῦ Ἰωάννου τοῦ Δούκα, παρισταμένων τοῦ περιποθήτου ἐξαδέλφου τῆς ἁγίας αὐτοῦ βασιλείας τοῦ πρωτοστράτορος κυροῦ Μανουὴλ τοῦ Καμμύτζη, τοῦ περιποθήτου γαμβροῦ τοῦ ἐνθέου κράτους αὐτοῦ, τοῦ πρωτοπανσεβαστοϋπερτάτου κυροῦ Ἀνδρονίκου τοῦ Παλαιολόγου, τοῦ περιποθήτου ἐξαδέλφου τῆς ἁγίας αὐτοῦ βασιλείας κυροῦ Μανουὴλ τοῦ Ἀγγέλου, τοῦ πανσεβάστου σεβαστοῦ κυροῦ Ἰωάννου τοῦ Κομνηνοῦ τοῦ υἱοῦ τοῦ πρωτοστράτορος, τοῦ πανσεβάστου σεβαστοῦ κυροῦ Ἀνδρονίκου τοῦ Κομνηνοῦ, τοῦ πανσεβάστου σεβαστοῦ κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ καὶ πανσεβάστου σεβαστοῦ καὶ χαρτουλαρίου κυροῦ Ἀλεξίου τοῦ Καντοστε(φάνου), τοῦ πανσεβάστου σεβαστοῦ κυροῦ Κωνσταντίνου τοῦ Ῥαούλ, τοῦ πανσεβάστου σεβαστοῦ κυροῦ καὶ οἰκείου τῷ κράτει καὶ ἁγίῳ ἡμῶν αὐθέντῃ καὶ βασιλεῖ καὶ λογοθέτου τοῦ δρόμου κυροῦ Δημητρίου τοῦ Τορνίκη, τοῦ μεγαλοϋπερόχου καὶ πανοικειοτάτου τῇ ἁγίᾳ αὐτοῦ βασιλείᾳ καὶ παρακοιμωμένου κυροῦ

[1] Κῶδ. ξ πατμιακὸς 366 (φ. 342β-344), οὗ τὴν περιγραφὴν ὅρα παρὰ τῷ Σακελλίωνι (Πατμ. Βιβλ. σ. 163-166). — [2] Ἰσαακίου τοῦ Ἀγγέλου. Περὶ τῆς πράξεως ταύτης ἴδε Νικήταν Χωνιάτην σ. 259· σημείωσαι δ' ἐν αὐτῇ, ὅτι τὴν ἐκθρόνισιν τοῦ Δοσιθέου κατεσκεύασεν ὁ Ἰσαάκιος δι' ὀλίγων ἀρχιερέων καὶ πολυαρίθμων πατριαρχικῶν ὑφικιαλίων, οἵτινες οὐκ εἶχον δικαίωμα γνωματεύσεως ἐν συνόδῳ.

Γεωργίου τοῦ Οἰναιώτου, τοῦ πρωτοβεστιαρίτου τῆς ἁγίας αὐτοῦ βασιλείας κυροῦ Ῥωμανοῦ, τῶν οἰκείων βεστιαριτῶν τῆς ἁγίας αὐτοῦ βασιλείας, τοῦ πανσεβάστου σεβαστοῦ κυροῦ Μανουὴλ τοῦ Ταϊκη, τοῦ πανσεβάστου σεβαστοῦ κυροῦ Νικολάου τοῦ Μαλιάση καὶ ἑτέρων.

Μετακληθέντες τὴν σήμερον εἰς τὸ ἐν τῇ τοποθεσίᾳ τοῦ Ἁγίου Ζαχαρίου θεοφρούρητον παλατιον ὁρισμῷ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως, παρέστημεν τῷ ἐνθέῳ κρατει αὐτοῦ· καὶ ἐπεὶ ἔφθασεν ἐνωτισθῆναι ἡ θεοπρόβλητος καὶ θεοστεφὴς ἁγία βασιλεία αὐτοῦ, ὡς σκάνδαλα ἐνεφύησαν ἐν τῷ τῆς ἐκκλησίας πληρώματι ἀπὸ τοῦ φθάσαι μετατεθῆναι τὸν ἁγιώτατον πατριάρχην κυρὸν Δοσίθεον ἀπὸ τοῦ θρόνου τῶν Ἱεροσολύμων ἐπὶ τὸν τῆς Κωνσταντινουπόλεως, τὸν περὶ τούτου λόγον ἐν τῷ μέσῳ προέθετο. Καὶ ἤθελε μὲν ἡ ἁγία αὐτοῦ βασιλεία λυθῆναι τὰ σκάνδαλα καὶ εἰρήνην βαθεῖαν ἐπιβραβεῦσαι τῇ ἁγιωτάτῃ τοῦ Θεοῦ μεγάλῃ ἐκκλησίᾳ· ὅτι δὲ δυσχερὲς τοῦτο ἑώρα καὶ οὐ ῥαδίως ἀνυόμενον, ηὐδόκησε τὸ ἔνθεον κράτος αὐτοῦ ἐνδοῦναι τῇ τῶν πολλῶν ἐνστάσει καὶ ποιῆσαι οἰκονομίαν ἀρίστην, δι' ἧς λυθήσεται καὶ τὰ σκάνδαλα καὶ τὸ εἰρηνικὸν παρρησιάσεται ἐπί τε τῇ θείᾳ λαγάδι τῶν ἱερωτάτων ἀρχιερέων καὶ ἐπὶ τῷ τῆς ἐκκλησίας παντὶ πληρώματι. Συνελθόντων τοίνυν τὴν σήμερον τῶν ἐνδημούντων ἱερωτάτων ἀρχιερέων, τῶν θεοφιλεστάτων πατριαρχικῶν ἀρχόντων, καὶ ἀπὸ τῶν εὐλαβεστάτων ἱεροδιακόνων οὐκ ὀλίγων τὸν ἀριθμόν, ἀπεστομάτισεν ἡ ἁγία αὐτοῦ βασιλεία ταῦτα· ὡς ἡ μὲν ἐκ τοῦ τῶν Ἱεροσολύμων θρόνου εἰς τὸν τῆς Κωνσταντινουπόλεως τοῦ κυροῦ Δοσιθέου μετάθεσις οὐκ ἀνεξετάστως οὐδ' ἄνευ δοκιμασίας συνοδικῆς γέγονεν, ἀλλὰ καὶ ἀκριβῶς ἐξητάσθη καὶ ἐδοκιμάσθη καὶ γνώμῃ καὶ συναινέσει τῆς ἱερᾶς πάσης καὶ θείας συνόδου ἀκολούθως προηγησαμέναις λοιπαῖς ἐκκλησιαστικαῖς διαφόροις πράξεσιν ἐκυρώθη τε καὶ ἐπράχθη, καὶ ὅσον ἐκ τῆς ἐπὶ τῇ μεταθέσει αὐτοῦ συνοδικῆς ἀσφαλεστάτης πράξεως οὐδεὶς λόγος ὁ μετακινῆσαι τοῦτον τοῦ τῆς Κωνσταντινουπόλεως θρόνου δυνάμενος. Ὅτι δὲ ἡ ἁγία αὐτοῦ βασιλεία σκανδαλιζομένους τινὰς ὁρᾷ ἐπὶ

τῷ κατ' αὐτὸν τοιούτῳ πράγματι, καὶ οὐδὲ αὐτῇ τῇ ἁγία βασιλεία αὐτοῦ, ἀλλ' οὐδὲ αὐτῷ τῷ ἁγιωτάτῳ πατριάρχῃ κυρῷ Δοσιθέῳ ἀνεκτὸν τοῦτό ἐστι πάντῃ, προϊεμένῳ καὶ πᾶσι πάντων ἐξισταμένῳ ἕνεκα τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης ἐκκλησίας, ζητεῖ τις ἂν ἕτερος οἰκονομίας τρόπος ἐπὶ τῷ τοιούτῳ πατριάρχῃ γενήσεται. Καὶ ἐπύθετο ἑκάστου τῶν παρουσιασάντων ἱερωτάτων ἀρχιερέων περὶ τούτου αὐτοῦ· οἱ δὲ ἀπεκρίναντο ταῦτα.

Ὁ Καισαρείας εἶπεν, ὡς ὀφείλει ὑποστρέψαι κανονικῶς εἰς τὴν προτέραν αὐτοῦ ἐκκλησίαν.—Ὁ Ἐφέσου εἶπεν, ὡς "οὐ δύναμαι ἐναντιωθῆναι τῇ προτέρᾳ μου συναινέσει, κατὰ τὸν κγ' κανόνα τῆς ἐν Καρθαγένῃ συνόδου".—Ὁ Ἡρακλείας εἶπε στοιχεῖν τῇ γνώμῃ τοῦ Ἐφέσου· εἰ δ' ἴσως τις αἰτίαμά τι εἰσάγει κατὰ τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ Δοσιθέου, κανονικῶς τηρηθείτω.—Ὁ Σάρδεων τὰ αὐτὰ εἶπεν.—Ὁ Χαλκηδόνος εἶπεν, ὅτι "ἐπεὶ ἡ ἁγία βασιλεία αὐτοῦ προμηθουμένη τοῦ ἀσκανδαλίστου τῆς ἐκκλησίας καὶ τοῦ ἑνωθῆναι τὰ μέλη καὶ μέρη τοῦ Χριστοῦ καὶ εἰς μίαν κοινωνίαν ἐλθεῖν ἐθέλει λαβεῖν ἀφ' ἡμῶν γνώμην ὅ τί ποτε γενήσεται ἐπὶ τῷ ἁγιωτάτῳ πατριάρχῃ κυρῷ Δοσιθέῳ, ἐκστάντι τοῦ θρόνου τῆς Κωνσταντινουπόλεως, λέγω ὅτι βοηθεῖται ἀπὸ τῶν κανόνων εἰς τὸ ἀπελθεῖν εἰς τὴν λαχοῦσαν αὐτόν, εἰς ἣν ἐχειροτονήθη κανονικῶς καὶ ὀφείλει ἀπ' ἐντεῦθεν ἀποκαταστῆναι".—Ὁ Σίδης εἶπεν, οὐ δύναται τῇ προγεγονυίᾳ γνώμῃ ἐπὶ τῇ μεταθέσει ἐναντιωθῆναι, εἰ μή πω τὰ κατ' αὐτοῦ λεγόμενα αἰτιάματα ἐλεγχθῶσιν.—Ὁ Τυάνων εἶπε τὰ αὐτὰ τῷ Σίδης.—Ὁ Νεοκαισαρείας εἶπε τὰ αὐτὰ τῷ Χαλκηδόνος.—Ὁ Ναζιανζοῦ τὰ αὐτά.—Ὁ Παροναξίας "ἐξεχόμενος τῆς γνώμης τοῦ Χαλκηδόνος λέγω· ὀφείλει ἀποκαταστῆναι ὁ κῦρ Δοσίθεος εἰς ἣν ἐχειροτονήθη ἐκκλησίαν".—Ὁ Μεσηνῆς εἶπεν· "ἐπεὶ εὑρίσκω δύο κανόνας διαφερομένους ἀλλήλοις, στοιχῶ τῷ φιλανθρωποτέρῳ".—Ὁ Ἄπρω εἶπεν, ὡς "ἐπεὶ ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν βασιλεὺς ὡς βυθὸς σοφίας καὶ φρονήσεως σπεύδει τὴν ἐκκλησίαν ἑνῶσαι καὶ λῦσαι τὸ ἀναφυὲν σκάνδαλον καὶ ἠρώτησέ με περὶ τοῦ πατριάρχου κῦρ Δοσιθέου, εἰ δεῖ ἐκστάντα τοῦ τῆς Κωνσταντινουπόλεως θρόνου

ἀποκατασταθῆναι εἰς ἣν ἐχειροτονήθη κανονικῶς ἐκκλησίαν, μεμνημένος τῶν κανόνων τῶν διοριζομένων ῥητῶς ἀποκαθίστασθαι τοὺς μετατιθεμένους εἰς τὰς ἑαυτῶν ἐκκλησίας, λέγω ὀφείλειν καὶ αὐτὸν ἀποκαταστῆναι". — Ὁ Ἀρκαδιουπόλεως εἶπεν, ὡς "διαφόρων ὄντων κανόνων τῶν τὴν μετάθεσιν κωλυόντων, οὐκ ἔχω ἐκ τοῦ προχείρου ἀκριβῶς τι εἰπεῖν· ὅμως δ' οὖν λέγω, ὅτι τὸ φιλανθρωπότερον ἀγιώτερον, τὸ ἀποκαταστῆναι δηλονότι εἰς ἣν ἐχειροτονήθη ἐκκλησίαν". — Ὁ Φρυσάλων εἶπε στοιχεῖν τῇ γνώμῃ τοῦ Χαλκηδόνος. — Ὁ Ματράχων τὰ αὐτὰ τῷ Ἄπρω. — Ὁ Γαρδικίου εἶπε στοιχεῖν τῇ γνώμῃ τοῦ Μεσηνῆς. — Ὁ Λοπαδίου εἶπε στοιχεῖν τῇ γνώμῃ τοῦ Χαλκηδόνος.

Ὁ μέγας οἰκονόμος εἶπε στοιχεῖν τῇ γνώμῃ τοῦ Χαλκηδόνος. — Ὁ χαρτοφύλαξ εἶπε· "καλὸν ἦν μὴ ἐλθεῖν τὸ σκάνδαλον· ἐπεὶ δὲ τοῦ σκανδάλου ἐλθόντος ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν βασιλεὺς προμηθούμενος τῆς ἑνώσεως τῆς ἐκκλησίας ἐθέλει λῦσαι τὰ σκάνδαλα καὶ βοηθεῖται ὁ ἁγιώτατος πατριάρχης ἀπὸ τῆς περιλήψεως τῶν κανόνων ἀποκαταστῆναι εἰς ἣν πρότερον κανονικῶς ἐχειροτονήθη ἐκκλησίαν, λέγω, ὡς ὀφείλει τοῦτο ἀπ' ἐντεῦθεν γενέσθαι". — Ὁ μέγας σακελλάριος εἶπε στοιχεῖν τῇ γνώμῃ τοῦ χαρτοφύλακος. — Ὁ μέγας σκευοφύλαξ εἶπεν, ὡς "οὐ πρὸς ἡμῶν ὅλως ἐστὶ τὸ διδόναι γνώμην ἐπὶ τοιαῖσδε μεγάλαις ὑποθέσεσιν, ἀλλ' ἕπεσθαι τῇ συνόδῳ· ἐπεὶ δὲ συγκαταβάσει φιλανθρώπῳ χρωμένου τοῦ κρατίστου καὶ ἁγίου ἡμῶν αὐτοκράτορος ἐρωτῶμαι καὶ αὐτός, λέγω, ὡς καλὸν μὲν ἦν μὴ ἐμπεσεῖν οἱονδηποτοῦν σκάνδαλον· ἐπεὶ δὲ καὶ συνέπεσε, λέγω· ὀφείλει ἀποκαταστῆναι ἀπ' ἐντεῦθεν εἰς ἣν πρότερον ἐπεκηρύχθη ἀρχιερεύς". — Ὁ σακελλίου τὰ αὐτὰ τῷ χαρτοφύλακι, ὡσαύτως καὶ ὁ πρωτέκδικος. — Ὁ πρωτονοτάριος εἶπεν, ὡς "ἐπεὶ ἀπὸ ἄλλης ἐκκλησίας μετατεθεὶς εἰς ἑτέραν ὑπὸ τῶν θείων καὶ ἱερῶν κανόνων καταναγκάζεται ὑποστρέψαι εἰς ἣν πρότερον ἐκκλησίαν ἐπεκηρύχθη, λέγω ὅτι δικαιοῦται ἀπ' ἐντεῦθεν εἰς τὴν προτέραν αὐτοῦ ἐκκλησίαν". — Ὁ καναστρίσιος εἶπεν· "ἐπειδήπερ ἐξ εὐλόγου αἰτίας ἡ μετάθεσις οὐκ ἔχει τὸ βεβηκός, λέγω τὸν μὴ ἐκ σπουδῆς αὐτοῦ,

ἀλλ' ἐξ οἰκονομίας βασιλικῆς καὶ συνοδικῆς ἐξ Ἱεροσολύμων εἰς τὸν τῆς Κωνσταντινουπόλεως θρόνον μετατεθέντα, βοηθεῖσθαι ὑπὸ τῶν κανόνων ἀποκαταστῆναι ἀπ' ἐντεῦθεν εἰς τὴν ἐξ ἀρχῆς λαχοῦσαν αὐτόν". — Ὁ λογοθέτης εἶπεν· "ἐπεὶ ὁ βασιλεὺς ὁ ἅγιος φροντίζει τοῦ ἀσκανδαλίστου τῆς ἐκκλησίας καὶ ἐρωτᾷ εἰδυῖα ἀποκαταστῆναι τὸν ἁγιώτατον πατριάρχην, λέγω ὅτι ὀφείλει ἀποκαταστῆναι, ἀπὸ τῶν θείων καὶ ἱερῶν κανόνων εἰς τοῦτο βοηθούμενος". — Ὁ ὑπομνηματογράφος εἶπεν· "ἐπεὶ πάντες λέγουσιν ὀφείλειν ἀποκαταστῆναι τὸν ἁγιώτατον πατριάρχην εἰς ἣν πρότερον ἐπεκηρύχθη ἐκκλησίαν, λέγω καὶ αὐτὸς ἀναγκαῖόν ἐστι τοῦτο γενέσθαι". — Ὁ ἱερομνήμων εἶπε "καὶ αὐτὸς μέμνημαι τῶν θείων καὶ ἱερῶν κανόνων τῶν ἀποκαθιστώντων εἰς τὴν προτέραν ἐκκλησίαν τὸν ἐκ ταύτης εἰς ἑτέραν μετατεθέντα· καὶ λέγω ὀφείλειν καὶ ἐπὶ τῷ κυρῷ Δοσιθέῳ τοῦτο γενέσθαι". — Ὁ ραιφερενδάριος εἶπεν· "ἐπεὶ ἐρωτῶμαι γνωματεῦσαι περὶ τούτου, λέγω ὅτι ὁ ἐξ Ἱεροσολύμων εἰς τὸν τῆς Κωνσταντινουπόλεως θρόνον μετατεθεὶς βοηθεῖται ἀπὸ τῶν ἱερῶν καὶ θείων κανόνων ἀποκαταστῆναι πάλιν εἰς τὸν θρόνον τῶν Ἱεροσολύμων". — Ὁ ἐπὶ τῶν γονάτων εἶπε στοιχεῖν τῇ γνώμῃ τοῦ χαρτοφύλακος. — Ὁ ἐπὶ τῆς ἱερᾶς καταστάσεως εἶπε στοιχεῖν τῇ γνώμῃ τῶν ἀρχιερέων, τῇ ἐπὶ τῇ ἀποκαταστάσει τῶν μετατεθέντων εἰς τὰς προτέρας αὐτῶν ἐκκλησίας. — Ὁ α' ἄρχων τῶν ἐκκλησιῶν εἶπε· "λέγω ἔχειν βοήθειαν ἀπὸ τῶν κανόνων τὸν μετατεθέντα ἀποκαταστῆναι εἰς ἣν πρότερον ἐχειροτονήθη κανονικῶς". — Ὁ β' ἄρχων τῶν ἐκκλησιῶν τὰ αὐτὰ τῷ πρώτῳ ἄρχοντι τῶν ἐκκλησιῶν. — Ὁ ἐπὶ τῶν κρίσεων εἶπεν, ὡς ὀφείλει ἀποκαταστῆναι ὁ ἁγιώτατος πατριάρχης εἰς τὴν προτέραν αὐτοῦ ἐκκλησίαν. — Ὁ ἐπὶ τῶν δεήσεων εἶπεν· "ἡμεῖς μὲν γνωμοδοτεῖν οὐκ ὀφείλομεν· ἐπεὶ δὲ ὡρίσθημεν παρὰ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως τοῦτο ποιῆσαι, λέγω, ὡς ὀφείλει ἀποκατασταθῆναι εἰς ἣν ἐξ ἀρχῆς ἐχειροτονήθη ἐκκλησίαν". — Ὁ διδάσκαλος τοῦ μακαρίου ἀποστόλου μεμνημένος λέγοντος "πάντα δοκιμάζοντες τὸ καλὸν κατέχετε", καὶ ἀκριβῶς εἰδὼς ὡς ὁ κρα-

ταιὸς καὶ ἅγιος ἡμῶν βασιλεὺς εἰς τὴν περὶ τοῦ προκειμένου ζητήματος δοκιμασίαν τὸ καλὸν ἐκλέγεται, ὡς καὶ θεόσοφος καὶ θεόλεκτος καὶ θεόστεπτος, λέγω, ὡς οὐδέν ἐστι τὸ κωλύον ἀποκαταστῆναι αὐτὸν εἰς ἣν ἔσχεν ἐκκλησίαν.—Ὁ α' ἄρχων τῶν μοναστηρίων εἶπεν· "ἐπεὶ θεόθεν ἐκινήθη ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν βασιλεὺς εἰς τὸ περιελεῖν τὸ συμβὰν εἰς τὸ τῆς ἐκκλησίας πλήρωμα σκάνδαλον, καὶ ἐζήτησε ποία ὀφείλει γενέσθαι οἰκονομία ἐπὶ τῷ ἁγιωτάτῳ πατριάρχῃ κυρῷ Δοσιθέῳ, λέγω, ὅτι ὀφείλει ἀποκαταστῆναι κανονικῶς εἰς ἣν πρότερον ἐκκλησίαν κεχειροτόνητο".—Ὁ γ' ἄρχων τῶν ἐκκλησιῶν εἶπεν, ὡς "εἰ ἐφεῖται τοῖς διακόνοις γνωμοδοτεῖν ἐπὶ τοιαύταις ὑποθέσεσιν, ἕπομαι τῇ γνώμῃ τοῦ χαρτοφύλακος."—Ὁ ἄρχων τῶν περατικῶν μοναστηρίων εἶπεν ἕπεσθαι τῇ γνώμῃ τοῦ χαρτοφύλακος.—Ὁ β' ἄρχων τῶν μοναστηρίων "οὐκ ὀφείλω", εἶπε, "γνωμοδοτεῖν· ἐπεὶ δὲ ἐρωτῶμαι παρὰ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως, λέγω, ὅτι ἐπεὶ διορθοῦται ἡ ἐπὶ τῷ πατριάρχῃ κυρῷ Δοσιθέῳ γεγονυῖα ἐξ Ἱεροσολύμων εἰς Κωνσταντινούπολιν μετάθεσις, βοηθεῖται ἀπὸ τῶν ἱερῶν κανόνων ἀποκαταστῆναι εἰς ἣν πρότερον ἐκκλησίαν κεχειροτόνηται".

Τούτων οὕτω γνωμοδοτηθέντων παρὰ τῶν ἀναγεγραμμένων ἱερωτάτων ἀρχιερέων καὶ τῶν θεοφιλεστάτων πατριαρχικῶν ἀρχόντων, ὡρίσθη παρὰ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως ὁ μεγαλεπιφανέστατος κόμ(ης) πριμμικ(ήρ)ιος τῶν Βαρδαρειωτῶν κῦρ Ἰωάννης ὁ Ταράνης ἀπελθεῖν καὶ ἐνωθῆναι τῷ πανσεβάστῳ σεβαστῷ οἰκειοτάτῳ τῷ κραταιῷ καὶ ἁγίῳ ἡμῶν βασιλεῖ, προκαθημένῳ τῶν ἐν τῷ θεοφρουρήτῳ παλατίῳ τῶν Βλαχερνῶν φυλασσόντων πριμμικηρίων καὶ στρατιωτῶν κυρῷ Ἀνδρονίκῳ τῷ Ῥογερίῳ, καὶ συνάμα αὐτῷ τὸν μὲν ἁγιώτατον καὶ οἰκουμενικὸν πατριάρχην κυρὸν Δοσίθεον, ὡς ἀποκαταστάντα ἐπὶ τῷ θρόνῳ τῶν Ἱεροσολύμων, ἐγκαταστῆσαι τῇ καθέδρᾳ τῶν Στείρου [1], οἰκονομῆσαι

[1] Ἐνταῦθα, φαίνεται, τὴν ἕδραν εἶχον οἱ τῶν Ἱεροσολύμων πατριάρχαι μετὰ τὴν λατινικὴν κατάκτησιν τῆς ἁγίας πόλεως καὶ τὴν ἀνάκτησιν αὐτῆς ὑπὸ Σαλαδίνου. Ἦν δὲ τὰ Στείρου τόπος ἐν Βυζαντίῳ, ἐν ᾧ ναὸς ὑπῆρχε τῶν Ἀρχαγγέλων.

δὲ ἐκεῖθεν ὑποχωρῆσαι τὸν ἁγιώτατον πατριάρχην Ἱεροσολύμων κῦρ Μάρκον τὸν Καταφλῶρον [1].

3.

Ἡ παραίτησις τοῦ κυροῦ Δοσιθέου ἡ ἐπὶ τε τῷ θρόνῳ Κωνσταντινουπόλεως καὶ τῷ τῶν Ἱεροσολύμων γεγονυῖα [2].

Ὅπως μὲν ἀρρήτοις κρίμασι καὶ λόγοις Θεοῦ εἰς τὸν ἀρχιερατικὸν θρόνον τῶν Ἱεροσολύμων ἀνήχθην παρὰ τοῦ κρατίστου καὶ ἰσαγγέλου μου ἁγίου βασιλέως, ἐσύστερον δὲ αὖθις μετὰ τὸ κατασχεθῆναι τὴν Ἱερουσαλὴμ ὑπὸ τῶν Ἀγαρηνῶν [3] μετετέθην εἰς τὸν ἀρχιερατικὸν τῆς Κωνσταντινουπόλεως θρόνον καὶ ἀμφισβητήσεως περὶ τούτου γενομένης πρὸς μικρὸν τῆς τούτου προστασίας ἐσχόλασα [4], ὑπὸ κατεξέτασιν δὲ αὖθις πεσόντος τοῦ πράγματος δέον

[1] Νικ. Καλλιστος (Migne 147, σ. 507). «Τοῦ δ' ἐξ Ἀγγέλων Ἰσαακίου τὸν τῆς βασιλείας πρυτανεύοντος θρόνον, ὁ Ἱεροσολύμων Δοσίθεος εἰς τὸν τῆς Κωνσταντίνου θρόνον μετάγεται· ἐκεῖσε δὲ Μάρκος ὁ κατὰ Φλῶρον προάγεται». Καταφλῶρον ἐπωνόμαζον καὶ τὸν πολὺν Εὐστάθιον τὸν Θεσσαλονίκης, ὡς δείκνυσιν ἡ ἐπιγραφὴ λόγου τινὸς αὐτοῦ νεωστὶ τύποις ἐκδοθέντος ὑπὸ τοῦ πολυμαθεστάτου W. Regel, Fontes rerum byzantinarum. Petropoli 1892, τ. I, σ. 92.—[2] Κῶδ. Πάτμου 366, φ. 344.— [3] Ἔτει 1187-ῳ, 2 ὀκτωβρίου. Ἡ ἀνάβασις οὖν τοῦ Δοσιθέου εἰς τὸν πατριαρχικὸν θρόνον τῶν Ἱεροσολύμων ἐγένετο πιθανῶς ἔτει 1186-ῳ. — [4] Πρβλ. Νικηφ. Καλλιστον ἐν τῇ διηγήσει περὶ τῶν ἐπισκόπων Βυζαντίου (Migne τ. 147, σ. 464)· «Δοσίθεος ὁ ἀπὸ Ἱεροσολύμων ἡμέρας θ' καὶ κατεβιβάσθη εὐθὺς διὰ τὸ μέσον τῶν ἀρχιερέων καὶ τῶν κληρικῶν ἐπὶ τοῦ αὐτοῦ Ἰσαακίου καὶ ἀνάγεται Λεόντιος ὁ λεγόμενος Θεοτοκίτης» κτλ. Οὗτος ἐπατριάρχησε μῆνας ἑπτὰ κατὰ τὴν αὐτὴν διήγησιν, ὅ ἐστι τοσοῦτον χρόνον ὅσον καὶ Δοσίθεος ἐσχόλαζεν, ὡς αὐτὸς ὁμολογεῖ. Καὶ πάλιν ὁ Νικηφόρος (Migne 147, σ. 507) λέγει· «Εἶτα πάλιν Δοσίθεος τὴν Κωνσταντίνου λιπὼν εἰς τὸν τῆς Αἰλίας θρόνον ἐπάνεισι, τοῦ κατὰ Φλῶρον ἐκεῖθεν παρὰ πᾶσαν δίκην ἀπελαθέντος· ἐς ὕστερον δὲ καὶ ἄμφω τοὺς θρόνους τῆς τ' Αἰλίας καὶ Κωνσταντίνου παρῃτεῖτο Δοσίθεος καὶ καθ' αὑτὸν γενόμενος ἐτελεύτα». Νικήτας Χωνιάτης σ. 260. «Οὐκοῦν ἐπιβάτης ἐκκλησίας ἀλλοτρίας ἀκούει Δοσίθεος καὶ ἀναλυομένην ἔσχε τὴν δευτέραν τιμὴν καὶ τοῦ θρόνου κατάγεται· τὴν δ' ἧτταν μὴ φέρειν ἔχων ὁ βασιλεὺς ἀναμαχόμενος ἦν καὶ παντοίως σπεύδων ἰσχύειν τὴν κυρωθεῖσαν μετάθεσιν, καὶ μετὰ βραχύν τινα χρόνον ἀναλύσας τὰ ἐπιγενόμενα, αὖθις ἐστήριξε τὸν Δοσίθεον, ὅτε καὶ διὰ τῶν πελεκυφόρων αὐτοῦ δορυφόρων καὶ τῶν τοῦ παλατίου ἐκκρίτων προύπεμψεν αὐτὸν εἰς τὸ μέγιστον τέμενος (τὴν Ἁγίαν Σοφίαν), δεδιὼς μὴ τὸ πλῆθος νεωτερίσειεν· ἦν γὰρ διὰ μίσους ἅπασιν ὡς φιλόθρονος ὁ Δοσίθεος καὶ τὸ τοῦ κρατοῦντος ἐπὶ μὴ καιρίοις

ἔδοξε τοῖς εἰς τὴν μεγαλόπολιν ἐνδημοῦσιν ἀρχιερεῦσιν ἐπὶ τὸν αὐτὸν καὶ αὖθις τῆς Κωνσταντινουπόλεως θρόνον τηνικαῦτα ἀναβιβασθῆναί με, οὐδενὶ τῶν ἁπάντων ἠγνόηται, τῶν συνενεχθέντων κοινῇ σκέψει καὶ γνώμῃ τῶν εἰρημένων ἀρχιερέων δηλοποιηθέντων ἐγγράφως καὶ εἰς ἐπήκοον τῷ τῆς ἐκκλησίας παντὶ πληρώματι προτεθέντων καὶ οὕτω δοκιμασθέντων, ἀφ' οὗ δὴ καὶ εἰς δεῦρο καιροῦ συνεκοινώνουν μοι οὗτοι πάντες καὶ τῆς σὺν ἐμοὶ κοινωνίας οὐκ ἀπεσχίζοντο. Ἐπεὶ δὲ νῦν οὐκ οἶδ' ὅπως ἄλλως μεταπεσόντος τοῦ πράγματος καὶ οὗτοι ἑτέρας γνώμης γεγόνασι, καὶ ὃ πρότερον καλὸν ἐδόκει αὐτοῖς ἐξ ὑστεροβουλίας ἀκυροῦντες ὑποστρέψαι με πάλιν εἰς τὸν τῶν Ἱεροσολύμων θρόνον κανονικῶς— ὡς φασιν—ἐγνωμάτευσαν, κἂν τινες ἐξ αὐτῶν τῇ κοινῇ καὶ προτέρᾳ ψήφῳ πάντων ἐνέμενον, καὶ μέντοι διαγνώσει τε ἅμα τῶν δηλωθέντων ἀρχιερέων καὶ κελεύσει βασιλικῇ εἰς τὸν τῶν Ἱεροσολύμων ἀποκατέστην θρόνον, ὡς εἴρηται, ἡμεῖς ἀρχῆθεν καθ' ἑαυτοὺς αἱρετισάμενοι ζῆν καὶ τὴν φιλονεικίαν θέλοντες περιελεῖν τῶν οὕτω με διαμεριταμένων, τῶν μὲν ἐπιστηριζόντων με κατὰ τὴν προτέραν ψῆφον τῷ πατριαρχικῷ τῆς Κωνσταντινουπόλεως θρόνῳ, τῶν δὲ ἐπανακυκλούντων με εἰς τὸν τῶν Ἱεροσολύμων θρόνον, καὶ ἄλλως δὲ ἔργοις αὐτοῖς παραστῆσαι βουλόμενοι, ὡς οὐδὲ μιᾶς δόξης ἢ θρόνου τινὸς ἀντεποιούμεθα, νῦν δὲ πρότερον ἑαυτοῖς τε τὸ τῆς ἡσυχίας ἀγαθὸν πραγματεύσασθαι καὶ αὖθις ἠρετισάμεθα καὶ τὸ ἀπερισπάστως ὑπερεύχεσθαι τοῦ θεοστεφοῦς καὶ ἁγίου μου αὐτοκράτορος, καὶ αὐτῷ δὲ τῷ τῆς ἐκκλησίας πληρώματι τὸ εἰρηναῖον καὶ ἀστασίαστον περιποιήσασθαι· καὶ παραιτοῦμαι τοιαποτοῦδε καθαρῶς καὶ ἀπεριέργως καὶ ἀμφοτέρους τοὺς θρόνους, τόν τε τῆς Κωνσταντινουπόλεως δηλαδὴ καὶ τὸν τῶν Ἱεροσολύμων, ἐπευχόμενος πρὸ πάντων μὲν τῷ κρατίστῳ μου

πράγμασιν ἐναντίκόν τε καὶ φίλαυτον οὐκ ἐπαινετόν». Ἐντεῦθεν δῆλον ὅτι Δοσίθεος ἐσχόλαζε πρώην ὢν πατριάρχης Κ/πόλεως καὶ οὐχ Ἱεροσολύμων, ὡς φησι Νικηφόρος· ἁπλῶς δὲ μόνον ἐχήρευεν ὁ θρόνος πατριάρχου βραχὺν χρόνον, ἄχρις οὗ οἱ διαφερόμενοι ἀρχιερεῖς ἐξετάσαντες τὸ πρᾶγμα κανονικῶς ὡμονόησαν, ὡς ἐμφαίνει τὸ παραιτήσεως ἀνωτέρω γράμμα· ὁ δὲ λέγει Νικηφόρος, ὅτι διάδοχος αὐτοῦ Λεόντιος ἐγένετο, σφάλμα φανερόν ἐστι διὰ τῆς διηγήσεως Νικήτα τοῦ Χωνιάτου.

βασιλεῖ καὶ θεοστεφεῖ ἡμῶν αὐτοκράτορι ταχεῖαν νίκην κατὰ πάντων τῶν ἐναντίων ἐχθρῶν τοῦ χριστωνύμου πληρώματος, ἔπειτα τοῖς ἱερωτάτοις συναδελφοῖς καὶ συλλειτουργοῖς πάντα τὰ ἐκ τῆς ἄνωθεν ἀρωγῆς σωτήρια, καὶ παντὶ δὲ τῷ τῆς ἐκκλησίας πληρώματι, ναὶ μὴν ἀλλὰ καὶ παντὶ τῷ πολιτεύματι τὴν ἀτάραχον καὶ εἰρηναίαν κατάστασιν, ἄνευ τῶν ἴσως βλασφημησάντων μὴ εἶναί με ὀρθόδοξον· τούτοις γὰρ μὴ συγχωρήσαι Θεὸς μηδ' ἐν τῷ νῦν αἰῶνι, μηδ' ἐν τῷ μέλλοντι. Παρακαλοῦμεν δὲ καὶ τῆς ἐξ αὐτῶν ἀμνηστίας τυχεῖν τῶν ἐφ' οἷς ἴσως φορτικοί τισιν ἐλογίσθημεν καὶ εὐχόμεθα ἕτερον ἀνθ' ἡμῶν ἀντεισαχθῆναι τούτοις ποιμένα, τὸν κοινῶς τοῖς πᾶσιν ἀρέσοντα· ἐπὶ τούτῳ γὰρ καὶ τὴν παροῦσαν ἔγγραφον παραίτησιν ἐξεθέμεθα, πιστωσάμενοι ταύτην τῇ ἡμετέρᾳ ὑπογραφῇ μηνὶ σεπτεβρίῳ ι', ἡμέρα γ', ἰνδικτιόνος ι' ἔτους ,ςψ' (1191).

Ἡ ὑπογραφή.

Δοσίθεος ἐλέῳ Θεοῦ ὁ πρώην ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης.

4.

Τὸ ἕτερον σημείωμα τῆς ἐνώσεως τῶν ἀποσχισθέντων ἀρχιερέων ἐπὶ τῷ τοῦ ἁγίου Δοσιθέου καταβιβασμῷ τῷ ἀπὸ τοῦ θρόνου τῆς Κωνσταντινουπόλεως [1].

Μηνὶ σεπτεβρίῳ ιγ', ἡμέρα γ', ἰνδικτιόνος ι', παρου(σιαζομένων) τῶν θεοφιλεστάτων πατριαρχικῶν ἀρχόντων, τοῦ πρωτονοταρίου κυροῦ Ἰωάννου τοῦ Καματηροῦ, τοῦ κανστρισίου κυροῦ Ἰωάννου τοῦ Χρυσάνθου, τοῦ λογοθέτου κυροῦ Ἰωάννου τοῦ Χωματηνοῦ, τοῦ ὑπομνηματογράφου κυροῦ Κωνσταντίνου τοῦ Σπαθαρίου, τοῦ ἱερομνήμονος κυροῦ Στεφάνου τοῦ Σκουταριώτου, τοῦ ραιφερενδαρίου κυροῦ Νικολάου (?) τοῦ Βαβουσκωμίτου, κυροῦ Νικολάου (?) τοῦ Μανικαΐτου, κυροῦ Θεοδώρου τοῦ Εἰρηνικοῦ, κυροῦ Εὐθυμίου τοῦ Τορνίκη καὶ ἑτέρων.

Τοῦ παναγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρ-

[1] Κῶδ. Πατμ. 366, φ. 344.

χου μελλοντος τὴν σήμερον τῷ τῆς ἱερωσύνης χρισθῆναι χρισματι [1], συνῆλθον πάντες οἱ ἱερώτατοι ἀρχιερεῖς· καὶ ἐπεὶ ἐφθασεν ἀμφιβολία τις ἐμπεσεῖν ἐπὶ ταῖς ἐγκειμέναις γνώμαις τῶν ἱερωτάτων ἀρχιερέων ἐν τῷ κατὰ τὴν γ΄ τοῦ παρόντος μηνὸς γεγονότι σημειώματι ἐνώπιον τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως, προκαθημένου ἐν τῷ κατὰ τὴν τοποθεσίαν τοῦ Ἁγίου Ζαχαρίου θεοφρουρήτῳ παλατίῳ, ἠρωτήθησαν τὴν σήμερον ἐνώπιον τοῦ παναγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου καὶ τῆς ἐνδημούσης τῶν ἀρχιερέων ἱερᾶς ὁμηγύρεως ὅπως ἔχουσι σήμερον γνώμης· καὶ εἶπον, ὡς "ἀρκεῖ μὲν ἡμῖν εἰς παράστασιν τοῦ εἰς μίαν ὁμόνοιαν πάντας ἐλθεῖν καὶ ὁμογνωμοσύνην τὸ ἐρωτηθέντας παρὰ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως περὶ τοῦ μέλλοντος γενέσθαι πατριάρχου παρὰ τῆς ἁγίας βασιλείας αὐτοῦ γνωμοδοτῆσαι ψῆφον ποιῆσαι κατὰ τὸ σύνηθες· ἐπεὶ δὲ καὶ σήμερον ἐρωτώμεθα, λέγομεν ὅτι τῇ χάριτι τοῦ Θεοῦ πάντες ἓν ἐσμεν καὶ τῆς αὐτῆς καὶ μιᾶς ἐχόμεθα γνώμης, εὐχαριστήσαντες τῷ κραταιῷ καὶ ἁγίῳ ἡμῶν βασιλεῖ καὶ ἀποδεξάμενοι τὴν παρὰ τοῦ ἐνθέου κράτους αὐτοῦ γενομένην προχείρησιν. Καὶ ἤδη κατὰ τὴν σήμερον ἱερουργοῦμεν μετὰ τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου, μή τινος ἀμφιβολίας ὑπούσης". Ἦσαν δὲ καὶ οἱ συνελθόντες τὴν σήμερον ἱερώτατοι ἀρχιερεῖς οὗτοι· ὁ Καισαρείας, ὁ Ἐφέσου, ὁ Ἡρακλείας, ὁ Χαλκηδόνος, ὁ Σίδης, ὁ Τυάνων, ὁ Γαγγρῶν, ὁ Νεοκαισαρείας, ὁ Ναυπάκτου, ὁ Παρονᾳξίας, ὁ Ναζιανζοῦ, ὁ Μεσημβρίας, ὁ Ἄπρω, ὁ Ἡρακλέους, ὁ Φυρσάλων καὶ ὁ Γαρδικίου. Ταῦτα παρεκβληθέντα καὶ συνήθως πιστωθέντα ἐπεδόθη μηνὶ καὶ ἰνδικτιόνι τοῖς προγεγραμμένοις, ἔτους ςΦΨΦ (1191).

5.

(Ὑποσχετικὸν Ἰωακεὶμ πατριάρχου Ἀλεξανδρείας πρὸς τὸν Ἱεροσολύμων Γερμανὸν περὶ τῶν ἐνοριακῶν αὐτοῦ δικαίων) [2].

Ἐπεὶ ὁ ἁγιώτατος δεσπότης ὁ πατριάρχης Ἱεροσολύμων, ἁγίας Σιὼν, Συρίας, Ἀραβίας πέραν Ἰορδάνου, Κανᾶ τῆς Γαλι-

[1] Οὗτός ἐστι Γεώργιος ὁ Ξιφιλῖνος. — [2] Κῶδ. πατρ. Ἱεροσ. 141, φ. 11-12. Δι-

λαιας καὶ πάσης Παλαιστίνης, ἐν ἁγίῳ πνεύματι ποθεινότατος ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, ἐζήτησε καὶ ὑπ' ἐμοῦ γράμμα, ὅτι τὸ πατριαρχεῖον τῶν Ἱεροσολύμων τοῦ ἔχειν καὶ πάλιν τὰ ἀπ' ἀρχῆς δίκαια καὶ προνόμια αὐτοῦ καὶ πᾶσαν τὴν ἐνορίαν καὶ ἐπαρχίαν, ἣν ἔταξαν οἱ ἀοίδιμοι καὶ θεοφόροι πατέρες οἱ πρὸ ἡμῶν καὶ οἱ ἀοίδιμοι καὶ εὐσεβέστατοι βασιλεῖς ἐκεῖνοι, Γάζαν καὶ τῶν μετ' αὐτῆς, Σινᾶ καὶ τῶν μετ' αὐτοῦ, Κοράκι καὶ τῶν μετ' αὐτοῦ, Σουπακίου καὶ τῶν μετ' αὐτοῦ, τοῦ μὴ εὑρεῖν εἰς ταῦτα κώλυμα ἢ τυχοῦσαν δυναστείαν. Καὶ δι' ἀσφάλειαν πλείονα τῆς κατ' αὐτὸν ἐκκλησίας, ἡ μετριότης ἡμῶν ὡσὰν ἴδιον καὶ τὴν ἔκπαλαι τάξιν καὶ ἀποκατάστασιν στέργω καὶ ἐγὼ τὰ ἔκπαλαι καὶ ἀπ' ἀρχῆς νενομοθετημένα, ἃ διὰ τῶν ἱερῶν καὶ θείων κανόνων οἱ θεοφόροι πατέρες διακελεύουσι καὶ οἱ φιλευσεβεῖς νόμοι τῶν φιλοχρίστων καὶ ἀοιδίμων βασιλέων θεσπίζουσιν — ἀφ' οὗ καιροῦ ἐτάχθη καὶ ἀπεκατεστάθη πατριαρχεῖον εἶναι τὰ Ἱεροσόλυμα καὶ τοῖς ἄλλοις πατριάρχαις συντάττεσθαι καὶ συναριθμεῖσθαι τὸν Ἱεροσολύμων ἀρχιερέα — (ἵνα) κατέχῃ ὁ νῦν πατριάρχης Ἱεροσολύμων καὶ πᾶς ὁ μετ' αὐτὸν γενησόμενος τὴν ἐπαρχίαν πᾶσαν καὶ ἐνορίαν τὴν ἀπ' ἀρχῆς ὑποταχθεῖσαν, ἣν συνεῖχον καὶ οἱ πρὸ αὐτοῦ ἀοίδιμοι πατριάρχαι, ὡς ὑποκειμένην τῇ κατ' αὐτὸν ἐκκλησίᾳ, καὶ ἔχῃ ἄδειαν χειροτονεῖν ἐν αὐτῇ μητροπολίτας καὶ ἀρχιεπισκόπους ἀκωλύτως παντάπασιν καὶ ἀνεμποδίστως ὡς γνήσιος αὐτῶν πατριάρχης, μηδενὸς ἔχοντος ἄδειαν ἀφελεῖν ἀπ' αὐτῆς καὶ ἀποσπάσαί τι μέρος ἀπὸ τῆς καθόλου ἐπαρχίας καὶ ἐνορίας τῶν Ἱεροσολύμων· μὴ μέταιρε γάρ φησιν ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες σου. Εἰ δέ τις εἰς τοῦτο ἀπονοίας ἑλκύσαι τολμήσειεν καὶ τοσούτων χρόνων θεσμοὺς εἰς οὐδὲν

σιθέου Ἱεροσολύμων ιστορία περὶ τῆς ἐπισκοπῆς τοῦ ἁγίου ὄρους Σινᾶ, βιβλ. Β', κεφ. α': «Πάλιν δὲ τῶν Ἀλεξανδρινῶν καινοτομούντων, ὁ Ἱεροσολύμων Γερμανὸς ἐπιδημῶν εἰς Κωνσταντινούπολιν ἐπὶ Διονυσίου τοῦ ἀπὸ Νικομηδείας γενομένου Κ/πόλεως τὸ ἴδιον τακτικὸν προβαλὼν καὶ κοινῇ τῶν τότε λοιπῶν πατριαρχῶν τοῦ τε Κ/πόλεως φημὶ καὶ τοῦ Ἀντιοχείας τὰ ἴδια ὅρια βεβαιοῖ, ὅτε καὶ ὁ Ἀλεξανδρείας ἔδωκε γράμμα τοιοῦτον, ἐπιγραφὲν γράμμα τοῦ Ἀλεξανδρείας· ἀφ' οὗ δηλοῦται ὅτι ἁπλῶς ἐπισκοπὴ ὑποκειμένη τῷ Ἱεροσολύμων ἐστὶ τὸ Σινᾶ».

λογίζεσθαι καὶ ζητεῖν ἀποσπᾶσαι μέρος οἱονδήποτε τῆς καθόλου τῶν Ἱεροσολύμων ἐκκλησίας ἢ ἐνορίας, ἡ μετριότης ἡμῶν τὸν τοιοῦτον ἀφορισμῷ φρικώδει καὶ βαρυτάτῳ ὑποβάλλει, κἂν ἐν ὁποιῳδήποτε καταλόγῳ καὶ τάξει καὶ σχήματι εἶναι ὁ τοιοῦτος. Τούτου χάριν ἀπολέλυται τῷ ἁγιωτάτῳ πατριάρχῃ Ἱεροσολύμων, ἁγίας Σιὼν, Συρίας, Ἀραβίας πέραν Ἰορδάνου, Κανᾶ τῆς Γαλιλαίας καὶ πάσης Παλαιστίνης, ἐν ἁγίῳ Πνεύματι ποθεινοτάτῳ ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ, καὶ τῇ κατ' αὐτὸν ἐκκλησίᾳ, καὶ ἡ παροῦσα γραφὴ τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν, κατὰ μῆνα αὔγουστον θ', ἐπὶ ἔτους ζλη', ἰνδικτιῶνος γ' [1530].

(Ἔστι δὲ εἰς αὐτὸ τὸ γράμμα ὑποκάτωθεν τὸ παρὸν σημειωμένον).

Στέργω καὶ ὑπογράφω καὶ ἐγὼ ὡσὰν κατὰ τὴν ἀρχαίαν τάξιν καὶ ἀποκατάστασιν, ἣν οἱ φιλευσεβεῖς νόμοι τῶν φιλοχρίστων καὶ ἀοιδίμων βασιλέων θεσπίζουσι καὶ τῶν ἱερῶν καὶ θείων κανόνων οἱ θεοφόροι πατέρες διαγορεύουσι. Λοιπὸν ὅστις οὐ πείθεται τὴν εἰρηνικὴν ἔννομον θείαν τῆς ἐκκλησίας τάξιν, ἣν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τοῖς μαθηταῖς παρέδωκεν αὐτοῦ καὶ ἀποστόλοις· ὅστις ἀνατρέπει τὴν τάξιν εἰς ἀταξίαν καὶ πάντα συγχέει καὶ ἀταξίαν ποιεῖ, ἥτις καὶ τὰ οὐράνια συνέχει καὶ τὰ ἐπίγεια, τὸν Ἑωσφόρον μιμούμενος τὸν ἐκ τοῦ οὐρανοῦ πεσόντα καὶ σκότος λεγόμενον καὶ γενόμενον, ὅστις μόνος οὐ πείθεται οὐδὲ ἄρχεσθαι θέλει, καὶ διὰ τοῦτο τῇ ἀτελευτήτῳ κολάσει παρεδόθη, οὕτως καὶ ἐκεῖνος ὁ ἄνθρωπος, ὃς οὐ πείθεται εἰς τὰ θεσπίσματα τὰ βασιλικὰ καὶ ὅρια τῶν πατέρων, ἔστω γυμνὸς παντὸς ἐκκλησιαστικοῦ χαρίσματος καὶ ἱερωσύνης καὶ ἔξω τῆς ἐκκλησίας τοῦ Χριστοῦ. καὶ αὐτοῦ γυμνὸς εὑρίσκεται τοῦ χριστιανικοῦ ὀνόματος, ὡς μηδὲ χριστιανὸς ὁ τοιοῦτος λέγεσθαι, καὶ ἔστω πάλιν ἀφορισμῷ φρικώδει καὶ βαρυτάτῳ καθυποβεβλημένος ὑπὸ τῆς ἡμῶν μετριότητος, κἂν ἐν ὁποιῳδήποτε καταλόγῳ καὶ τάξει καὶ σχήματι εἴη ὁ τοιοῦτος, καὶ διὰ τοῦτο ὑπέγραψα τὸ παρὸν γράμμα τῷ ,ζν' ἔτει ἰνδικτιῶνος ιε' (1551-1552).

6.

(Καλλιστίκου β' Κωνσταντινουπόλεως, σιγίλλιον περὶ μετοχίου τῶν Σιναϊτῶν ἐν Ἀδριανουπόλει) [1].

Καὶ τοῦτο σὺν ἄλλοις ἀνέκαθεν ἐξεδόθη προνόμιον, κανονικὸν λόγον ἐπέχον, τῷ καθ' ἡμᾶς ἀποστολικῷ πατριαρχικῷ τε καὶ οἰκουμενικῷ θρόνῳ ναοὺς δηλαδὴ καὶ ἱερὰ καταγώγια πανταχόθεν προσαγόμενα τῇ πατριαρχικῇ ἀντιλήψει φιλανθρώπως αὐτῶν ἀντιλαμβάνεσθαι καὶ διὰ πατριαρχικῆς προνομίας καὶ ἐπισκέψεως καὶ σταυροπηγιακῆς ἀξίας ὑπὸ τὴν περίθαλψιν τάττειν ἐκεῖνα τῆς πατριαρχικῆς περιωπῆς καὶ μεγαλειότητος, δι' ἧς πολλῶν καὶ διαφόρων ἀπαλλαττόμενα συμπτωμάτων εὑρίσκουσιν εἰρήνην καὶ ἄνεσιν· ἐλευθερία τε καὶ ἀσυδοσία κατοχυρούμενα σώζονται διὰ παντὸς ἀδιάπτωτα· ὅπερ οὐ διέλειπε διὰ παντὸς ἐνεργούμενον τοῖς κατὰ καιρὸν τὴν προστασίαν λαχοῦσι τοῦ πατριαρχικοῦ καὶ οἰκουμενικοῦ τούτου θρόνου, πρὸς ἀντίληψιν καὶ βοήθειαν τῶν χρῃζόντων τῆς τοιαύτης κηδεμονίας.

Ἔνθεν τοι καὶ τανῦν προσδραμόντες τῇ καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλῃ ἐκκλησίᾳ ὁσιώτατοι πατέρες, οἱ ἀπὸ τοῦ ἱεροῦ καὶ σεβασμίου ὄρους Σινᾶ, ἠξίωσαν ἡμᾶς μετὰ πολλῆς δεήσεως καὶ μεγάλης παρακλήσεως δεχθῆναι ὑπὸ τὴν πατριαρχικὴν πρόνοιαν καὶ προστασίαν τὸ μετόχιον αὐτῶν, ὅπερ ἔχουσιν ἐν τῇ πολιτείᾳ τῆς Ἀδριανουπόλεως, καὶ τὴν ἐκκλησίαν αὐτοῦ, τὴν καλουμένην τοῦ ἁγίου Ἰωάννου τοῦ Ὀρφανοῦ, καὶ τοῖς πατριαρχικοῖς καὶ σταυροπηγιακοῖς καταγωγίοις συντάξαι καὶ ἐλευθερίας καὶ ἀσυδοσίας αὐτὴν ἀξιῶσαι δι' αἰτίας εὐλογοφανεῖς, ἐξ ὧν πιεζόμενοι πρὸς τὴν ἐκκλησιαστικὴν κατέφυγον πρόνοιαν, ὅπως διὰ τῆς σταυροπηγιακῆς δυνάμεως ἔχωσι καλῶς καὶ ἀνενοχλήτως διεξάγεσθαι καὶ φυλάττεσθαι πάσης ἐπηρείας ἐκτός· ἥτις ἀνενοχλησία πέφυκε φυλάττειν τὰ καλὰ καὶ πρὸς αὔξησιν καὶ βελτίωσιν ἐπάγειν τὰ Θεῷ καὶ ἀνθρώποις εὐάρεστα. Τούτου χάριν τὴν δέησιν αὐτῶν μὴ παρωσάμενοι, ὡς τὴν ὠφέλειαν καὶ τὸ συμφέρον ποθοῦντες

[1] Κῶδιξ πατρ. Ἱεροσ. 276, φ. 191.

πάντων τῶν ἱερῶν καταγωγίων, ἐδεξάμεθα τὴν παράκλησιν αὐτῶν φιλανθρώπως καὶ κατενεύσαμεν τὴν ἐκκλησίαν ταύτην καὶ τὸ μετόχιον αὐτὸ σταυροπηγιακῇ κλήσει καὶ δυνάμει τοῖς πατριαρχικοῖς καὶ σταυροπηγιακοῖς καταγωγίοις συντάξασθαι καὶ τὸ ἐλεύθερον καὶ ἀσύδοτον ἐπιβραβεῦσαι αὐτῷ. Τούτου χάριν γράφομεν καὶ ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα ἡ διαληφθεῖσα ἐκκλησία — μεθ' ἧς καὶ ὅλον τὸ μετόχιον τῶν Σιναϊτῶν πατέρων — ἥτις κλῆσιν ἔσχηκεν, ὡς εἴρηται, τοῦ ἁγίου Ἰωάννου, ἐπικεκλημένη τοῦ Ὀρφανοῦ, ἔνδον τῆς πολιτείας Ἀδριανουπόλεως, ὑπάρχῃ καὶ λέγηται ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς σταυροπηγιακὴ καὶ πατριαρχική, μηδενί τινι ἑτέρῳ ὑποκειμένη, ἀλλὰ μόνῳ τῷ πατριαρχικῷ καὶ οἰκουμενικῷ θρόνῳ καὶ ὑπ' αὐτοῦ διεξαγομένη καὶ ἰθυνομένη, ὡς καὶ τὰ λοιπὰ σταυροπηγιακά, ἐλευθέρα τε καὶ ἀδούλωτος καὶ ἀκαταπάτητος καὶ ὅλως ἀσύδοτος, μηδὲν ὀφείλουσα παρέχειν, εἰ μὴ μόνον τῇ καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλῃ ἐκκλησίᾳ καθ' ἕκαστον ἔτος ἀνὰ ἓν χρυσοῦν φλωρίον εἰς σημεῖον ὑποταγῆς, κατὰ τὴν ἀνέκαθεν τάξιν τῶν σταυροπηγίων, μνημονευομένου ἐν αὐτῇ τοῦ πατριαρχικοῦ ὀνόματος ἐν πάσαις τοῖς ἱεραῖς τελεταῖς, οὐδενὸς ἔχοντος ἄδειαν, οὔτε τοῦ κατὰ τόπον μητροπολίτου, κατεπεμβαίνειν τοῦ μετοχίου αὐτοῦ καὶ τῆς ἐν αὐτῷ ἐκκλησίας, παρενοχλεῖν τε αὐτῷ καὶ καταδυναστεύειν καὶ ζητεῖν λαβεῖν δόσιν τινὰ παρ' αὐτοῦ, πάντῃ ἀσυδότου καὶ ἐλευθέρου καταστάντος· οἱ δὲ ἐν αὐτῷ πεμπόμενοι πατέρες ἀπὸ τοῦ μοναστηρίου τοῦ ὄρους Σινᾶ καὶ διαιτώμενοι διάγωσιν ἀνενοχλήτως καὶ ἀνεπηρεάστως, μετ' ἐλευθερίας καὶ ἀσυδοσίας, εἰρηνεύοντες ἡσύχως καὶ πολιτευόμενοι σωφρόνως καὶ κοσμίως καὶ φυλάττοντες τὰ ὅρια αὐτῶν μετὰ πάσης τῆς ὀφειλομένης προσοχῆς, κατὰ τὴν ἐπαγγελίαν τῶν μοναχῶν, ἀπηλλαγμένοι πάσης δυναστείας καὶ καταδουλώσεως. Ὃς δ' ἂν ὀψέποτε κινούμενος ἐμπαθῶς ἢ φιλοταράχως ἢ πλεονεκτικῶς ἐνοχλήσει τῇ ἐκκλησίᾳ ταύτῃ, ἤτοι τῷ μετοχίῳ τῶν Σιναϊτῶν πατέρων, καὶ αὐτοῖς τοῖς ἐν αὐτῷ διαιτω-

μένοις, καὶ βουληθῇ καταδουλῶσαι αὐτοὺς ἢ ἀπαιτῆσαι δόσιν τινὰ λαβεῖν παρ' αὐτῶν, ἢ διασεῖσαι τὴν σταυροπηγιακὴν ταύτην φιλοτιμίαν καὶ ἀνατρέψαι ταύτην καὶ τἀναντία τῶν ἐν τῷ παρόντι γεγραμμένων διαπράξασθαι, ὁποίας ὢν τάξεως καὶ ὁποίου βαθμοῦ ὁ τοιοῦτος ἀφωρισμένος εἴη ἀπὸ Θεοῦ καὶ κατηραμένος καὶ ἄλυτος καὶ ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπόδικος. Ὅθεν εἰς ἔνδειξιν τῆς τοῦ μετοχίου αὐτοῦ σταυροπηγιακῆς καταστάσεως ἐπεδόθη αὐτῷ καὶ τὸ παρὸν πατριαρχικὸν συνοδικὸν ἐν ἔτει ᾳχῃγ˙ᾠ (1693).

ϙ΄

(Γαβριὴλ γ΄ Κωνσταντινουπόλεως, συνοδικὸν σιγίλλιον περὶ τῶν ἐν Παλαιστίνῃ σχολείων τῶν ὑπὸ Γεωργίου τοῦ Καστοριώτου συστάντων) [1].

Γαβριὴλ ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης.

Ὄντως ἀποστολικῆς ποιμάνσεως ἐπάξιον ἔργον καὶ οἰκειότατον τὸ οὐ μόνον διὰ λόγου εὐαγγελικῆς διδασκαλίας συνεχῶς διερεθίζειν τοὺς ἐξ ἰδίας εὐγνωμοσύνης εὐήνιον καὶ εὐπρεπῆ τὸν τρόπον ἔχοντας πρὸς ὑπακοὴν τῶν θείων παραινέσεων, πρὸς δὲ καὶ ὑπαλείφειν αὐτοὺς καὶ διεγείρειν εἰς ἐντελῆ ἐνέργειαν τῶν ἀγαθῶν καὶ ἐναρέτων πράξεων, ἀλλὰ καὶ τὰ ἀποτελούμενα θεοφρόνως ὕστερον παρ' εὐλαβῶν ἀνδρῶν, τῶν διαθερμανθέντων ταῖς πνευματικαῖς εἰσηγήσεσι τά τε ὁσίως καρποφορηθέντα, ὅσα ἐπιρρωνύσεως προσδεόμενα φαίνονται, συνιστᾶν ὁμοῦ διὰ φροντίδος καὶ περικρατύνειν ὅση δύναμις, μάλιστα ἀναγκαίως τὰ μὴ εἰς μερικὴν καὶ ἰδίαν, ἀλλὰ πρὸς καθόλου πῶς τινα καὶ κοινὴν λυσιτελοῦντα καὶ ἀφορῶντα εὐεργετικὴν εὐποιίαν καὶ ὠφέλειαν· τὰ γὰρ ἀπὸ ἀξιωματικῆς καὶ ὑπερτελείας δυνάμεως ὑπερασπιζόμενά τε καὶ ἀντιλαμβανόμενα, ὡς ἀπό στερεμνίου τινὸς τὴν βάσιν ἐρειδισμένην ἔχοντα, ἐν μακρᾷ τοῦ χρόνου παρατάσει πάντως πεφύκασι σώζεσθαι καὶ διηνεκῆ πως κεκτῆσθαι τὴν ἰδίαν διαμονὴν καὶ τὴν ὕπαρξιν.

[1] «Κώδηξ διαφόρων ἐπισήμων ἐγγράφων», φ. 34-35.

Ἐπειδὴ τοιγαροῦν προσηνέχθη ἡμῖν καὶ ἐθεασάμεθα γράμμα πατριαρχικὸν καὶ ἀποφαντικὸν τοῦ μακαριωτάτου καὶ σοφωτάτου πατριάρχου τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ καὶ πάσης Παλαιστίνης κυρίου Δοσιθέου, τοῦ ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ καὶ περιποθήτου ἀδελφοῦ καὶ συλλειτουργοῦ τῆς ἡμῶν μετριότητος, ὅπερ καὶ ἐν τῷ ἱερῷ κώδικι τοῦ αὐτοῦ πατριαρχικοῦ καὶ ἀποστολικοῦ θρόνου κατεστρώθη εἰς μνήμην αἰώνιον, διαλαμβάνον οὕτως, ὡς ὁ ἐντιμότατος ἄρχων μέγας κόμισος ἀπὸ Καστοριας κῦρ Γεώργιος, ὁ ἤδη ἐν εὐσήμῳ χρήσει λυσιτελῶν ἐκεῖσε περὶ τὴν ἐκλαμπροτάτην αὐθεντείαν τῆς Οὐγγροβλαχίας, ἐμφύτῳ αὐτοῦ εὐλαβείας πόθῳ οἴκοθεν κεντηθεὶς εἰς τὸ μετὰ δικαιοπραξίας εὐαρεστῆσαι Θεῷ, ἅτε καὶ ὑπὸ τῶν θείων εὐαγγελικῶν προκατηχημένος ὧν εἰσηγήσεων καὶ μυστικῇ ἐπιπνοίᾳ διεγερθεὶς τοῦ πνεύματος ὡς ἔμφρων οἰκονόμος τῶν ἐνταῦθα παρερχομένων καὶ ἀξιέπαινος, ἔγνω διελεῖν καὶ προσενεγκεῖν τῷ Κυρίῳ ἐκ τῆς αὐτοῦ περιουσίας ὀρθὴν θυσίας καὶ καθαρὰν μερίδα, τὸν δίκαιον Ἄβελ νοουνεχῶς μιμησάμενος, ἐφ' ᾧ καὶ αὐτὸς ἐν ἡμέρᾳ ἐπισκοπῆς δοῦλος δίκαιος καὶ καθαρὸς ἀναφανῇ τῷ Κυρίῳ· καὶ δὴ ἐξ αὐθαιρέτου βουλῆς αὐτοῦ καὶ θελήσεως ἐπιμετρήσας εὐμενῶς ἀφιερώσατο τῷ ἁγιωτάτῳ πατριαρχικῷ θρόνῳ τῶν Ἱεροσολύμων ἀσλανία γερὰ δύο χιλιάδων καὶ ἑξακοσίων πεντήκοντα ἐπὶ ρητῇ προσομιληθείσῃ συμφωνίᾳ εἰς καταρτισμὸν κοινωφελοῦς καὶ θεαρέστου ἔργου αὔξησίν τινα κατ' εὐσέβειαν καὶ προκοπὴν τοῦ ἐκεῖσε χριστωνύμου πληρώματος· ἥτις συμφωνία ἐκείνη τοιούτῳ τρόπῳ συνέστη παγίως καὶ ἀμετακινήτοις ἀπεπεράνθη ὅροις, ὥστε περὶ τῶν ἀφιερωθέντων ἐκείνων δύο χιλιάδων καὶ ἑξακοσίων πεντήκοντα ἀσλανίων παρέχειν τὸν πατριαρχικὸν τῶν Ἱεροσολύμων θρόνον διάφορον κατ' ἔτος ἀνὰ ἓξ ἀσλανία ἑκάστῃ ἑκατοντάδι, συμποσούμενα εἰς ἀσλανία ἑκατὸν ἑξήκοντα· διωρίσθησαν δὲ ἀκριβολογίᾳ σκέψεως τοῦ δίδοσθαι ταῦτα ἀπὸ τοῦ εἰσοδήματος τοῦ μετοχίου τοῦ Ἁγίου Τάφου, δηλονότι τῆς ἐκκλησίας τοῦ Ἁγίου Γεωργίου τοῦ κειμένου κατὰ τὸ Νεοχώριον τὸ εἰς τὸ Κατάστενον τῆς Προποντίδος· περὶ ὧν ἄσπρων κοινῇ γνώμῃ τοῦ φιλοχρίστου ρουφετίου τῶν γουναράδων

τρεῖς ἐξ αὐτῶν ἄρχοντες ἐκλεγέντες κατεστάθησαν τοῦ εἶναι ἐπιτρόπους καὶ ἐπιτηρητὰς τοῦ μακαρίου τούτου ἔργου, ἐπὶ τῷ φροντίζειν μετ' ἐπιμελείας ἀόκνου καὶ παραλαμβάνειν κατ' ἔτος, τουτέστιν ἐν τῇ ἑορτῇ τοῦ ἁγίου Γεωργίου τὰ ἑκατὸν ἑξήκοντα ἐκεῖνα γρόσια παρὰ τοῦ κατὰ καιροὺς ἡγουμένου τοῦ μετοχίου· ἅτινα ἐξαποστέλλειν ἀσφαλῶς καὶ ἀκινδύνως εἰς χεῖρας τοῦ τὴν πατριαρχικὴν ἐπιτροπὴν ἐπιστατοῦντος κατὰ τὸν Ἅγιον Τάφον, ὀφείλοντος κἀκείνου μετὰ τὸ παραλαβεῖν τὰ ἄσπρα, ἢ διὰ πόλιτζας τινός, εἴτε δι' ἄλλου πιστοῦ προσώπου τῶν ἀπερχομένων ἐντεῦθεν ἐκεῖσε χάριν εὐλαβείας καὶ προσκυνήσεως, ἀνταποστέλλειν πρὸς τοὺς ἐπιτρόπους αὐτοὺς ἀπολογίαν καθαρὰν καὶ εἴδησιν περὶ τῆς λήψεως τῶν ἄσπρων ἐκείνων καὶ ἐγχειρίσεως. Εἰ δὲ σύμπτωμά τι δυστυχίας τῷ μετοχίῳ αὐτῷ ἐκ τῶν τοῦ καιροῦ περιστάσεων συγκυρήσοι παρ' ἐλπίδα, ὅπερ μὴ γένοιτο, καὶ τὰ ἑκατὸν ἑξήκοντα ἀσλανία μὴ δοθῶσιν ἐκ τοῦ εἰσοδήματος αὐτοῦ τοῖς ἐπιτρόποις, ὡς ἐκλελοιπότος, τότε τὸν σκευοφύλακα τοῦ ἐκεῖσε πατριαρχικοῦ θρόνου τῶν Ἱεροσολύμων ἀπολογεῖσθαι καὶ παρέχειν τὰ ἑκατὸν ἑξήκοντα ἐκεῖνα ἀσλανία πρὸς τὸν πατριαρχικὸν κατὰ καιροὺς ἐπίτροπον· ἐκεῖνος δὲ παραλαβὼν ταῦτα εἰς χεῖρας αὐτοῦ, ἐπὶ τοιούτοις ὡρισμένοις μέρεσι καὶ χρείαις ὠφελίμοις χορηγεῖν καὶ διανέμειν μετὰ ἀκριβοῦς προσοχῆς καὶ ὅτι πλείστης ἐπιμελείας ὁμοῦ καὶ παρατηρήσεως, ἵνα μή τις ἐξ ἀπροσεξίας τῷ θείῳ ἔργῳ ἐπακολουθήσῃ ὕφεσις καὶ ἐλάττωσις. Ὀφείλει οὖν πρῶτον μὲν διδόναι ἐξ ἐκείνων τριάκοντα γρόσια ἑνί τινι τῶν μουσικῶν ψάλτῃ μισθὸν κατ' ἔτος ἐπὶ τῷ ᾄδειν καὶ ψάλλειν τῷ Κυρίῳ ἔνδον τῆς ἁγίας πόλεως Ἱερουσαλήμ, ὅταν ἠνεῳγμένη ὑπάρχῃ ἡ πύλη τοῦ Ζωοδόχου Τάφου, ὅταν δὲ ἐστι κεκλεισμένη ἡ πύλη, δηλονότι τῆς Ἁγίας Ἀναστάσεως, ψάλλειν τότε ἐν τῷ ναῷ τοῦ Ἁγίου Ἰακώβου καθ' ἑκάστην Κυριακὴν καὶ πᾶσαν ἑορτὴν δεσποτικὴν τὰς συνήθεις ἐκκλησιαστικὰς ἀκολουθίας· προσέτι μαθητεύειν κατὰ χρέος ὁ αὐτὸς ψάλτης τοὺς πατέρας τοῦ θρόνου αὐτοῦ, ἱερομονάχους τε καὶ ἱεροδιακόνους καὶ μοναχούς, τά τε κοσμικὰ παιδία τῶν ὀρθοδόξων χριστιανῶν, οὓς ἂν διορίσωσιν αὐτῷ

μετ' ἐκλογῆς καὶ πατριαρχικῆς ἐπιτάξεως, κἂν τε ὁ κατὰ καιροὺς τοῦ θρόνου μακαριώτατος πατριάρχης, κἂν τε ὁ ἐπίτροπος αὐτοῦ, τοὺς τοιούτους πάντας τὴν ἀσματικὴν διδάσκειν, τουτέστιν τὰ ἀναστάσιμα τὰ κεκραγάρια τὰς τρεῖς λειτουργίας, ἕνα πολυέλεον, Πᾶσα Πνοὴ ἕν, μίαν δοξολογίαν μεγάλην καὶ κράτημα ἕνα, τούς τε κανόνας καὶ τὰ τροπάρια τὰ ψαλλόμενα ἐν ταῖς λιτανείαις τῆς Ἁγίας Ἀναστάσεως· ὁ δὲ βουλόμενος μαθεῖν πλείω τούτων, τὴν παπαδικὴν ἢ ἕτερα κρατήματα, εἴτε ἱερωμένος εἴτε λαϊκός ὁ τοιοῦτος, ἐξ οἰκείων πληρούτω χρημάτων καὶ οὕτω μανθανέτω.

Ἔτι δὲ ὅπως ὁ αὐτὸς τοῦ θρόνου ἐπίτροπος παρέχῃ ἐνὶ τῶν εὐλαβῶν χριστιανῶν ἕτερα εἴκοσι γρόσια, ἐκεῖνος δὲ μαθητεύειν τὰ παιδία τῶν ἐν τῇ ἁγίᾳ πόλει Ἱερουσαλὴμ χριστιανῶν τὰ κοινὰ γράμματα τῆς τε ρωμαϊκῆς διαλέκτου καὶ τῆς τῶν Ἀράβων· πρὸς τούτοις πληροῖ καὶ ἄλλα εἴκοσι γρόσια πρὸς δύο ἱερεῖς, ὀφείλοντας ἀεὶ ἔχειν τὴν κατοικίαν αὐτῶν διηνεκῶς εἰς τὴν ἐκκλησίαν τῆς Γάζης, ἐπὶ τῷ μαθητεύειν κἀκείνους τὰ τῶν χριστιανῶν παιδία τὰ κοινὰ γράμματα ρωμαϊστὶ καὶ ἀραβιστί· ὡσαύτως καὶ ἄλλα εἴκοσι γρόσια τῷ εἰς τὴν Ῥαμᾶ εὑρισκομένῳ ἱερεῖ, ἥτις καὶ Ῥαμάλα λέγεται, ἐπὶ τῷ μανθάνειν παρ' ἐκείνου τὰ τῶν χριστιανῶν παιδία κἀκεῖσε τὰ κοινὰ ρωμαϊκά τε καὶ ἀραβικὰ γράμματα· ὁμοίως καὶ ἕτερα γρόσια εἴκοσι πρὸς τοὺς ἱερεῖς τοὺς ὄντας εἰς τὸ Τάϊπιν, εἰς τὸ μαθητεύειν κἀκείνους τὰ τῶν χριστιανῶν παιδία τὸν αὐτὸν τρόπον, κοινὰ δηλονότι γράμματα· ἔτι δὲ καὶ ἕτερα εἴκοσι γρόσια δίδοσθαι ἑνὶ χρησίμῳ διδασκάλῳ εἰς τοῦ Πεζαλᾶ, ἐπὶ τῷ μανθάνειν κἀκεῖσε τὰ παιδία τῶν χριστιανῶν τὰ ἱερὰ γράμματα, ρωμαϊκά τε καὶ ἀραβικά· τὰ δὲ ἐναπολειφθέντα τριάκοντα γρόσια παρέχεσθαι πρὸς τοὺς ἱερεῖς τοὺς εὑρισκομένους εἰς τὸ Κοράκι, ἤτοι τὴν ἁγιωτάτην μητρόπολιν Πέτρας τῆς Ἀραβίας, εἴτε εἰς ἐὰν ἐκεῖσε ὑπάρχῃ, εἴτε καὶ δύο, ἵνα μανθάνωσι κἀκεῖσε τὰ παιδία τῶν χριστιανῶν ρωμαϊκὰ καὶ ἀραβικὰ γράμματα, ἐπὶ τῷ ἄρχεσθαι τοὐντεῦθεν διὰ τῆς τῶν γραμμάτων μαθήσεως προκόπτειν κατ' εὐσέβειαν τὰ τῶν πιστῶν παιδία καὶ εἰς αὔξησιν βελτιώσεως προέρχεσθαι.

Τούτων οὖν πάντων οὕτω διορισθέντων καὶ τυπωθέντων ἐπὶ

κοινῇ ὠφελείᾳ τοῦ ἐκεῖσε χριστιανικοῦ πληρώματος, πρὸς δὲ τὴν ἡμῶν μετριότητα ἀξιώσεως προβληθείσης ἕνεκα τῆς τούτων διαρκεστέρας ἐπιμονῆς καὶ συντηρήσεως, ἀποδεξάμενοι ασμένως τὴν αἴτησιν ταύτην ὡς λίαν θεοφιλῆ καὶ συμβάλλουσαν τὰ μέγιστα εἰς ψυχικὴν τῶν πιστῶν σωτηρίαν, γράφομεν καὶ ἀποφαινόμεθα καὶ συνοδικῶς ἐπιβεβαιοῦμεν ταῦτα πάντα τὰ κατὰ μέρος ἐγχαραχθέντα ἀνωτέρω γνώμῃ κοινῇ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα ἔχωσι τὸ κῦρος ἀναλλοίωτον ἀδιάκοπον καὶ ἀμετάτρεπτον εἰς αἰῶνα τὸν ἅπαντα, ὀφειλόντων κατὰ χρέος τῶν τὴν διοίκησιν αὐτῶν κατειλημμένων, τοῦ τε κατὰ καιροὺς μακαριωτάτου πατριάρχου τῶν Ἱεροσολύμων καὶ τοῦ οἰκείου ἐπιτρόπου, φροντίζειν καὶ κήδεσθαι περὶ τῆς διηνεκοῦς ἐνεργείας καὶ διαμονῆς τοῦ θειοτάτου τούτου ἔργου, ὡσαύτως καὶ τῶν κατὰ καιροὺς ἀρχόντων πρωτομαγιστόρων τοῦ ρουφετίου τῶν γουναράδων διὰ μερίμνης ἔχειν περὶ τῆς ἐπιστασίας τῶν τριῶν ἐπιτρόπων ἐκ τοῦ ρουφετίου αὐτῶν, τοῦ μηδέποτε ἐκλείπειν οὐδένα τῶν τριῶν· ἀλλ' εἴ ποτέ τις ἐξ ἐκείνων εἴτε παραιτήσεται εἴτε ἀποθάνῃ, ἀντικαθιστάναι ἕτερον καὶ ἀνταπληροῦν τὸν τριαδικὸν ἐκεῖνον ἀριθμόν, ζῆλῳ τε ἐνθέῳ καὶ ἀόκνῳ προθυμίᾳ καὶ ἐπιμελείᾳ καὶ σπουδῇ ὅτι πλείστῃ παραλαμβάνειν ἐκεῖνα τὰ ἑκατὸν ἑξήκοντα γρόσια τοῦ διαφόρου κατ' ἔτος παρὰ τοῦ ἡγουμένου τοῦ ῥηθέντος μετοχίου, καὶ ἐξαποστέλλειν ἀσφαλῶς πρὸς τὸν ἐκεῖσε πατριαρχικὸν ἐπίτροπον, κἀκεῖνον διανέμειν ταῦτα ἐν οἷς διωρίσθησαν τόποις, ἵνα μή τινος ἐξ ἀμελείας προστριβομένου ἐμποδίου ἄπρακτον μείνῃ τὸ τοιοῦτον θεάρεστον ἔργον, καὶ τότε οἱ πρωταίτιοι τῆς ἀργίας τούτου καὶ ἀπραξίας μεγάλως ἐτασθήσονται ἐν τῇ φρικτῇ καὶ φοβερᾷ ἐκείνῃ ἡμέρᾳ καὶ λόγον ὑφέξωσιν ἀναπολόγητον ὡς οἰκονόμοι ἀσυντελεῖς καὶ ἀπρόσφοροι. Ὅθεν εἰς ἔνδειξιν καὶ ἀσφάλειαν καὶ συντήρησιν ἀπαράτρεπτον τῶν γεγραμμένων τούτων πάντων ἀπελύθη τὸ παρὸν ἡμέτερον πατριαρχικὸν συνοδικὸν καὶ ἐπιβεβαιωτήριον γράμμα, ἐν ἔτει σωτηρίῳ ,αψς' (1706-ω), μηνὶ ἰουλίῳ ἰνδικτιῶνος ιδ'.

† Ὁ Ἡρακλείας καὶ Ῥαιδεστοῦ Νεόφυτος.
† Ὁ Κυζίκου Κύριλλος.
† Ὁ Νικομηδείας Παρθένιος.
† Ὁ Χαλκηδόνος Κωνστάντιος.
† Ὁ Προύσης Κύριλλος.
† Ὁ Ἰκονίου Ἄνθιμος.
† Ὁ Ἰωαννίνων Κλήμης.
† Ὁ Δρύστρας Ἀθανάσιος.
† Ὁ Δέρκων Νικόδημος.

8.

(Ἀθανασίου ε΄ Κωνσταντινουπόλεως ἀπόφασις συνοδικὴ κυροῦσα παλαιὸν ἔθος ἐν Ουγκροβλαχίᾳ καὶ Μολδοβλαχίᾳ περὶ τοῦ μνημοσύνου τοῦ ὀνόματος τοῦ πατριάρχου τῶν Ἱεροσολύμων ἐν τοῖς ἐκεῖ ναοῖς τοῖς ἀφιερωμένοις εἰς τὸν Ἅγιον Τάφον) [1].

Ἀθανάσιος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης.

Ἡ εὐκλεὴς περικαλλής τε καὶ θεοκόσμητος τῆς ἐκκλησιαστικῆς εὐταξίας εὐπρέπεια τῇ συνεκτικῇ καὶ συντηρητικῇ δυνάμει καὶ δεσποτείᾳ τῶν ἱερῶν καὶ θεοπνεύστων κανόνων τὴν ἑαυτῆς ἔσχηκεν ἴδρυσιν, τήν τε διαμονὴν ἀναντίρρητον σώζει καὶ ἀμετακίνητον εἰς αἰῶνα τὸν ἅπαντα· διὰ γὰρ τοῦτο ἡ ἱερὰ πολιτεία τῶν τοῦ βήματος, τῶν ἐπαγγειλαμένων διάγειν ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, εὐθυδρομοῦσα ἀεὶ πρὸς τὸ ὀρθὸν καὶ δίκαιον καὶ ἀνεπίληπτον τῶν οἰκείων θεσμῶν καὶ ὅρων οὐκ ἐξίσταται, ἀλλὰ μένει ἐν τῇ τάξει αὐτῆς προκόπτουσα κατὰ μικρὸν ταῖς πρὸς τὸ κρεῖττον ὑψηλαῖς ἀναβάσεσιν. Ὅθεν καὶ ἡ καθ' ἡμᾶς ἁγία καὶ ἀποστολικὴ ἐκκλησία ἐνστερνισαμένη αὐτοὺς ὥσπερ τινὰς θείους χρησμούς, σέβεται καὶ τιμᾷ τῶν ἱερῶν εὐαγγελίων οὐκ ἔλαττον, ἐπεὶ καὶ κἀκεῖνα πηγαὶ τούτων ἀτεχνῶς καὶ ῥίζαι τυγχάνουσιν. Ἀλλ' οὐχ ἧττον συμπαρυφίστανταί πως καὶ τινες σποράδην παλαιαὶ

[1] «Κώδηξ διαφόρων ἐπισήμων ἐγγράφων», φ. 37.

συνήθειαι, μὴ ἀντικείμεναι μὲν τοῖς ἱεροῖς κανόσι, πανσόφως δὲ καὶ οἰκονομικῶς ὑπὸ θεοφόρων ἀνδρῶν εὑρεθεῖσαι, ἅτε συντελοῦσαι κατὰ καιρικὰς περιστάσεις πρός τι τέλος ἀγαθόν, σύστημά τε καὶ στερέωμα παντὸς ἐκκλησιαστικοῦ πράγματος, τῷ δὲ μακρῷ χρόνῳ ἐντετυχοῦαι καὶ παρατατικῆς ἐνεργείας καὶ διατηρήσεως, ὥνπερ τὰς αἰτίας ἀκριβῶς οὐκ ἐπιστάμεθα διὰ τὸ ἀγράφους εἶναι· μέντοι γε ἐκ τοῦ ἀδιακόπως ἐνεργεῖσθαι μέχρι τῆς σήμερον κατὰ τόπους ἀρχαῖαί τινες εἶναι ἀριδήλως ἀποδείκνυνται, καθά που φαίνεται καὶ ἐν τῷ ἁγιωτάτῳ πατριαρχικῷ θρόνῳ τῶν Ἱεροσολύμων. ἄνωθεν καὶ ἐξ ἀρχῆς φιλοτιμίας τινὰς χορηγηθῆναι παρὰ τῶν πάλαι ἀοιδίμων πατριαρχῶν τοῦ οἰκουμενικοῦ τούτου θρόνου· οἷόν ἐστι τὸ τὸν αὐτὸν πατριάρχην τῶν Ἱεροσολύμων διανέμειν πανταχοῦ τὰ συγχωροχάρτια καὶ τὸ περιάγειν καὶ περιέρχεσθαι ἐν ἐλευθερίᾳ καὶ ἀκωλύτως εἰς πᾶσαν πόλιν καὶ χώραν ἐλέους χάριν καὶ παντοδαποῦς ἕνεκεν προμηθείας καὶ ἀντιλήψεως, τοῦτο μὲν δι' ἔνθεον καὶ διάπυρον ζῆλον, ἀγάπην τε καὶ τὴν εὐλάβειαν, ἣν πάντες οἱ πρὸ ἡμῶν κατὰ χρέος ἔφερον πρὸς τὸν σεβάσμιον καὶ θεοδέγμονα Τάφον, τὸν ὑπὲρ πάντα θεῖον καὶ προσκυνητὸν τόπον ὑπέρτερόν τε καὶ ἐξοχώτατον, ἐν ᾧ ὁ Κύριος τῆς ἐνσάρκου οἰκονομίας πληρώσας τὸ μυστήριον τὴν παγκόσμιον σωτηρίαν τῶν ἀνθρώπων ἐξειργάσατο· τοῦτο δὲ διὰ τὴν ἐπ' ἐσχάτων ἔκπτωσιν τοῦ γένους ἡμῶν εἰς δουλείαν καὶ τὸ ἐναπομεῖναι τὸ ἱερὸν ἐκεῖνο ἔδαφος ἐν μέσῳ πολλῶν ἀγρίων καὶ ἀνημέρων ἀλλοπίστων ἐθνῶν καὶ φυλῶν· καὶ στερηθέντος καὶ τοῦ πατριαρχικοῦ τούτου θρόνου τῆς προτέρας αὐτοῦ εὐημερίας εὐρυχωρίας τε καὶ τῆς ἀνέσεως, καὶ φθάσαντος εἰς κίνδυνον ἐπαπειλήσαντα παντελῆ τὴν ἐρήμωσιν, διὰ τοῦτο ἐκ θείας πάντως ἐπιπνοίας καὶ διεγέρσεως πρὸς τὰς καρδίας τῶν εὐσεβῶν εὐμοιρεῖ ἤδη πατριαρχικῶν μοναστηρίων ἐκκλησιῶν τε μετοχίων, οἵκτῳ θεοσεβείας προσηλωθέντων εἰς ἀνάκτησιν καὶ εὐστάθειαν τοῦ ἁγιωτάτου τούτου θρόνου· ὅστις μάλιστα τὰ πλείω πλουτεῖ πέραν τοῦ Παραδουνάβου, ἐν τοῖς ὁρίοις τῶν θεοφυλάκτων αὐθεντειῶν καὶ ἡγεμονιῶν Οὐγγροβλαχίας καὶ Μολδοβλαχίας, ἀφιερωθέντα μὲν κατὰ καιροὺς αὐτῷ τῷ Ζωοδόχῳ Τάφῳ ὑπὸ ἡγεμόνων εὐλαβῶν τιμίων τε

ἀρχόντων καὶ ἄλλων πολλῶν χριστιανῶν τῆς ὑποδεεστέρας τάξεως, δεσποζόμενα δὲ καὶ διεξαγόμενα τῇ προνοίᾳ καὶ ἐξουσίᾳ τῶν κατὰ καιροὺς πατριαρχῶν τῶν Ἱεροσολύμων, ἐν οἷς οἱ καθιστάμενοι Ἁγιοταφῖται ἡγούμενοι καὶ ὅσοι ἄλλοι ἐκκλησιαστικὴν αὐτῶν ἐπιστασίαν μετήρχοντο, καὶ τοῦτο πρὸς τούτοις διετήρουν κατέχοντες, ὡς ἀρχαίαν τινὰ ἐπικρατήσασαν συνήθειαν, τὸ μνημονεύειν αὐτοὺς ἀδιαλείπτως τοῦ πατριαρχικοῦ αὐτοῦ ὀνόματος ἐν ταῖς ἱεραῖς τελεταῖς καὶ ταῖς ἐκτεναῖς καὶ λοιπαῖς ἄλλαις ἐκκλησιαστικαῖς ἀκολουθίαις, οὐδενὸς ἄλλου ἀρχιερατικοῦ ὀνόματος συνεκφωνουμένου, ἵνα μὴ ἐν ταῖς ἐκκλησίαις δικέφαλος ἀρχὴ συνεισάγηται, ὡς ἄπαδον τοῦτο τῇ ἐκκλησιαστικῇ εὐταξίᾳ.

Ἐπεὶ οὖν καὶ τανῦν προεβλήθη ἡμῖν ἡ ὑπόθεσις αὕτη παρὰ τοῦ μακαριωτάτου καὶ σοφωτάτου πατριάρχου τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ καὶ πάσης Παλαιστίνης κῦρ Χρυσάνθου, τοῦ ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ καὶ περιποθήτου ἀδελφοῦ καὶ συλλειτουργοῦ τῆς ἡμῶν μετριότητος, ἐξαιτησαμένου μετὰ παράκλησεως τοῦ διαμένειν καὶ διενεργεῖσθαι αὖθις τὴν πρὸ πολλῶν χρόνων εὑρεθεῖσαν ἐνεργουμένην ἐν τοῖς μέρεσιν ἐκείνοις συνήθειαν ταύτην ἀκωλύτως, ὡς καὶ πρότερον, τούτου χάριν καὶ ἡ μετριότης ἡμῶν τοῖς ἴχνεσι τῶν τοσούτων πρὸ ἡμῶν ἀρχαίων συστοιχοῦσα πατριαρχῶν, τῶν ὁπωσδήποτε παρασιωπησάντων καὶ κατανευσάντων ἐκφωνεῖσθαι τὴν ἀναφορὰν τοῦ πατριαρχικοῦ αὐτοῦ μόνου ὀνόματος διὰ τὴν πρὸς τὸν Ἅγιον Τάφον ἀγάπην τε καὶ εὐλάβειαν, ὡς προέφημεν, γράφει καὶ ἀποφαίνεται γνώμῃ κοινῇ συνοδικῇ τῶν περὶ αὐτὴν ἱερωτάτων μητροπολιτῶν καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα ὁ διαληφθεὶς μακαριώτατος καὶ σοφώτατος συναδελφος ἡμῶν πατριάρχης τῶν Ἱεροσολύμων κῦρ Χρύσανθος πάντα τὰ πατριαρχικὰ αὐτοῦ μοναστήρια, ἐκκλησίας τε καὶ τὰ μετόχια, τὰ κείμενα ἐν ταῖς ἐπαρχίαις Οὐγγροβλαχίας τε καὶ Μολδοβλαχίας, ἔχῃ αὐτὰ ὑπὸ τὴν δεσποτείαν αὐτοῦ καὶ κυριότητα, διέπων αὐτὰ ὡς πρότερον, καθιστᾷ τε ἐν αὐτοῖς καὶ ἐξιστᾷ ἡγουμένους καὶ ἐπιστάτας, ὅτε καὶ οὓς ἂν βούληται, ἐκφωνοῦντας παρρησίᾳ τὸ " Ἐν πρώτοις μνή-

Μετὰ δὲ τὸ ,ασ': 1200: ἔτος, τῶν Καρτζάδων (Κιρκασίων) σκλάβων τῶν σουλτάνων τῆς Αἰγύπτου, Μαμαλούκων κοινῶς λεγομένων, κατεξουσιασάντων τοῦ βασιλείου τῆς Αἰγύπτου καὶ ἑπομένως ὅλης τῆς Παλαιστίνης, οἱ Κόπται καὶ οἱ Ἴβηρες ἔλαβον μεγάλην ἐπιρροὴν εἰς τὴν Ἱερουσαλήμ, οἱ μὲν Κόπται διότι ἦσαν γραμματικοὶ καὶ ὑπηρέται εἰς διαφόρους ὑποθέσεις τῆς βασιλείας, οἱ δὲ Ἴβηρες ἢ Γεωργιανοὶ διότι ἦσαν γείτονες καὶ φίλοι τῶν Κιρκασίων καὶ Ἀμπαζάδων καὶ διότι παρὰ τοῖς κρατοῦσιν ἦσαν πολλοὶ Ἴβηρες εἰς ἀξιώματα, ὄντες εἰς μὲν τὸ φανερὸν Τοῦρκοι, ἐν τῷ κρυπτῷ δὲ χριστιανοί. Ὅθεν μεγάλως ἐβοήθουν τῷ κατὰ καιρὸν ὀρθοδόξῳ πατριάρχῃ ὀρθόδοξοι ὄντες, καὶ προστάται ἦσαν τῶν προσκυνημάτων καὶ τοὺς Σαρακηνοὺς ἐκώλυον κακοποιεῖν τοὺς εὐσεβεῖς καὶ τὰ ἱερὰ μοναστήρια, ἅπερ καὶ οὐκ ὀλίγης ἠξιώθησαν ἐπισκευῆς δι' αὐτῶν. Καὶ οὕτως ἐχόντων τῶν πραγμάτων ἤρχοντο καὶ προσκυνηταὶ Ἴβηρες κατ' ἔτος οὐκ ὀλίγοι, καὶ τελευταῖον αἰτήσει τῶν τότε βασιλέων τῆς Ἰβηρίας ἐστάλησαν καὶ μοναχοὶ Ἴβηρες καὶ ἱερεῖς εἰς τὴν Ἱερουσαλήμ, οὓς ὁ πατριάρχης καὶ οἱ χριστιανοὶ ἐδέξαντο ἀσμένως καὶ ἔδωκαν αὐτοῖς καταλύματα τὴν μονὴν τοῦ Ἁγίου Νικολάου, οὖσαν τῷ καιρῷ μὲν τῶν χριστιανῶν μέγα Ξενοδοχεῖον πρὸς ὑποδοχὴν τῶν προσκυνητῶν, καθάπερ καὶ ἡ τοῦ Ἁγίου Δημητρίου, τότε δὲ ἐρείπιον καὶ μόνον τινῶν στοῶν σωζομένων καὶ τοῦ ὁρωμένου ναοῦ, ὃν οἱ Σαρακηνοὶ οὐκ ἔφθασαν κρημνίσαι ἐπὶ τῆς ἁλώσεως. Λαβόντες δὲ ταύτην ἐπεσκεύασαν καὶ κατῴκησαν, ὑποκείμενοι πάντοτε τῷ πατριάρχῃ διὰ τὸ ὁμόθρησκον. Καιροῦ δὲ προβαίνοντος καὶ πληθυνόντων τῶν πατέρων, τῶν Ἰβήρων δηλαδή, δεδώκασιν αὐτοῖς οἱ πατριάρχαι τὴν ἔξω Ἱερουσαλὴμ κειμένην πρὸς δυσμάς, κατὰ τὴν κοιλάδα ἢ ἄλσος Κλαυθμῶνος (Κριτῶν κεφ. β', 1, 2, 3. Ὅρα καὶ Ἰώσηπον ἀρχαιολ. λόγ. ζ' κεφ. 1) μονὴν τοῦ τιμίου Σταυροῦ, οὖσαν καὶ ταύτην ἠρημωμένην ὑπὸ τῶν Σαρακηνῶν. Ταύτην οὖν

λαβόντες τὰ κύκλω τείχη αὐτῆς πεπτωκότα ὄντα ἀνήγειραν, εἶτα καὶ τὰ ἔνδον καιροῦ προβαίνοντος ἀνεκαίνισαν βοηθεία τῶν τότε βασιλέων τῆς Ἰβηρίας καὶ δι' ἐλέους τῶν προσκυνητῶν κατὰ τὸ δυνατὸν αὐτοῖς [1]. Εἰς τοιαύτην ἐποχὴν καὶ οἱ Κόπται προοδεύσαντες ἴσχυσαν καὶ ἔλαβον παρὰ τῶν κρατούντων μέρος τοῦ βορείου νάρθηκος τοῦ ναοῦ τῆς Ἀναστάσεως καί τινα ἐρείπια πλησίον αὐτοῦ, πρὸς τὸ βορειοανατολικὸν μέρος, καὶ ᾠκοδόμησαν οἰκήματα διὰ τοὺς ἀπ' Αἰγύπτου ἐρχομένους προσκυνητὰς Κόπτας· μετὰ τοῦτο δὲ καὶ μονύδριόν τι ἔκτισαν κατ' ὀλίγον ἐπὶ τῶν ἐρειπίων τοῦ Ξενοδοχείου τῆς ἁγίας Μελάνης, ἐγγὺς τοῦ ἡμετέρου νῦν μοναστηρίου τοῦ Ἁγίου Δημητρίου.

Καὶ δὴ ἐπὶ τῆς βασιλείας τῶν σουλτάνων τῆς Αἰγύπτου οἱ Ἴβηρες καὶ αὐτοὶ οἱ Κόπται προώδευσαν, ἐκυβερνῶντο δὲ καὶ οἱ κατὰ καιρὸν πατριάρχαι περιερχόμενοι καὶ ζητοῦντες βοήθειαν παρὰ τῶν ἐν τῇ Παλαιστίνῃ χριστιανῶν· διότι τοῦ βασιλείου τῆς Κωνσταντινουπόλεως κλονουμένου πεσεῖν εἰς χεῖρας τῶν Ὀθωμανῶν, οὐκ ἦν ἐλπὶς ἐκεῖθεν βοηθείας. Ὅτε δέ, κρίμασιν οἷς οἶδε Κύριος, ἑάλω ἡ Κωνσταντινούπολις ὑπὸ τοῦ σουλτὰν Μεεμὲτ τοῦ Β-ου (1453), ὁ τότε πατριάρχης τῶν Ἱεροσολύμων Ἀθανάσιος ὀνόματι κρυφίως ἀπελθὼν προσέφερε τὴν ὀφειλομένην προσκύνησιν τῷ ρηθέντι ἀλωτῇ σουλτὰν Μεεμέτ, καὶ ἔχων μεθ' ἑαυτοῦ τὸν ρηθέντα ἀκτιναμὲν τοῦ Ὄμαρ, ὁμοίως καὶ τὸν τοῦ Μωάμεθ (ὃν ἔδωκε τοῖς μοναχοῖς ἐν τῷ ὄρει Σινᾶ) ἐπέδειξεν αὐτῷ· ὁ δὲ ἐκεῖνα ἀναγνοὺς ἔδωκεν αὐτῷ αὐτόγραφον κατ' ἐκεῖνα βασιλικόν, τουρκιστὶ χάτ-σερίφ, προστάσσων ἵνα ἔχῃ ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ ὅλα τὰ

[1] «Σημείωσαι ὅτι περὶ τὰ τέλη τῆς ιδ' ἑκατονταετηρίδος ἤρξαντο ἔρχεσθαι εἰς προσκύνησιν τῶν ἁγίων τόπων καὶ Σέρβοι, ὀρθόδοξοι ὄντες, καὶ ὁ τότε πατριάρχης ἔδωκεν αὐτοῖς ἵνα ἔχωσιν ἴδιον οἴκημα τὴν μονὴν τῶν Ἀρχαγγέλων. Ἐν ἐκείνοις δὲ τοῖς χρόνοις ἦλθον δύο αὐτάδελφοι Σέρβοι πλουσιώτατοι, ζητοῦντες μονάσαι εἰς τὴν μονὴν τοῦ ἁγίου Σάββα, καὶ ὁ πατριάρχης κουρεύσας αὐτοὺς μοναχοὺς ἀπέστειλεν ἐκεῖ· οἵτινες λαβόντες ἐκεῖ μετάνοιαν καὶ κατοικήσαντες πολλὰς ἐπισκευὰς ἐποίησαν δι' ἰδίων ἀναλωμάτων· ἦν γὰρ τότε ἡ ρηθεῖσα μονὴ εἰς πολλὰ μέρη ἐρείπιον. Μετ' οὐ πολὺ ἦλθον καὶ ἄλλοι συγγενεῖς αὐτοῦ καὶ ἐμόναζαν· εἶτα καὶ ἄλλοι καὶ εἰς ὀλίγους χρόνους κατέστη ἡ μονὴ αὕτη ἰδιάζουσα τοῖς Σερβοῖς, ὑποκειμένη δὲ τῷ πατριάρχῃ».

ἐντὸς καὶ ἐκτὸς τῆς Ἱερουσαλὴμ ἱερὰ προσκυνήματα καὶ τὰ ἐν τῇ Βηθλεὲμ Ναζωραίων γένη καὶ ἄλλα. Ἐνδέκατον· τούτου δὲ τοῦ σουλτὰν Μεχμὲτ ὁ ἔγγονος σουλτὰν Σελὴμ Α-ος διὰ φρικτοῦ πολέμου τῷ 1512-ῳ ἔτει κυριεύσας τὴν Αἴγυπτον, κρατουμένην ὡς εἴρηται ὑπὸ τῶν Κερτζέζιδων τριακοσίους περίπου χρόνους. εἶτα δὲ καὶ αὐτὴν τὴν Παλαιστίνην, ἦλθε καὶ εἰς τὴν Ἱερουσαλὴμ προσκυνήσων τὸ Χαρὲμ-Σέρφ, ἤτοι τὸν ἱερὸν οἶκον, ὅ ἐστι τὸν ποτὲ ναὸν τοῦ Σολομῶντος, ὅπου προσεκύνησε καὶ ὁ Ὅμαρ. Ὁ δὲ τότε πατριάρχης Δωρόθεος, ἀραβιστὶ καλούμενος Ἀττάλας. προσελθὼν αὐτῷ καὶ προσκυνήσας ἐνεφάνισεν αὐτῷ τὸ τοῦ Ὅμαρ καὶ τὰ λοιπὰ ἔγγραφα τῶν σουλτάνων· ὁ δὲ δέδωκεν αὐτῷ ἴδιον ὁρισμὸν αὐτόγραφον (χὰτ-σερὶφ), ὅπως ἔχῃ ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ ὅλον τὸν ναὸν τῆς Ἀναστάσεως καὶ τὸν ἐν τῇ Βηθλεὲμ τῆς Γεννήσεως καὶ ὅλα τὰ λοιπὰ ἅγια προσκυνήματα κατ' ὄνομα, καὶ ἵνα ἔχῃ ὑποκειμένους τοὺς Χαμπεσίους Τζιουρτζῆδες καὶ Σέρβους· περὶ δὲ Κόπτων Ἀρμενίων καὶ Φράγκων οὐδ' ὅλως ἀναφέρει, διότι οἱ μὲν Κόπται εἶχον τότε πατριάρχην ἐν Αἰγύπτῳ, καθάπερ καὶ νῦν. Φράγκοι δέ, ὡς εἴρηται, οὐδὲ ἐτόλμων πλησιάσαι εἰς τοὺς λιμένας τῆς Παλαιστίνης καὶ Συρίας, οἱ δὲ Ἀρμένιοι διὰ τοὺς μεταξὺ Περσῶν τε καὶ Ὀθωμανῶν πολέμους. Γράφει δὲ τὸ ρηθὲν χὰτ-σερὶφ οὕτω· «Ἀπὸ πασῶν τῶν φυλῶν ὁ πατριάρχης τῶν Ρωμαίων νὰ προηγῆται». Ὁ πατριάρχης οὗτος Δωρόθεος ἦ Ἀττάλας ἐνάρετος καὶ ἁπλούστατος ὢν ἔλαβεν εὔνοιαν παρὰ τῷ σουλτάνῳ τούτῳ τοσαύτην, ὥστε ἐτόλμησε παρακαλέσαι αὐτὸν ὅπως ἀνοικοδομήσῃ τὰ τείχη Ἱερουσαλὴμ πεπτωκότα ὄντα εἰς πολλὰ μέρη ἀπὸ τοῦ καιροῦ τοῦ Σαλαδίνου, ὡς εἴρηται· δι' ὃ καὶ οἱ Φελάχιδες λῃσταὶ συνεχῶς εἰσερχόμενοι νυκτὸς ἔκλεπτον ἁρπάζοντες ὡς ἐπὶ τὸ πλεῖον τὰ πράγματα τῶν χριστιανῶν. Ὑπήκουσεν αὐτῷ ὁ σουλτάνος καὶ προσέταξεν ἀνοικοδομηθῆναι· καὶ δὴ ἐτελειώθη τὸ ἔργον ἐπὶ τῆς βασιλείας τοῦ υἱοῦ αὐτοῦ σουλτὰν Σουλεϊμὰν Κανονῆ λεγομένου.

Οὕτω δὲ κυριευθείσης τῆς Ἱερουσαλὴμ ὑπὸ τοῦ Σελὴμ καὶ πεσούσης εἰς τὴν ἐξουσίαν τῶν Ὀθωμανῶν, ἔλαβεν ἀλλοίωσιν ἐπὶ

τὸ βέλτιον μέν, ἀλλ' ἑξῆς ὁ θεῖος ναὸς τῆς Ἀναστάσεως καὶ ὁ τῆς Βηθλεὲμ καὶ τὰ λοιπὰ ἱερὰ προσκυνήματα ἔμελλον γενέσθαι ὄργανα διενοχλήσεων καὶ πειρασμῶν μεγάλων, οὐ μόνον τοῖς πατριάρχαις τῶν Ἱεροσολύμων, ἀλλὰ καὶ παντὶ τῷ γένει τῶν ὀρθοδόξων, ἐκ μέρους τῶν Φρατόρων Λατίνων καὶ τῶν Ἀρμενίων, ὡς ἡ ἑξῆς ἱστορία συνοπτικώτατα δηλώσει. Καὶ γὰρ ἐντεῦθεν ἤρξαντο τὰ μέγιστα σκάνδαλα, τῶν μὲν ζητούντων λαβεῖν τὰς ἀπ' ἀρχῆς ἰδιοκτησίας ἡμῶν καὶ προνόμια, ἡμῶν δὲ μὴ στεργόντων ἀλλ' ἀγωνιζομένων φυλάξαι ὅσαις δυνάμεσι. Τῶν δὴ μεγίστων τούτων σκανδάλων τε καὶ ἐπηρειῶν ἡ ἀρχὴ ἔχει οὕτως.

Τοῦ ῥηθέντος σουλτὰν Σελὴμ κυριεύσαντος ἤδη τὴν Αἴγυπτον Συρίαν καὶ ὅλην τὴν Μικρὰν Ἀσίαν, καὶ τρομεροῦ φανέντος κατὰ Περσῶν, πάντα τὰ εὐρωπαϊκὰ βασίλεια ἔσπευσαν φιλιωθῆναι μετ' αὐτοῦ· καὶ τούτου γενομένου περὶ τὸ ,αφιζ' (1517) ἤρξαντο ἔρχεσθαι ἐν Ἱερουσαλὴμ Δυτικοὶ διὰ τὴν προσκύνησιν τῶν ἁγίων τόπων. Μὴ ἐχόντων δὲ κατάλυμα, ὑπεδέχετο αὐτοὺς ὁ πατριάρχης εἰς τὰ ἐν Ἱερουσαλὴμ ἡμέτερα μοναστήρια ἐν ἀγάπῃ χριστιανικῇ. Μετὰ δὲ ὀλίγους χρόνους ἦλθον καὶ δέκα μοναχοὶ ἐκ τοῦ τάγματος τῶν Φραγκισκάνων, Φράτορες, οἵτινες ἔχοντες μεθ' ἑαυτῶν ἱκανὸν χρυσίον παρεκάλεσαν τὸν πατριάρχην ἵνα δῷ αὐτοῖς τόπον τινὰ δι' ἐνοικίου, ὅπως κατοικῶσι πρὸς καιρόν· ὁ δὲ πτωχότατος ὢν ἔστερξε. Καὶ δὴ, ἵνα μὴ ἔχῃ αὐτοὺς ἔνδον τῆς Ἱερουσαλήμ, ἔδωκεν αὐτοῖς ἐν τῇ Ἁγίᾳ Σιὼν μονύδριον, ἔνθα ὁ Οἶκος τοῦ Ζεβεδαίου καὶ ὅπου ὁ μυστικὸς δεῖπνος ἐγένετο. Ἦν δὲ τοῦτο τότε σχεδὸν ἐρείπιον, σῳζομένου μόνον τοῦ ναοῦ καὶ τριῶν τεσσάρων κελλίων, ὅπου λαϊκοί τινες ἐκάθηντο ὀρθόδοξοι διὰ τὴν σπάνιν τότε τῶν μοναχῶν. Λαβόντες δὲ τοῦτο οἱ Φράτορες διὰ συμφωνητικοῦ ἐπὶ τοῦ Κριτηρίου τοῦ διδόναι τόσον ἐνοίκιον ἐκάθησαν καὶ ἤρξαντο ἐπισκευάζειν καὶ καλλωπίζειν· ἐδίδοσαν δὲ κατ' ἔτος τὸ συμφωνηθὲν ἐνοίκιον. Προϊόντος δὲ καιροῦ οἱ δέκα Φράτορες ἐγένοντο εἴκοσι καὶ τριάκοντα καὶ διὰ τοῦ χρυσοῦ εἵλκυσαν πρὸς ἑαυτοὺς τὴν τῶν κρατούντων εὔνοιαν καὶ ἔφερον Μαρωνίτας τινὰς ὑπαδοὺς τῆς δυτικῆς ἐκκλησίας καὶ κατῴκησαν σὺν γυναιξὶ καὶ

τέκνοις ἔνδον τῆς Ἱερουσαλήμ, ἐνοικιάζοντες οἴκους πτωχῶν χριστιανῶν καὶ Τούρκων δι' ἀϱᾶς ὁόσεως· εἰσήϱχοντο δὲ εἰς τὸν ναὸν τῆς Ἀναστάσεως καὶ προσεκύνουν μόνον, μηδένα τόπον ἔχοντες λειτουργεῖν ἢ ψάλλειν. Τῷ δ' αὐτῷ καιρῷ ἤϱξαντο ἔϱχεσθαι εἰς προσκύνησιν καὶ Ἀρμένιοι (ὑποτεταγμένης ἤδη τῆς Κιλικίας καὶ τῆς Μικρᾶς Ἀρμενίας, ἔνθα κατῳκουν Ἀρμένιοι τότε), οἵτινες πολλῇ ταπεινώσει χρώμενοι εἰς τὸν πατριάρχην σέβας καὶ εὐλάβειαν ἐδείκνυον· ὁ δὲ ὑπεδέχετο αὐτοὺς φιλοφρόνως. Ἐξαιτησάντων δὲ καὶ τούτων δι' ἐνοικίου οἴκημα, ἔδωκαν τὸν κατὰ παράδοσιν ἀρχαῖον Οἶκον Καϊάφα τοῦ ἀρχιερέως, ὅπου τὸν Κύριον οἱ Ἰουδαῖοι κατέκριναν εἰπόντες "ἔνοχος θανάτου ἐστί, καὶ ἐνέπτυσαν εἰς τὸ πρόσωπον αὐτοῦ καὶ ἐκολάφισαν" κτλ., ὅπου καὶ ἡ δεύτερα καὶ τρίτη ἀρνησις τοῦ Πέτρου συνέβη κτλ., ὅπου καὶ ναὸς ὑπὸ τῶν πάλαι χριστιανῶν ᾠκοδομήθη ἔχων καὶ δύο κελλία. Τοῦτον οὖν λαβόντες οἱ Ἀρμένιοι κατῴκησαν ἡσυχάζοντες, ἐπερχόμενοι δὲ καὶ προσκυνοῦντες εἰς τε τὸν ναὸν καὶ πάντα τὰ προσκυνήματα ἀκωλύτως, καθάπερ καὶ οἱ Φράγκοι, ἰδίαν δὲ ἐκκλησίαν μὴ ἔχοντες.

Ἀλλ' οἱ Φράτορες τοὺς κρατοῦντας φίλους ἔχοντες ἔπεισαν αὐτοὺς καὶ ἔλαβον ἄδειαν λειτουργεῖν ἐπάνω τῆς Ἀποκαθηλώσεως, ἤτοι τοῦ τόπου ἐν ᾧ ὁ Ἰωσὴφ καὶ ὁ Νικόδημος τὸ σῶμα τοῦ Κυρίου σμύρνῃ καὶ ἀλόῃ ἀλείψαντες τῇ καθαρᾷ σινδόνι ἐνείλωσαν· ἐτίθουν δὲ τράπεζαν ξυλίνην ἐντὸς τοῦ τόπου, χθαμαλοῦ (ὄντος). Τοῦτο δὲ ποιήσαντες τῷ ἑπομένῳ ἔτει ἕφερον τράπεζαν, ἢ ἀλτάριον λατινιστί, ἐκ τῆς Εὐρώπης ὀρειχάλκινον, ἔσωθεν μὲν διάκενον, βαρυτάτην δέ, ὅπως μένῃ ἐκεῖ ἐσῆς ἀκίνητος. Ὁ δὲ τότε πατριάρχης Γερμανὸς ὀνόματι ἦν ἐν Κωνσταντινουπόλει πρὸς τὸ ἐντυχεῖν τῷ σουλτάνῳ Σουλεϊμὰν Κανονῇ λεγομένῳ καὶ λαβεῖν καὶ παρ' ἐκείνου ὁρισμόν. Λαβὼν δὲ οἷον ἤθελε καὶ ἐπιστρέψας εἰς Ἱερουσαλὴμ εὗρε τὸ ῥηθὲν ἀλτάριον, καὶ παρρησιάσας τὸν ὁρισμὸν διαλαμβάνοντα ῥητῶς τὴν κυριότητα ὅλου τοῦ ναοῦ καὶ ἐξόχως τῆς Ἀποκαθηλώσεως. Λαβὼν οὖν τὸ ἐνδόσιμον καὶ συναγαγὼν τοὺς ὀρθοδόξους ἦρεν αὐτὴν ἐκεῖθεν. Τότε καὶ οἱ Ἀρμέ-

νιοι διὰ πολλῶν δώρων δελεάσαντες τοὺς Χαμπεσίους ἔλαβον παρ' αὐτῶν ἄδειαν λειτουργεῖν εἰς τὴν βόρειον γωνίαν τοῦ ναοῦ τῆς Εὑρέσεως. Συρρεόντων δὲ ἐντεῦθεν προσκυνητῶν Ἀρμενίων καὶ μὴ χωρούντων εἰς τὸν ῥηθέντα Οἶκον τοῦ Καϊάφα, παρεκάλεσαν δωροδοκήσαντες τοὺς Ἴβηρας καὶ ἔδωκαν αὐτοῖς τόπον δι' ἐνοικίου εἰς τὸν Ἅγιον Ἰάκωβον τοῦ Ζεβεδαίου, ἐπὶ συμφωνίᾳ κατ' ἔτος πεντήκοντα φλωρία, κατανεύσαντος εἰς τοῦτο καὶ τοῦ πατριάρχου Γερμανοῦ καὶ παρόντος ἐν τῷ Κριτηρίῳ, ὅτε ἐγράφετο τὸ συμφωνητικόν, ὅπερ ἐστὶ φυλαττόμενον παρ' ἡμῖν μέχρι τῆς σήμερον.

Τῷ δὲ ,αφνα': 1551: ἐδελέασαν οἱ Φράτορες τοὺς Μαρωνίτας, ἔχοντας τόπον εἰς τὸν βόρειον νάρθηκα τοῦ ναοῦ, ὅπου καὶ μέρος τῆς κολώνας τῆς μαστιγώσεως καὶ τὸ Μή μου ἅπτου, καὶ ἔβαλον τὴν ῥηθεῖσαν ὀρειχαλκίνην τράπεζαν λειτουργεῖν ἐπ' αὐτῆς, μὴ δυνηθέντος τοῦ πατριάρχου τοῦτο κωλῦσαι, ὡς βοηθούντων τῶν δωρολήπτων ἐξουσιαστῶν.

Τῷ δὲ ,αφνδ' (1554) οἱ Κόπται οἱ Ἀρμένιοι καὶ Μαρωνῖται συνεφώνησαν διὰ παρακινήσεως τῶν Φρατόρων καὶ ἐζήτουν καὶ αὐτοὶ ἔχειν κλεῖς τοῦ ναοῦ καὶ κλείειν ὁπόταν βούλοιντο. Τέλος δ' οὖν ἐγένοντο οὗτοι πάντες αἴτιοι καὶ διὰ προσταγῆς σουλτανικῆς τῷ 1557 ἐδόθησαν αἱ κλεῖς Τούρκοις, διορισθεῖσιν ἐπίτηδες ἀνοίγειν καὶ κλείειν ἑκάστῳ ἔθνει κτλ. Ὅθεν ἠναγκάσθησαν πάντα τὰ ἔθνη καὶ ἐξόχως ἡμεῖς κατασκευάσαι ἔνδον τοῦ ναοῦ οἰκήματα ἐκ ξύλων διὰ τοὺς κανδηλάπτας ἐφόρους νεωκόρους· ὅπερ αἴτιον κατέστη, ὅπως ὁ ναὸς διαιρεθῇ εἰς τόσα μέρη καὶ σμικρυνθῇ καὶ τελευταῖον ἐμπρησθῇ, ὡς ῥηθήσεται.

Τῷ δὲ ,αφϛα' (1561) εἰς Ἑβραῖος, ὑπουργὸς μέγας τοῦ πασᾶ καὶ ἔντιμος, ἀπῆλθε χάριν προσκυνήσεως ἐν τῇ Ἁγίᾳ Σιών, (εἰς) τὰ ἐκεῖ μνημεῖα Δαβὶδ καὶ Σολομῶντος· οἱ δὲ ἐκεῖ οἰκοῦντες οὐκ ἤνοιξαν αὐτῷ. Ὅθεν ἐκεῖνος θυμοῦ πλησθεὶς εἶπε πολλὰ καὶ δεινὰ κατ' αὐτῶν τῷ πασᾷ καὶ ὅλοις τοῖς ἐν Ἱερουσαλὴμ ἐγκρίτοις· καὶ τοσοῦτον ἐνήργησεν, ὥστε μίαν φορὰν κατὰ Παρασκευὴν πλῆθος Τουρκῶν ἀπελθόντες τοὺς μὲν Φράτορας ἐξέβαλον διώ-

ξαντες ἐκεῖθεν, τὴν δ' ἐκκλησίαν τζαμὶ ἐποίησαν, κτίσαντες καὶ ὀβελίσκον, ἤτοι μιναρέν. Οἱ οὖν Φράτορες μείναντες χωρὶς κατοικίας προσέδραμον πάλιν ἡμῖν καὶ δεδώκαμεν αὐτοῖς τὴν μονὴν Ἰωάννου τοῦ Θεολόγου, ἐγγὺς οὖσαν τῆς μονῆς τῶν Ἀρχαγγέλων, δι' ἐτησίου ἐνοικίου, καὶ ταὐτοχρόνως ἐδώκαμεν αὐτοῖς καὶ εἰς τὴν Ἁγίαν Βηθλεέμ, πρὸς τὸ βόρειον μέρος τοῦ ἐκεῖ ναοῦ, οἰκίσκον τινά. Οἱ φίλοι δὲ οὗτοι εὐεργεσίαν τοιαύτην ἡμείψαντο· καὶ γὰρ τῷ ἀφ' ἕτει (1580), ἄπειρα χρήματα δόντες τοῖς ἐν Ἱερουσαλὴμ κριταῖς ἥρπασαν παρ' ἡμῶν ὅλον τὸν ναὸν τοῦ Γολγοθᾶ καὶ τὸ ἐγγὺς πρὸς νότον παρακλήσιον τῆς Ἁγίας Ἑλένης, καὶ πρὸς τούτοις μέρος εἰς τὴν Ἁγίαν Βηθλεὲμ καὶ ἄδειαν λειτουργεῖν ἐπὶ τοῦ ἁγίου Σπηλαίου τῆς Γεννήσεως. Ὁ δὲ τότε πατριάρχης Σωφρόνιος τοὔνομα λύπῃ συσχεθεὶς καὶ τὴν ἀδικίαν μὴ ὑπομένων ἀπῆλθε πρὸς τὴν Κωνσταντινούπολιν προσκαλούμενος τῷ σουλτάνῳ δι' ἀναφορᾶς· ἀλλ' οὐδὲν ἤνυσε. Δαπανήσας δὲ δώδεκα χιλιάδας φλωρίων σουλτανικῶν καὶ μέσα πολλὰ χρησάμενος μόλις ἠξιώθη λαβεῖν τὸ ἥμισυ τοῦ ναοῦ ἐκείνου, ὅπερ κατέχομεν μέχρι τῆς σήμερον. Περὶ δὲ τὸ 1590 ἔτος καὶ τὴν μονὴν Ἰωάννου τοῦ Θεολόγου διὰ βασιλικῆς προσταγῆς ἰδιοποιήσαντο, καὶ ἔκτοτε οὐδ' ὀβολὸν ἡμῖν ἔδωκαν διὰ τὸ ἐνοίκιον.

Τούτους μιμησάμενοι καὶ οἱ καλοὶ Ἀρμένιοι ἐπονηρεύσαντο διαφόρους δολιότητας μὴ δοῦναι τὸ ἐτήσιον ἐνοίκιον, ἀλλ' ἐματαιώθησαν· κριθέντος γὰρ τοῦ πατριάρχου μετ' αὐτῶν ἐν τῷ Κριτηρίῳ προσετάγησαν δοῦναι κατ' ἔτος καὶ πλεῖον τῶν 50 φλωρίων ἐφ' ᾧ καὶ χοτζέτι, ἤτοι τῆς κρίσεως διαβεβαίωσις, ἐγράφη, ὅπερ σὺν τοῖς τοιούτοις σώζεται παρ' ἡμῖν. Αὐτοὶ δὲ ἄλλους τρόπους ἐπενόησαν· ἤρξαντο ἐπισκευάζειν λαμπρῶς ἐν τῇ μονῇ ταύτῃ καὶ ἀνορθοῦν κελλία ἐκ θεμελίων ἄνευ τῆς ἀδείας τοῦ πατριάρχου. Ἐνεκάλεσεν αὐτοὺς εἰς κριτήριον, ὅπου ὡμολόγησαν ὅτι τὰ κελλία, ἃπερ κτίζουσι, λογισθήσονται κτῆμα τῶν Ῥωμαίων καὶ οὐχὶ αὐτῶν, καὶ ὅτι ἐν οὐδεμιᾷ προφάσει δώσουσι κατ' ἔτος τὸ συμφωνηθὲν ἐνοίκιον. Ἐπὶ τούτοις ἐγράφη καὶ ἄλλο χοτζέτι καὶ φυλάττεται παρ' ἡμῶν.

Τῷ δὲ ,αχζ' (1607) οἱ Φράτορες, λείποντος τοῦ πατριάρχου Θεοφάνους εἰς τὴν Βλαχίαν χάριν ἐλέους, κατεσκεύασαν κάγκελλα σιδηρᾶ, καὶ φέροντες εἰς τὸν ναὸν τοῦ Γολγοθᾶ διεχώρισαν δι' αὐτῶν τὸν νότιον χορόν, ἔνθα ἐλειτούργουν, μὴ συγχωροῦντες ἡμῖν ἱστασθαι αὐτόθι ἐν τῷ καιρῷ τῆς ἱερουργίας. Ἀλλ' ὁ πατριάρχης Θεοφάνης μαθὼν ἀναφορὰν ποιησάμενος εἰς τὴν Ὑψηλὴν Πόρταν, καὶ τὰ σίδηρα ἐξέβαλεν ἐκ τοῦ Ἁγίου Γολγοθᾶ καὶ αὐτοὺς ἐκείνους· ἀλλὰ πάλιν αὐτοὶ διὰ πολλῶν φλωρίων καὶ δώρων πρὸς τοὺς ἐν Ἱερουσαλὴμ κρατοῦντας ἔλαβον ἀναφορὰν παρ' αὐτῶν, ὅτι ἔκπαλαι σφῶν ἐστι τὸ ἥμισυ τοῦ Γολγοθᾶ, καὶ οὕτως ἔλαβον αὐτὸ διὰ τῆς σουλτανικῆς προσταγῆς τῷ αχια' ἔτει (1611)· ἔλαβον δὲ καὶ ὅλον τὸν ναὸν τῆς Βηθλεὲμ καὶ ἐξέβαλον ἡμᾶς ἐκεῖθεν καὶ τὰ τέμπλα ἡμῶν καὶ εἰκόνας κτλ. Τῷ αχιδ' (1614) ἔγραψαν γὰρ εἰς τοὺς Δυτικοὺς βασιλεῖς, ὅτι οἱ Ῥωμαῖοι διώκουσιν αὐτοὺς καὶ οὐκ ἐῶσι προσκυνεῖν· οἱ δὲ βασιλεῖς τῷ σουλτάνῳ προσκλαυθέντες ἔλαβον προσταγὴν καὶ περὶ τοῦ Γολγοθᾶ καὶ τῆς Βηθλεὲμ πάλιν ὁμοῦ, ἐκείνου μὲν ἔχειν τὸ ἥμισυ, ταύτης δὲ ὅλον τὸν ναόν· καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ διὰ τὴν Ἁγίαν Ἀποκαθήλωσιν ἔφερον προσταγὴν καὶ κατέστη κοινὴ ἡμῖν καὶ αὐτοῖς. Τῷ δὲ αχκη (1628) τῇ ἡμέρᾳ τῶν Χριστοῦ γεννῶν ἀπελθόντος τοῦ αὐτοῦ πατριάρχου εἰς Βηθλεὲμ μετὰ τῶν προσκυνητῶν, οἱ καλοὶ ἀδελφοὶ οὗτοι ἔκλεισαν τὴν βόρειον πύλην τοῦ Ἁγίου Σπηλαίου, λέγοντες ὅτι ἦν ἰδιάζουσα αὐτοῖς· καὶ δὴ οὐκ εἴασαν διελθεῖν τὸν πατριάρχην δι' αὐτῆς ἐν τῷ καιρῷ τῆς συνήθους λιτανείας, ὡς γίνεται κατ' ἔτος· καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ ἐχλεύαζον ὑβρίζοντες αὐτὸν καὶ ὅλον τὸ ἱερατεῖον καὶ τοὺς προσκυνητάς. Ὅθεν ὁ πατριάρχης τελειώσας τὴν ἑορτὴν μετὰ λύπης οὐχ ὑπέφερεν, ἀλλὰ ζήλου πλησθεὶς ἀπῆλθεν εἰς τὴν Βασιλεύουσαν καὶ δοὺς τῷ σουλτάνῳ ἀναφορὰν ἐνήργησε διορισθῆναι κρίσιν· καὶ τούτου γενομένου, ὁ σουλτὰν (ἦν δὲ ὁ Μουρὰτ) πληροφορηθεὶς τὸ δίκαιον ἐξέβαλε τοὺς Δυτικοὺς τῆς Βηθλεέμ, ὁμοίως καὶ τῆς μονῆς τῆς ἐκεῖ, (οὔσης ἡμῶν ὡς εἴρηται καὶ αὐτῶν κατοικούντων ἐπὶ ἐνοικίῳ)· αὐτῶν δὲ κλαιόντων καὶ παρακαλεσάντων τὸν πατριάρ-

χην ἱκετικῶς, ἀφῆκεν αὐτοὺς (οὗτος) κατοικεῖν εἰς τὴν μονήν, ἔτι δὲ ἀμνησικακῶν ἔδωκεν αὐτοῖς καὶ τὴν Ἁγίαν Φάτνην λειτουργεῖν.

Τῷ δὲ ,αχλγ' (1633) οἱ Ἀρμένιοι ἔλαβον παρὰ τῶν προυχόντων τῆς Ἱερουσαλὴμ Τούρκων ψευδῆ ἔγγραφα καὶ χοτζέτια κτλ. ὅτι τὸ μοναστήριον τῆς Ἐλαίας λεγόμενον (ὅπου ἦν ὁ οἶκος Ἄννα τοῦ ἀρχιερέως, ἔνδον τῆς Ἱερουσαλήμ) ἦν ἔκπαλαι οἰκοδομὴ καὶ ἰδιοκτησία αὐτῶν· παρρησιάσαντες δὲ ταῦτα εἰς τὴν Ὑψηλὴν Αὐλὴν καὶ ἄπειρα δαπανήσαντες ἔλαβον τοῦτο διὰ βασιλικῆς ἐπιταγῆς καὶ κατέχουσι μέχρι τῆς σήμερον, ὁμοίως οἰκειοποιήσαντες καὶ τὸν ῥηθέντα (σελ. 414) Οἶκον τοῦ Καϊάφα· ἦν δὲ τότε ὁ ῥηθεὶς πατριάρχης ἀποδημῶν εἰς τὴν Βασιλεύουσαν. Τῷ δὲ ἑπομένῳ ἔτει ,αχλδ' (1634) ἔχοντες ἡμεῖς μὲν πάσχα ἀπριλίου 6, αὐτοὶ δὲ οἱ Ἀρμένιοι ἀπριλίου 14, ἐμελέτησαν ὅπως μεταθέσωσι τὸ ἡμέτερον εἰς τὸ ἑαυτῶν καὶ ἑορτασθῇ ὁμοῦ τῇ ιγ' ἀπριλίου. Ὅθεν διὰ πολλῶν χρυσίων καὶ δώρων κατέπεισαν τόν τε μουλλᾶν καὶ πασᾶν καὶ ὅλους τοὺς κρατοῦντας τῆς Ἱερουσαλὴμ μαρτυρεῖν καὶ λέγειν, ὅτι τὸ καλενδάριον ἡμῶν ἐστιν ἐσφαλμένον, τῶν δ' Ἀρμενίων ὀρθόν, καὶ ἐπὶ τούτῳ ἀποδεικτικὰ ἱλάμια καὶ χοτζέτια καὶ ἐπικυρωτικά. Καὶ δὴ τῷ μεγάλῳ Σαββάτῳ οἱ ῥηθέντες ἐξουσιασταὶ σφραγίσαντες τὸ ἱερὸν Κουβούκλιον τοῦ Παναγίου Τάφου, οὐδένα εἴασαν εἰσελθεῖν· κλαιόντων δὲ τῶν ὀρθοδόξων καὶ ἱκετευόντων τὸν Κύριον μὴ παριδεῖν αὐτούς, αἴφνης περὶ ὥραν ἑνάτην βροντὴ μεγάλη ἐγένετο ἔνδον τοῦ ναοῦ τοῦ Παναγίου Τάφου καὶ ὑπέρλαμπρον φῶς ἐκεῖθεν ἐξῆλθεν ὡς ἀστραπὴ πάντων ὁρώντων. Τότε οἱ μὲν ὀρθόδοξοι χαρᾶς ἀπείρου πλησθέντες ἔκραζον μεγαλοφώνως τὸ "Δόξα σοι ὁ Θεὸς" καὶ τὸ "τίς Θεὸς μέγας, ὡς ὁ Θεὸς ἡμῶν" κτλ. Οἱ δὲ Τοῦρκοι ταῦτα ἰδόντες ἐχλεύαζον καὶ ἐνέπτυον εἰς τοὺς Ἀρμενίους, οἵτινες οὕτω ἀναγκασθέντες ἐποίησαν πάσχα μεθ' ἡμῶν. Ἀλλ' ἐκ τούτου τοῦ θείου καὶ τρανοῦ θαύματος οὐδ' ὅλως ἐδιωρθώθησαν· φθόνῳ γὰρ τηκόμενοι ἐφαντάσθησαν λαβεῖν τὰ πρωτεῖα καὶ προπορεύεσθαι τοῦ πατριάρχου. Ἀπῆλθον οὖν εἰς τὴν Βασιλεύουσαν τῷ ,αχμδ' (1644) ἔχοντες μεθ' ἑαυτῶν τὰ ῥηθέντα

τῶν Ἱεροσολυμιτῶν ἐντοπίων, τοῦ πασᾶ καὶ τοῦ μουλλᾶ χοτζέτια, καὶ ἐκίνησαν ἀγωγὴν καθ' ἡμῶν· χρισολογίαι δὲ καὶ πάλιν μετὰ τοῦ πατριάρχου καὶ ἀγῶνες μεγάλοι καὶ χαρίσματα. Ἀλλ' ὑπερενίκησε τὸ δίκαιον καὶ ἔμειναν οἱ κολοιοὶ κολοιοί, ὡς τὸ πρότερον. Μάλιστα ὁ Θεοφάνης καὶ χάτ-σερίφ, ἤτοι αὐτόγραφον βασιλικὸν ὁρισμὸν ἔλαβε προηγεῖσθαι τῶν Ἀρμενίων καὶ τὸ πάσχα αὐτοὺς μεθ' ἡμῶν ἑξῆς ἑορτάζειν.

Τῷ δὲ αχμθ' (1649) πατριαρχεύοντος τοῦ Παϊσίου καὶ ὄντος ἐν Κωνσταντινουπόλει διὰ ἀναγκαίας τῷ θρόνῳ ὑποθέσεις, εὑρόντες καιρὸν καὶ μέσα οἱ δόλιοι οὗτοι ἐκυρίευσαν μίαν πύλην τοῦ ἐν τῇ Βηθλεὲμ Ἁγίου Σπηλαίου, ὅπου καὶ κανδήλας ἐκρέμασαν· ἔκτισαν δὲ καὶ τοῖχον μεταξὺ τοῦ ἐκεῖ μοναστηρίου ἡμῶν καὶ τῶν Χαμπεσείων οἰκημάτων· καὶ ταῦτα ἰδιοποιήσαντο. Ὁ δὲ Παΐσιος ταῦτα μαθὼν ἔδωκεν ἀναφορὰν τῷ σουλτάνῳ· ἦν δὲ τότε ὁ Μεεμὲτ ὁ τέταρτος. Καὶ δὴ πάλιν κρίσεως γενομένης ἐπὶ τοῦ Ὑψηλοῦ Διβανίου ἔλαβε θεία χάριτι τὰ νικητήρια, ἀποφάσεως γενομένης. ὅπως τὰ παρ' αὐτῶν ἁρπαγέντα ληφθῶσι καὶ παραδοθῶσι τοῖς Ῥωμαίοις. Γραφεὶς δὲ ὁρισμὸς βασιλικὸς ἐστάλη εἰς Ἱερουσαλὴμ διὰ βασιλικοῦ τζαούσης· ἀλλ' οἱ Ἀρμένιοι τὸν πασᾶν καὶ τοὺς κριτὰς καὶ προύχοντας τῆς Ἱερουσαλὴμ ἐμπλήσαντες οὐδ' ὅλως παρεχώρησαν, ἀφ' ὧν ἥρπασαν, γινώσκοντες ὅτι ἡ Ὑψηλὴ Πόρτα εἶχε τότε πολέμους μετὰ τῶν δυτικῶν δυνάμεων. Ἀλλ' ὁ Παΐσιος ταῦτα μαθὼν ἀποστέλλει ἀναφορὰν τῷ βεζύρῃ, ὄντι τότε εἰς Ἀδριανούπολιν σὺν τῷ στρατῷ· ὁ δὲ ἀναγνοὺς καὶ θυμοῦ πλησθεὶς (ἦν γὰρ βοηθὸς ἡμῖν, ὡς φιλοδίκαιος), ἄλλον ἐξέδωκεν ὁρισμὸν ἐντονώτερον γράψας ἴδιον πρὸς τὸν πασᾶν καὶ τοὺς λοιποὺς ἀπειλητικόν. Λαβὼν δὲ τοῦτον ὁ Παΐσιος καὶ εἰς τὴν Ἱερουσαλὴμ ἀποστείλας ἐνήργησε καὶ ἐξεβλήθησαν οἱ Ἀρμένιοι, οὐ μόνον τοῦ Ἁγίου Σπηλαίου καὶ τῶν Χαμπεσιακῶν οἰκημάτων, ἀλλὰ καὶ ἀπ' αὐτοῦ τοῦ Ἁγίου Ἰακώβου· ἐφ' ᾧ τὰ πρακτικὰ πάντα εἰς τοὺς τοῦ Κριτηρίου κώδικας κατεγράφησαν καὶ ἡμῖν χοτζέτι ἰδιαίτερον γραφὲν ἐδόθη, ὅπερ ἔχομεν μέχρι τοῦδε.

Ἀλλὰ τῷ 1653 αὐθις πλοῦτον ἄπειρον καταδαπανήσαντες καὶ

τὴν Ὀθωμανικὴν Πόρταν εἰς ὀργὴν κινήσαντες (ὅτι αὐτοὶ μὲν εἰσὶ ραγιάδες πιστοὶ τῆς βασιλείας, ὁ δὲ πατριάρχης Παΐσιος ἔχει σχέσιν μετὰ τῆς Ῥωσσίας κτλ. καὶ ὅτι κατεσκεύασε κορώναν πολύτιμον διὰ τὸν κράλην αὐτῆς καὶ ἄλλα πολλά), ἔλαβον δι' ὁρισμοῦ βασιλικοῦ οὐ μόνον τὸν Ἅγιον Ἰάκωβον, ἀλλὰ καὶ τὰ ἔνδον τοῦ ναοῦ τῆς Ἀναστάσεως νότια Κατηχούμενα καὶ τὰ δύο μεγάλα παράθυρα τὰ ἀπὸ τῆς Ἁγίας Πόρτας, πρὸς τούτοις δὲ καὶ τὸ ὑποκάτω τῆς μονῆς τοῦ πατριάρχου Ἀβραὰμ παρακλήσιον, εἰς δὲ τὴν Βηθλεὲμ τὰ οἰκήματα τῶν Χαμπεσίων καὶ τὸν κῆπον αὐτῶν, ἅτινα κατακρατοῦσι μέχρι τῆς σήμερον, αὐξήσαντες διαφόροις οἰκοδομαῖς. Ἐνήργησαν δὲ οἱ βέλτιστοι, ὥστε τὸν μὲν Παΐσιον κινδυνεῦσαι εἰς αὐτὴν τὴν ζωὴν διὰ τὴν κορώναν, αὐτὴν δὲ καταντῆσαι εἰς τὰς χεῖρας τοῦ σουλτάνου, ἐν Ἀδριανουπόλει ὄντος. Ἀπεδείχθη ὅμως, ὅτι οὐκ ἦν τοῦ κράλη τῆς Ῥωσσίας, ἀλλὰ τοῦ πατριάρχου, καὶ ὅτι οὐκ ἦν τόσον πολύτιμος, ὡς οἱ Ἀρμένιοι παρέστησαν· ἐπεστράφη δὲ αὖτη τῷ Παΐσίῳ ἀθῴως φανέντι. Ἔκτοτε ἡσύχασαν ἱκανοὺς χρόνους οἱ φίλοι οὗτοι Ἀρμένιοι καὶ εἰς μεγάλα πράγματα οὐκ ἐτάραξαν ἡμᾶς. Ἠγέρθησαν ὅμως οἱ καλοὶ Φράτορες πάλιν, ἀλλεπαλλήλους ταραχὰς καὶ ζημίας ἡμῖν προξενοῦντες, ὡς ἐξῆς ἐν συντόμῳ δηλοῦται.

Τῷ 1661 ἐν μιᾷ νυκτὶ δι' ἐργαλείου ἐπιτηδείου ἔκοψαν μέρος ἐκ τοῦ Ἁγίου Λίθου, ὃς ἦν ἐπὶ τῆς θύρας τοῦ μνημείου, ὃν ἄγγελος ἀπεκύλισε· φωραθέντες δὲ παρὰ τῶν ἡμετέρων ἠρνήθησαν· ποῦ δὲ ἔστειλαν τὸ κοπὲν μέρος αὐτοὶ οὐκ οἴδασι. Τῷ δὲ 1674 ἐλθόντος εἰς προσκύνησιν τοῦ Γαλλικοῦ πρέσβεως, οἱ Φράροι οὗτοι ἐφυσιώθησαν· καὶ ἐνστασης τῆς ἑορτῆς τῶν βαΐων κατ' αὐτούς, ἀνῆλθον στολίσαι καὶ κοσμῆσαι τὸ ἱερὸν τούρλεον τοῦ Κουβουκλίου, ἐν ᾧ ὁ Ζωοδόχος Τάφος· ἦν δὲ τότε τὸ Κουβούκλιον εἰς τὴν ἐξουσίαν ἡμῶν, αὐτῶν οὐδ' ὅλως μετοχὴν ἐχόντων. Ἰδόντες οὖν οἱ ἡμέτεροι τοὺς Φράρους ἀναβάντας καὶ στολίζοντας, ἠθέλησαν κωλῦσαι αὐτούς, ὡς ἐπιβαίνοντας εἰς ἀλλότριον τόπον· αὐτοὶ δὲ μετὰ ροπάλων ὁραμόντες καὶ σφυρίων (ἦσαν δὲ πολλοί), ἕνα μὲν ἱερομόναχον κρούοντες ὠμῶς καὶ ἀπανθρώπως ἐξήπλωσαν

νεκρὸν εὐθέως, δύο δὲ κατέστησαν ἡμιθανεῖς, τοὺς δὲ ἄλλους ἐτραυμάτισαν. Ταῦτα πάντα παραστησάντων ἡμῶν εἰς τοὺς κρατοῦντας, αὐτοὶ ὑπὸ τῶν Φρατόρων καὶ τοῦ πρέσβεως δωροδοκηθέντες ἐσιώπησαν· ὁ δὲ ρηθεὶς πρέσβυς εὐλάβειαν προσποιούμενος ἔμεινεν ἐν τῷ ναῷ νύκτας τινάς. Ἐν μιᾷ δὲ νυκτὶ μετὰ ἀξινῶν καὶ ἐργαλείων ἀπελθὼν εἰς τὸ παρακλήσιον τοῦ Ἀκανθίνου Στεφάνου ἐπεχείρησε κρυφίως ἐκβαλεῖν τὸ ὑπὸ τὴν ἁγίαν τράπεζαν μέρος τῆς κολώνας ἐκείνης, ἐν ᾗ τὸν Κύριον οἱ τοῦ Πιλάτου στρατιῶται καθίσαντες ἐνέπαιζον περιβαλόντες χλαμύδα κοκκίνην καὶ ἀκάνθινον στέφανον ἐπὶ τὴν κεφαλὴν κτλ. Ἀλλ' οἱ ἐν τῷ ναῷ ἡμέτεροι τὸ ἐπιχείρημα αἰσθανθέντες εὐθέως ἐμήνυσαν τοῖς κρατοῦσιν· οἱ δὲ ὁραμόντες καὶ ἀνοίξαντες αἴφνης τὴν Ἁγίαν Πόρταν εὗρον τὸ μελετώμενον, ἰδόντες αὐτοψεὶ τὰ ἐργαλεῖα ἐκεῖ καὶ τὸν πρέσβυν. Ὀνειδίσαντες οὖν αὐτὸν ἐξέβαλον τοῦ ναοῦ. Ἐπιστρέψας δὲ εἰς τὴν Κωνσταντινούπολιν ἐπεχείρησε καθ' ἡμῶν μέγιστα κακά, ἀλλ' ἐματαιώθη. Τὰ γοῦν ἐκ τῶν Φρατόρων καὶ τοῦ πρέσβεως καθ' ἡμῶν πραχθέντα δι' ἐμμαρτύρου τῶν ἐν Ἱερουσαλὴμ κρατούντων ἀναφορᾶς ἐδηλοποίησεν εἰς τὴν Ὑψηλὴν Πόρταν ὁ πατριάρχης· ὅθεν τῷ 1676 ἔτει ἐξεδόθη ὁρισμός, ὅπως μὴ νυκτερεύωσι μηδὲ παραμένωσιν ἐν τῷ ναῷ Φραγκοπατέρες, πλὴν τριῶν μόνων, καὶ ἔνδον τῆς Ἱερουσαλὴμ μὴ κατοικῶσιν, ἀλλ' ἢ μόνον τριάκοντα καὶ ἕξ, καὶ ὅπως οὗτοι ἑκάστην τριετίαν ἀναχωροῦντες εἰς τὰ ἴδια ἔρχωνται ἄλλοι. Ἀλλ' ὁ τοιοῦτος ὁρισμὸς ἐματαιώθη ἔκτοτε ὑπὸ τοῦ εἰς τοὺς Ἱεροσολυμίτας Τούρκους διανεμομένου χρυσίου τῶν Φρατόρων.

Ὅτε δὲ ὁ πρέσβυς ἦν ἐν Ἱερουσαλήμ, οἱ Φράτορες ἐκρέμασαν πορφυρᾶ παραπετάσματα κύκλῳ τοῦ Κουβουκλίου καὶ ἔμειναν οὕτως ἕως τοῦ 1677, ὅτε ὁ πατριάρχης, Δοσίθεος ὀνόματι, διὰ βασιλικοῦ ὁρισμοῦ κατεβίβασε ταῦτα καὶ ἐκείνους μὲν τοῦ ἱερουργεῖν ἐπὶ τοῦ Παναγίου Τάφου ἐκώλυσεν, ἡμᾶς δὲ τοὺς ὀρθοδόξους καθ' ἑκάστην, ὡς πρότερον, ἱερουργεῖν διετάξατο. Τῷ δὲ 1688 πολέμου συμβάντος μεταξὺ Γερμανῶν τε καὶ Ὀθωμανῶν, τὰ περὶ τῆς εἰρήνης οἱ Γάλλοι ὡς φίλοι τάχα τῆς Τουρκίας διε-

πρεσβεύσαντο· καὶ δὴ τελειωθείσης τῆς εἰρήνης, ὑπόχρεως οὖσα ἡ Πόρτα κατένευσεν εἰς τὰ τούτων αἰτήματα. Πρὸς τοῖς ἄλλοις δὲ ἦσαν τὰ ἑξῆς περὶ τῆς Ἱερουσαλὴμ διαλαμβάνοντα· πρῶτον τοὺς Λατίνους ἔχειν τὰ πρωτεῖα ἐν πᾶσι καὶ προπορεύεσθαι τοῦ πατριάρχου τῶν Ῥωμαίων· δεύτερον ὁρίζειν μόνους τὸ ἱερὸν Κουβούκλιον καὶ λειτουργεῖν καὶ κοσμεῖν· τρίτον τὴν μεταξὺ τοῦ ἱεροῦ Κουβουκλίου καὶ τοῦ Καθολικοῦ Βασιλικὴν λεγομένην Καμάραν ἔχειν ὑπὸ τὴν ἑαυτῶν ἐξουσίαν, ὁμοίως καὶ τὰ ὑπὸ τὸ μέγα τούρλεον τοῦ Ζωοδόχου Τάφου Κατηχούμενα. βόρεια καὶ δυτικά· τέταρτον τὸ εἰς ὃ εὑρέθη ὁ σταυρὸς τοῦ Κυρίου σπήλαιον· πέμπτον ἐξουσιάζειν τὴν ἁγίαν Γεθσημανήν· ἕκτον τὸν ναὸν ὅλον τῆς Βηθλεὲμ καὶ ἕβδομον τοὺς θέλοντας κατολίκους ἐκ τῶν ναζωραίων φυλῶν γενέσθαι μὴ κωλύειν. Ταῦτα διὰ βασιλικοῦ αὐτογράφου οἱ βέλτιστοι Φράτορες λαβόντες καὶ εἰς τοὺς ἐν Ἱερουσαλὴμ προύχοντας ἀφειδῶς (χρήματα) χαρίζοντες, ὢ πόσα δεινὰ ἡμῖν τοῖς ἀπόροις κατειργάσαντο! Καὶ γὰρ πρῶτον τὰς ἱερὰς ἡμῶν ἐν τῷ Κουβουκλίῳ εἰκόνας καὶ κανδήλας κτλ. ὡς εἴδωλα ἢ καθάρματα λαβόντες μακρὰν ἔρριψαν καὶ τὰς αὐτῶν ἔθηκαν εἰκόνας παραπετάσματα καὶ τὰ λοιπά· δεύτερον τὸ ὑπὸ τὴν ῥηθεῖσαν Βασιλικὴν Καμάραν ἅγιον θυσιαστήριον ἡμῶν ὥς τινα βωμὸν εἰδωλικὸν καθελόντες καὶ κατεδαφίσαντες, οὐδὲ τοὺς λίθους ἡμῖν ἔδωκαν· τρίτον τὰ ῥηθέντα Κατηχούμενα ἐξουσιάσαντες, ὅσα πράγματα αὐτόθι εἴχομεν ἔρριψαν μακράν, ὅτε καὶ πολλὰ ἀπώλοντο· τέταρτον ἀπὸ τῆς Γεθσημανῆς καὶ Βηθλεὲμ ἐκβαλόντες ἡμᾶς οὔτε εἴων λειτουργεῖν ὅλως· πέμπτον τὸ ἐν Βηθλεὲμ τεχνικώτατον καὶ κάλλιστον τέμπλον ἡμῶν κατασυντρίψαντες εἰς λεπτὰ ἔρριψαν ἡμῖν καταφρονητικῶς καὶ οὐδὲ κανδήλας ἐν τῷ Ἁγίῳ Σπηλαίῳ εἴασαν ἡμᾶς ἅπτειν· ἕκτον διὰ χρημάτων πολλῶν καὶ δώρων καὶ λαμπρῶν ὑποσχέσεων πολλοὺς τῶν ὀρθοδόξων Ἱεροσολυμιτῶν τε καὶ χωρικῶν Ἀράβων κατολίκους ποιήσαντες, καθ' ἡμέραν σκάνδαλα καὶ ζημίας ἡμῖν προεξένουν, περιφρονοῦντες καὶ ἀτιμάζοντες τοὺς προσκυνητὰς καὶ τοὺς ἐντοπίους καὶ αὐτοὺς ἡμᾶς· ἕβδομον δὲ καὶ τελευταῖον, ὡς τὰ πρωτεῖα λαβόντες ἐμάκρυνον τὰς ἀκολουθίας

καὶ λειτουργίας αὐτῶν τοσοῦτον, ὥστε οἱ ὀρθόδοξοι περιμένοντες πότε οὗτοι τελειώσουσι καὶ ἡμεῖς ἀρξόμεθα, ἐβαρύνοντο καὶ ἀνεχώρουν οἴκαδε. Καὶ ταῦτα τὰ δεινὰ ἐξετάθησαν ἐπὶ πλέον εἰς 50 χρόνους καὶ ἐπέκεινα εἰς ἡμᾶς, ὑπομένοντας καὶ ἐξαγοραζομένους τὸν καιρόν.

Περὶ τὴν δεκάτην ἑβδόμην δὲ ἐκείνην ἑκατονταετηρίδα οὐ μόνον ἡμᾶς τοὺς Γραικοὺς οἱ φίλοι οὗτοι κατέτρεξαν καὶ ἐζημίωσαν, ἀλλὰ καὶ τοὺς Ἴβηρας καὶ Σέρβους, ὀρθοδόξους ὄντας, ἐλπίζοντες ὅτι πτωχεύσαντες καὶ στενοχωρηθέντες γενήσονται κατόλικοι, καὶ οὕτω τὰ μοναστήρια, ἅπερ κατεῖχον, κληρονομήσουσιν. Ἐψεύσθησαν ὅμως τῶν ἐλπίδων, διότι ἐκεῖνοι μὲν πτωχεύσαντες καὶ ὑπὸ βαρύτατα χρέη ὑποπεσόντες καὶ μὴ προφθάνοντες κἂν τὰ χρεωδῆ τῆς τροφῆς, ἀφέντες αὐτὰ εἰς τὴν ἐξουσίαν τῶν δανειστῶν Τούρκων ἔφυγον εἰς τὰς ἑαυτῶν πατρίδας· οἱ δὲ πατριάρχαι τόπον ἐκ τόπου περιερχόμενοι καὶ ἐλεημοσύνην ἐκ τῶν εὐσεβῶν συνάγοντες ἐπλήρωσαν καὶ τὰ χρέη καὶ τὸν τόκον, ἀποδόντες καὶ τὸν ἔσχατον κοδράντην, καὶ διὰ βασιλικῆς κρίσεως καὶ ἀποφάσεως τρόπον τινὰ ἠγόρασαν καὶ παρέλαβον τὰ ἔκπαλαι ἑαυτῶν κτήματα, ὄντα μοναστήρια. Ἦσαν δὲ ταῦτα, ὡς εἴρηται, τῶν μὲν Σέρβων ἡ λαύρα τοῦ ἁγίου Σάββα καὶ ἡ μονὴ τῶν Ἀρχαγγέλων, τῶν δὲ Ἰβήρων ἡ μονὴ τοῦ Τιμίου Σταυροῦ, ἡ τοῦ Ἁγίου Νικολάου καὶ ἡ τοῦ πατριάρχου Ἀβραάμ, πλησίον τοῦ ναοῦ· ἐφ' οἷς ἔργοις καὶ κατορθώμασι φθονήσαντες οἱ καλοὶ Φράτορες ἐζήτουν τρόπους καὶ αἰτίας, ὅπως ζημιῶσι τὸ Ἱερὸν Κοινόν. Ὅθεν πρὸς ἄλλα δὲ πολλὰ καὶ τὸ ἐξῆς ἐπενόησαν, ὅπως ἀποστάτας καὶ φιλοταράχους ἡμᾶς ἀποδείξωσι.

Τῷ 1756, τῷ Σαββάτῳ τοῦ Λαζάρου ἑσπέρας εἰσήγαγον ἐν τῷ ναῷ Ἄραβας τινὰς ἐκ τῆς Ὀρεινῆς καὶ Βηθλεέμ, ὀπαδοὺς αὐτῶν, ἤτοι κατολίκους, ἔχοντας ῥόπαλα στιβαρά. Ὄντος δὲ τοῦ ναοῦ κεκλεισμένου καὶ τῶν προσκυνητῶν συνηθροισμένων ἔνδον, ἀρξαμένης τῆς ἀκολουθίας περὶ τὸ μεσονύκτιον ἤρξαντο καὶ οὗτοι τύπτειν διὰ τῶν ῥοπάλων τοὺς προσκυνητάς. Τί τὸ ἐντεῦθεν; Αὐτοὶ οἱ ἴδιοι Φράτορες, ὡς προεμελέτησαν, ἐν τῇ αὐτῇ ὥρᾳ

ἀπέστειλαν εἴδησιν τῷ πασᾷ, ὅπως τάχιον προφθάσῃ, ὅτι οἱ Ῥωμαῖοι κατετραυμάτισαν αὐτούς. Ἀλλ' ἕως οὗ προφθάσῃ οὗτος, οἱ κατόλικοι Ἄραβες κατετραυμάτισαν τοὺς προσκυνητὰς καὶ ἐνταυτῷ διὰ τῶν ῥοπάλων κατεσύντριψαν τὰς ἐν τῷ ναῷ ἀργυρᾶς ἡμῶν κανδήλας καὶ πολυελαίους καὶ ἄλλα κειμήλια πολύτιμα. Φθάσας δὲ ὁ πασᾶς καὶ οἱ κριταί, εὗρον τὰ πράγματα οὐχ ὡς οἱ Φράτορες εἶπον, ἀλλ' ὡς ἦν ἡ ἀλήθεια· διότι πρὸς ταῖς ἄλλαις μαρτυρίαις τῆς τῶν Φρατόρων ἐπιβουλῆς καὶ σκαιότητος, εὑρέθησαν καὶ τὰ ῥόπαλα, ἅπερ τῇ αὐτῇ ὥρα θέλοντες κρύψαι ἐφωράθησαν ὑπό τινος παιδίου καὶ ἐμαρτυρήθησαν. Καὶ τότε μὲν τὴν κακουργίαν των ταύτην ἐσκέπασαν οἱ φίλοι ἐκεῖνοι, πληρώσαντες τὰς χεῖρας τῶν κρατούντων· ἀλλὰ τῷ αὐτῷ ἔτει ὁ πατριάρχης, ὀνόματι Παρθένιος, ἀποδείξας δι' ἰδίας πρὸς τὴν Ὑψηλὴν Πόρταν ἀναφορᾶς τὰ συμβάντα δεινὰ καὶ τότε καὶ πάλαι καὶ τὴν ἄδικον τῶν Φρατόρων πρὸς ἡμᾶς ἔχθραν, ἔτι δὲ καὶ τὴν ἁρπαγὴν τῶν ἱερῶν προσκυνημάτων, ἔκπαλαι καὶ ὑπ' αὐτῶν τῶν ἁλωτῶν χαρισθέντων ἡμῖν, παρεκίνησε τὸ φιλοδίκαιον τοῦ ἄνακτος· καὶ λαβὼν ὁρισμὸν τῷ 1757 ἐξέβαλεν αὐτοὺς ἀπὸ τοῦ ναοῦ τῆς Βηθλεὲμ καὶ τῆς Γεθσημανῆς. Ὅπως δὲ μὴ πάλιν καθ' ἡμῶν λυσῶσι διόλου τοῦ Ἁγίου Σπηλαίου ἀποβληθέντες, ἔδωκεν αὐτοῖς τὴν Ἁγίαν Φάτνην λειτουργεῖν μόνον, ἔχειν δὲ καὶ τρεῖς κανδήλας. Ἀλλ' αὐτοὶ καιροῦ προϊόντος τὰς τρεῖς ἐποίησαν ἐν τῇ Φάτνῃ καὶ ἐν τῷ Ἁγίῳ Σπηλαίῳ δεκατρεῖς καὶ σχεδὸν ἐξισασμόν, ὡς ῥηθήσεται.

Ἐν τούτοις δὲ τοῖς χρόνοις οἱ Ἀρμένιοι εἰς μεγάλους ἀγῶνας ἐνέβαλον τοὺς ὀρθοδόξους καὶ μάλιστα τοὺς πατριάρχας τῶν Ἱεροσολύμων· πρὸς γὰρ ταῖς ἄλλαις πονηρίαις καὶ σκευωρίαις καθ' ἡμῶν ἐπενόησαν καὶ τὴν ἑξῆς. Γινώσκοντες οὗτοι καλῶς, ὅτι ὁ Ὄμαρ-Χαττάπ, πρῶτος ἁλωτὴς τῆς Ἱερουσαλήμ, ἔδωκεν, ὡς εἴρηται σελ. 407 τοῦ παρόντος, ἀκτιναμὲν τῷ πατριάρχῃ Σωφρονίῳ, διορίζοντα ὅλα τὰ ἐν Ἱερουσαλὴμ χριστιανικὰ ἔθνη εἶναι ὑπὸ τὴν ἐξουσίαν τῶν κατὰ καιροὺς πατριαρχῶν, ὁμοίως καὶ τὰ ἔσω καὶ ἔξω τῆς Ἱερουσαλὴμ μοναστήρια τε καὶ προσκυνήματα, καὶ ὅτι

κατ' ἐκεῖνον τὸν ἀκτιναμὲν καὶ ὁ ἀλωτὴς τῆς Κωνσταντινουπόλεως σουλτὰν Μεεμὲτ καὶ ὁ τῆς Ἱερουσαλὴμ σουλτὰν Σελὴμ καὶ ὁ υἱὸς αὐτοῦ σουλτὰν Σουλεϊμὰν ἔδωκαν αὐτόγραφα τοῖς κατὰ καιρὸν πατριάρχαις ἰσχυρά, ὡς εἴρηται σελ. 411-13, καὶ ὅτι οἱ αὐτῶν ἔχουσιν ἀείποτε ὑπεράσπισιν, ὡς ἀπ' ἀρχῆς κτήτορες κτλ., ταῦτα λέγω γινώσκοντες διενοήθησαν καὶ ἐπονηρεύσαντο, ὅπως καὶ αὐτοὶ πλάσωσι καὶ γράψωσι ψευδῶς τρία τοιαῦτα περὶ αὐτῶν διαλαμβάνοντα· καὶ ἐπειδὴ τῶν ρηθέντων ὁρισμῶν τὰ μὲν πρωτότυπα φυλάττονται παρ' ἡμῶν, ἀντίγραφα δὲ ἀπαράλλακτα κεῖνται εἰς ἰδίους βασιλικοὺς κώδικας, ἐφεῦρον τρόπον καὶ δι' ἀπείρων χρημάτων τὸν τότε ὕπατον (βεζύρην) εἵλκυσαν εἰς τὰ ἑαυτῶν κινήματα. Διὰ μέσου δὲ τούτου διέφθειραν καὶ τὸν φύλακα τῶν τοιούτων κωδίκων, μπεϊλικτζῆ τουρκιστὶ λεγόμενον, καὶ ἔγραψαν ἀπαράλλακτα ἀντίγραφα καὶ ἔδωκαν τοῖς Ἀρμενίοις· οἱ δὲ ἐσκεμμένως παρατηρήσαντες εἶδον, ὅτι ἦν εὔκολον διαφθεῖραι καὶ μεταγράψαι εἰς τοὺς κώδικας τρεῖς ἢ τέσσαρας λέξεις. Ὅθεν χορτάσαντες τὸν βεζύρην αὖθις καὶ τὸν μπεϊλικτζὴν ἔβαλον εἰς χεῖρας ἕνα τῶν παλαιῶν κωδίκων, ὅπου τὴν λέξιν "Ῥωμαίων", τουρκιστὶ Ῥουμιάν, ἀποξέσαντες ἔγραψαν ἐπιτηδειότατα "Ἀρμενίων", τουρκιστὶ Ἀρμενιάν· τὸ δὲ Σωφρόνιος ὄνομα ἀποξέσαντες Σαρκὶς ἔγραψαν. Τὰ αὐτὰ ἐποίησαν καὶ εἰς τὰ τοῦ σουλτὰν Σελὴμ καὶ Σουλεϊμὰν αὐτόγραφα, φυλαττομένης τῆς αὐτῆς χρονολογίας. Τούτων οὕτω τελεσθέντων ἔγραψεν ὁ βεζύρης τρόπῳ ἐπιτηδείῳ καὶ ὁρισμούς τινας τάχα παλαιοὺς εἰς χεῖρας τῶν Ἀρμενίων φυλαττομένους, παλαιοτάτους, ὡς ἀπὸ μέρους δοθέντας τῶν ἁλωτῶν. Τῇ δὲ τούτου ὁδηγίᾳ γράψαντες πρὸς τὸν σουλτάνον ἀναφοράν, ὅτι ἀδικοῦνται ὑπὸ τῶν Ῥωμαίων, κατεχόντων τὰ προσκυνήματα καὶ τόπους καὶ ἰδιοκτησίας αὐτῶν κτλ., ἐν μιᾷ Παρασκευῇ συναχθέντες πλῆθος, ἐξελθόντος τοῦ σουλτάνου ὡς ἔθος ἔδωκαν αὐτῷ ταύτην. Ἦν δὲ τότε ὁ σουλτὰν Μαχμοὺτ πρῶτος· ὃς ἀναγνοὺς ἐκείνην ἐπέγραψεν ἐν αὐτῇ θεωρηθῆναι τὴν κρίσιν καὶ τὸ δίκαιον ὑπὸ τοῦ Ῥούμελη-καζασκὲρ καὶ τοῦ βεζύρη· τοῦτο δὲ ἐπόθουν οἱ Ἀρμένιοι. Οὕτω δὲ γενομένου, πάντα συνέβησαν κατὰ τὸν

σκοπὸν τῶν Ἀρμενίων, βοηθοῦντος ὅλαις δυνάμεσι τοῦ βεζύρη καὶ ἄλλων· τελευταῖον δὲ ἐγράφη ὁρισμὸς σύμφωνος τοῖς πλαστοῖς καὶ ψευδεπιγράφοις ὁρισμοῖς, καὶ ἐπιβεβαιωθεὶς τῇ σουλτανικῇ χειρὶ καὶ σφραγῖδι ἐδόθη τοῖς Ἀρμενίοις· διελάμβανε δέ, ὅπως κατὰ τοὺς ἀνὰ χεῖρας αὐτῶν ἀρχαίους ὁρισμοὺς τοῦ Ὄμαρ καὶ τῶν ἁλωτῶν σουλτάνων ἔχωσι τὰ προσκυνήματα. Γνωσθέντος δὲ τοῦτο τοῖς ἐν Κωνσταντινουπόλει ὀρθοδόξοις, λύπη συνέσχε πάντας καὶ ἀθυμία καὶ μάλιστα τὸν πατριάρχην. Συνελεύσεως οὖν γενικῆς γενομένης ἐκρίθη εὔλογον, ὅπως γραφῇ κοινὴ ἀναφορὰ πρὸς τὸν σουλτάνον ἀποδεικνύουσα, ὅτι τὰ εἰς χεῖρας τῶν Ἀρμενίων χὰτ-σερίφια ἐκεῖνα ἦσαν πλαστά, καὶ ἑπομένως ὁ κατ' ἐκεῖνα δοθεὶς ὁρισμὸς τῆς αὐτοῦ μεγαλειότητος κατ' ἀπάτην γενόμενος, θεωρηθέντος τοῦ δικαίου, ἵνα ἀκυρωθῇ καὶ τὰ λοιπά. Τῇ θεία οὖν ἐπινεύσει κατανεύσαντος τοῦ σουλτάνου καὶ ἔρευναν ποιησαμένου, ἀπεδείχθη τὸ δίκαιον καὶ ἡ ἀλήθεια, καὶ ὁ μὲν βεζύρης καὶ οἱ συμπράκτορες ἐξωρίσθησαν, ὁμοίως καὶ οἱ πρῶτοι τῶν Ἀρμενίων, ὁ δὲ δοθεὶς ὁρισμὸς τότε ἠκυρώθη ὅλως. Ἔμειναν ὅμως παρὰ τοῖς Ἀρμενίοις, οὐκ οἶδα ὅπως, τὰ ψευδεπίγραφα ἐκεῖνα καὶ πλαστὰ χάτια, ὅ τε ἀκτιναμὲς τοῦ Ὄμαρ καὶ οἱ ὁρισμοὶ τῶν ἁλωτῶν σουλτὰν Σελὴμ καὶ σουλτὰν Σουλεϊμάν, δι' ὧν μετὰ χρόνους πολλοὺς οἱ Ἀρμένιοι πολλὰ καθ' ἡμῶν ἐτεχνεύσαντο, εἰσχωρήσαντες εἰς τὰ προσκυνήματα, ὡς ῥηθήσεται.

Τῷ δὲ 1768 ἐπὶ Μουσταφᾶ γ' πολέμου συμβάντος μεταξὺ Ῥώσσων καὶ Ὀθωμανῶν εὖρον καιρὸν, ὡς ἐδόκουν, ἐπιτήδειον οἱ Φράτορες καὶ ὠργάνισαν διὰ τῶν ἐν Κωνσταντινουπόλει πρέσβεων τῶν δυνάμεων τῆς Δύσεως, συμμάχων τῇ Τουρκίᾳ, ὅπως τήν τε Γεθσημανὴν καὶ Βηθλεὲμ ἀφ' ἡμῶν ἁρπάσωσιν, ἐλπίζοντες ὅτι ἡ Ὑψηλὴ Πόρτα παρωργισμένη οὖσα τότε ἐναντίον τῶν Ῥώσσων καὶ ἑπομένως ἐναντίον τῶν Γραικῶν ὡς ὁμοθρήσκων, πάντως ποιήσει τὸ αὐτῶν αἴτημα. Προτεινάντων οὖν εἰς τὸν σουλτάνον τὸ αὐτῶν αἴτημα διὰ τῶν πρέσβεων—ἦν δὲ ὁ Μουσταφᾶς τρίτος—, ἐκεῖνος ἠρώτησε τὸν σεχουλισλὰμ περὶ τοῦ πρακτέου· ὁ δὲ σκεφθεὶς ἱκανῶς μετὰ καὶ ἄλλων, μετεκαλέσατο κρυφίως

τὸν Πτολεμαΐδος Σωφρόνιον, διάδοχον τυγχάνοντα του τότε πατριάρχου Ἐφραίμ, ἄκρως εἰδήμονα τῆς ἀραβικῆς γλώσσης. Οὗτος δὲ ἀπελθὼν ἔλαβε μεθ' ἑαυτοῦ τὰ ρηθέντα ἰσχυρὰ αὐτόγραφα τοῦ Ὄμαρ καὶ τὰ λοιπά· ὁ δὲ σεχουλισλὰμ ἀναγνοὺς ἐκεῖνα ἐσκεμμένως, πληροφορηθεὶς δὲ καὶ παρὰ τοῦ Πτολεμαΐδος Σωφρονίου, ἀπελθὼν εἶπε τῷ σουλτάνῳ, ὅτι ἄδικον καὶ ἄνομόν ἐστι παραβῆναι τὰς διαταγὰς τοιούτων μεγάλων ἀνδρῶν καὶ μάλιστα τοῦ Ὄμαρ· αὐτοὶ γὰρ τοῖς Ῥωμαίοις προσεκύρωσαν τὰ προσκυνήματα δι' ἀρῶν φρικτῶν κτλ. Ὅθεν ὁ σουλτάνος ἐπιτηδείῳ τρόπῳ τὸ τῶν πρέσβεων αἴτημα ἀπέρριψε, μὴ ἐνδοὺς οὐδ' εἰς τὸ ἐλάχιστον. Ἐκείνας δὲ τὰς ἡμέρας ἐζήτησαν καὶ οἱ Ἀρμένιοι δι' ἀναφορᾶς, ἵνα δοθῇ αὐτοῖς τόπος ἐν τῷ ναῷ τῆς Βηθλεέμ, ἵνα ποιῶσι τὰ ἔθιμα αὐτῶν, προβάλλοντες ὅτι αὐτοὶ μόνοι εἰσὶ πιστοὶ ραγιάδες κτλ. Ἀλλ' οὖν οὐδ' ἀποκρίσεως ἠξιώθησαν.

Τριάκοντα γοῦν χρόνους σχεδὸν ἦγον ὁπωσοῦν ἡσυχίαν ὀλίγον ἀμφότερα τὰ ἔθνη ταῦτα πρὸς τοιαύτας ταραχάς, τῶν συμβαινόντων σκανδάλων ἐν τῷ μεταξὺ χρόνῳ οὐδὲν λογιζομένων, ὡς τὰ ἐφεξῆς. Τῷ δὲ 1778 ἔλαβον ἀρχὴν τὰ μέγιστα σκάνδαλα ἐξ ἀμφοτέρων καὶ σχεδὸν ἀδιακόπως μέχρι τοῦδε ἀκολουθοῦσι πεισματωδῶς· ἔχουσι δὲ ὡς ἑξῆς. Τῶν Γάλλων διὰ τοῦ Ναπολέοντος Βοναπάρτου κυριευσάντων τὴν Αἴγυπτον, ἐκεῖθεν δὲ εἰσβαλόντων καὶ εἰς τὴν Παλαιστίνην, οἱ Τοῦρκοι Ἱεροσολυμῖται ἀγριωθέντες, ἅμα δὲ καὶ ζητοῦντες αἰτίαν ἁρπαγῆς, ἐμελέτων ὅπως θανατώσωσι τοὺς ἐν Ἱερουσαλὴμ Φράτορας ἢ Φραγκοπατέρας. Μὴ δυνάμενοι δὲ τοῦτο ποιῆσαι ἄνευ ἀδείας τῆς κρίσεως, ἐφεύρισκον καθ' ἡμέραν αἰτίας. Μιᾷ δὲ τῶν ἡμερῶν (1799) μαθόντες ὅτι οἱ Γάλλοι ἐκυρίευσαν τῆς Γάζης, ὥρμησαν ἔνοπλοι εἰς τὸ μοναστήριον αὐτῶν λέγοντες, ὅτι αὐτοὶ ἔγραψαν τοῖς Γάλλοις ἐλθεῖν εἰς τὴν Παλαιστίνην καὶ ὅτι εἶχον ἔνδον κεκρυμμένα ὅπλα καὶ ἄλλα πολλά· οἱ δὲ Φράτορες προαισθανθέντες τὴν τούτων ἔφοδον ἔκλεισαν τὰς θύρας ἀσφαλῶς· οἱ δὲ Τοῦρκοι μετὰ κραυγῶν καὶ ἀλαλαγμῶν ἔφερον εὐθὺς ἀξίνας καὶ ἐργαλεῖα καὶ ἔκρουον τὰς θύρας εἰς τὸ συντρῖψαι καὶ εἰσελθεῖν· μὴ δυνηθέντες δὲ διὰ τὸ

εἶναι σιδηρᾶς, ἔφερον κλίμακας καὶ στήσαντες ἐπὶ τῶν τειχῶν ἤρξαντο εἰσπηδᾶν· ὅπερ οἱ Φράτορες ἰδόντες ἔντρομοι ἐρρίφθησαν εἰς τὴν μονὴν τῶν Ἀρχαγγέλων, ὅπου ἀδελφικῶς ἐδεξάθημεν αὐτοὺς καὶ ἐκρύψαμεν, ὡς ἐδυνήθημεν, εἰς ὑπόγεια καὶ ἄλλους κρυπτοὺς τόπους καὶ δυσευρέτους, θέλοντες διαφυλάξαι τὴν ζωὴν αὐτῶν· ὃ καὶ ἐγένετο. Εἰσελθόντες οὖν οἱ Τοῦρκοι καὶ μὴ εὑρόντες τοὺς Φράτορας, ἔγνωσαν ὅτι ἡμεῖς ἐκρύψαμεν αὐτοὺς καταφυγόντας. Καὶ τότε μὲν οἱ πολλοὶ κατεγίνοντο ἁρπάζειν τὰ ἀρεστὰ αὐτοῖς, ὀλίγοι δὲ ἐλθόντες εἰς τὴν ῥηθεῖσαν μονὴν ἐζήτουν αὐτούς· ἡμεῖς δὲ ἐκεῖθεν διά τινος ὀπῆς ἐξαγαγόντες αὐτοὺς ἐκρύψαμεν εἰς ἄλλα μέρη ἄσυλα. Ἐλθὼν δὲ ὁ πασᾶς καὶ λόγοις εἰρηνικοῖς καταπαύσας τὴν πρὸς τοὺς Φράτορας ὁρμὴν τῶν Ἱεροσολυμιτῶν καὶ τὴν ἁρπαγήν, μόλις μετὰ τρεῖς ἡμέρας ἐδυνήθη καταπεῖσαι αὐτοὺς ὅτι ὅπλα οὐκ ἔχουσιν οἱ Φράτορες· εἰσελθὼν γὰρ ὁ ἴδιος μετὰ τῶν προυχόντων τῆς Ἱερουσαλὴμ μόνον, ἠρεύνησεν ἀκριβῶς καὶ οὐχ εὗρεν.

Ἐν τούτοις οἱ Τοῦρκοι ἠγριεύθησαν καθ' ἡμῶν λέγοντες, ὅτι "καὶ ὑμεῖς ἐστε χιανέτ", ἤτοι ἐπίβουλοι, "διότι ἐστὲ φίλοι τῶν Φράγκων· διὰ τοῦτο καὶ ἐκρύψατε αὐτούς" καὶ ἄλλα πολλά, καὶ πρὸς ταῦτα ἐζήτουν καὶ παρ' ἡμῶν ὅπλα. Εἰσῆλθεν ὁ αὐτὸς πασᾶς μετὰ τῶν λοιπῶν εἰς τὸ Πατριαρχεῖον καὶ εἰς τὰ λοιπὰ ἡμέτερα μοναστήρια καὶ ἠρεύνησαν πᾶσαν σχεδὸν τρυμαλιὰν καὶ ὀπήν, καὶ ὅμως οὐχ εὗρον· αἰτίαν δὲ ζητοῦντες ὅπως καὶ παρ' ἡμῶν ἁρπάσωσι χρήματα, ἠρώτησαν ἡμᾶς ἐὰν ἐσμὲν φίλοι τῶν Φράγκων. Ἀποκριθεὶς δὲ ὁ τότε τοῦ μακαριωτάτου ἐπίτροπος, Σκυθουπόλεως μητροπολίτης Ἀρσένιος τοὔνομα, εἶπεν· "Ἡμεῖς ὡς χριστιανοὶ ὄντες, κἂν τε καὶ διαφέρομεν ἀλλήλοις, ἀλλ' οὖν ἐσμὲν πάντες καὶ ἀδελφοὶ καὶ φίλοι". Ὁ δὲ Ἀρμενοπατριάρχης παρὼν ἐκεῖ εὐθέως ἀποκριθεὶς εἶπε τοῖς Τούρκοις· "Ταῦτα μὴ γένοιτο· ἡμεῖς οἱ Ἀρμένιοι οὐδενί ἐσμεν φίλοι καὶ ἀδελφοί, ἀλλ' ἢ πιστοὶ ραγιάδες τοῦ κραταιοῦ Δεβλετίου καὶ οὐδεμίαν μετοχὴν ἔχομεν τοῖς Φράγκοις ἢ τοῖς Ῥωμαίοις". Τότε ὁ τῆς Ἱερουσαλὴμ μουφτὴς εἶπεν ἡμῖν· "Ἐπεί ἐστε φίλοι καὶ ἀδελφοὶ τοῖς Φράγκοις,

ἄρα ἐπίσης ἐστὲ ἐπίβουλοι καὶ ἔνοχοι θανάτου· πλὴν κατὰ τὴν ὥραν μείνατε εἰς ἀσφαλῆ φύλαξιν". Ταῦτα τοῦ μουφτῆ εἰπόντος, ὁ πασᾶς μετὰ τῶν προυχόντων κρυφίως συλλαλήσαντες προσέταξεν ἡμᾶς, ὅπως κατέλθωμεν ἅπαντες εἰς τὸν θεῖον ναὸν τῆς Ἀναστάσεως, ὡς εἰς φυλακήν. Κατῆλθον οὖν ἐκ τῶν ἡμετέρων προκρίτων, ἀρχιερέων δηλαδὴ καὶ λοιπῶν τριάκοντα τὸν ἀριθμόν. ἐκ δὲ τῶν Φρατόρων δεκαοκτώ· ἔφερον δὲ τῇ ἐπαύριον καὶ εἴκοσιν Ἀρμενίους καί τινας Κόπτας καὶ Χαμπεσίους καὶ ἐγίνοντο πάντες ἕως 100 ψυχαί· καὶ ἔμειναν ἔγκλειστοι ἐν τῷ ναῷ ὡς εἰς φυλακὴν ἡμέρας ἑκατὸν ὀκτώ. Μετὰ ταῦτα δὲ τῶν Γάλλων κυριευσάντων διὰ ξίφους τὴν Ἰόππην καὶ Ῥέμπλην καὶ πολιορκησάντων τὴν Πτολεμαΐδα, τοὺς μὲν ῥηθέντας 108 ἐξέβαλον τοῦ ναοῦ· ἐφυλάκισαν δὲ πάντας τοὺς κοσμικοὺς τῶν τριῶν φυλῶν, νέους καὶ γέροντας, πλὴν γυναικῶν καὶ παιδίων, ὀρθοδόξους μὲν ὡς 600, Ἀραβοφράγκους ὡς τριακοσίους καὶ Ἀρμενίους 80· οἵτινες ἔμειναν ἐν τῷ ναῷ φυλαττόμενοι ἀπὸ τῆς 13 φεβρουαρίου τοῦ 1799 ἔτους ἕως τῆς 18 ἰουλίου. Ἐτρέφοντο δὲ οὗτοι, οἱ μὲν ὀρθόδοξοι παρ' ἡμῶν, οἱ δὲ ἄλλοι ἐκ τοῦ Κοινοῦ ἑκάστης φυλῆς. Τὰ δὲ ἐν ταύτῃ τῇ ἐποχῇ συμβάντα ἡμῖν δεινὰ χάριν τῆς πρὸς τοὺς Φράτορας φιλίας καὶ ἀδελφικῆς ἀγάπης, πάντα οὐκ ἔγραψα πολλὰ ὄντα· ἔγραψα δὲ μόνον τὰ ῥηθέντα, ὅπως ὁ ἀναγνώστης γνωρίσῃ τίνας ὕστερον εὐεργεσίας οἱ Φράτορες ἀνταπέδωκαν ἡμῖν, ἀνθ' ὧν εὐηργέτηνται. Ἤλθωμεν δὲ ἐπὶ τοὺς Ἀρμενίους.

Τῷ 1799-ῳ κατὰ τὸ θέρος πανώλης ἐσκηψάσης εἰς τὰ ἐν Παλαιστίνῃ γαλλικὰ στρατεύματα, καὶ ταῦτα θεϊκῇ σπάθῃ ὡς στάχυα θεριζούσης, ὁ μὲν Ναπολέων τὰ ἐναπομείναντα ταῦτα στρατεύματα καὶ ἡμίθνητα λαβὼν ἐπέστρεψεν εἰς Αἴγυπτον, ὁ δὲ τῆς Ὀθωμανικῆς βασιλείας ὕπατος Ἰσούφ (ὃς τυφλὸς ὢν τὸν ἕνα ὀφθαλμόν, Κιὸρ-βεζύρης ἐκαλεῖτο ὑπὸ τῶν Τούρκων), ἔχων μεθ' ἑαυτοῦ στράτευμα πολυάριθμον καὶ τοὺς Γάλλους τάχα καταδιώκων, κατήντησεν εἰς τὴν Ἰόππην· εἶχε δὲ παρ' αὐτῷ μέγαν σαράφην Ἀρμένιον, Κιρκὸρ ἤτοι Γρηγόριον καλούμενον, λίαν ἀγαπημένον. Οὗτος λαβὼν τὴν ἄδειαν ὑπὸ τοῦ ὑπάτου, ἀνῆλθε μετὰ

δόξης εἰς τὴν Ἱερουσαλὴμ προσκυνήσων· οἱ δὲ Ἀρμένιοι διὰ τὴν τούτου ἄφιξιν ἐφυσιώθησαν καὶ ἐμελέτησαν κενά· ἐπεθύμησαν γὰρ ἐπιθυμίαν λειτουργῆσαι ἐν τῷ θείῳ Γολγοθᾷ χάριν τοῦ σαράφη, ὃν καὶ παρεκίνησαν αἰτῆσαι παρ' ἡμῶν τὸ τοιοῦτον· ἀλλ' ἀπέτυχον, διότι οἱ ἡμέτεροι οὐκ ἐνέδωκαν εἰς τὸ αἴτημα αὐτῶν. Ἀπελθὼν δὲ εἰς τὴν Ἁγίαν Βηθλεὲμ ὁ σαράφης ἐζήτησεν ἵνα λειτουργήσῃ αὐτῷ ὁ Ἀρμενοπατριάρχης εἰς τὸ Ἅγιον Σπήλαιον· ἀλλὰ καὶ τοῦτο οὐκ ἔστερξαν οἱ ἡμέτεροι, φοβούμενοι μήπως τὸ ἅπαξ νόμος ἐξῆς ἀποκαταστῇ, διότι ἔμαθον ἐξ ὧν πολλάκις ἔπαθον. Ἀμφοτέρων δὲ ἀποτυχόντες οἱ Ἀρμένιοι, ἄλλο τι ἐπενόησαν. Ἔδωκαν τῷ ρηθέντῃ σαράφῃ μίαν κανδήλαν ἀργυρᾶν, συμβουλεύσαντες ὅπως ἀνελθὼν εἰς τὸν θεῖον ναὸν τοῦ φρικτοῦ Γολγοθᾶ κρεμάσῃ αὐτὴν ἐκεῖ ἰδίαις χερσίν, εὐλαβείᾳ τάχα φερόμενος· ἀλλ' οὐδὲ ταύτην οἱ ἡμέτεροι ἐδέχθησαν, εἰπόντες αὐτῷ ὅτι ἄνευ βασιλικῆς προσταγῆς ἀρμενικὴν κανδήλαν οὐ δέχονται. Πρὸς τοῦτο οἱ Ἀρμένιοι καὶ μάλιστα ὁ σαράφ λύπῃ ἀλλὰ καὶ ὀργῇ συσχεθέντες διελογίσαντο, ὅτι ἴσως διὰ τοῦ βεζύρη κατορθώσουσι τὸ μελετώμενον, ἀφειδῶς χρήματα δαπανήσαντες· ὃ δὴ καὶ ἐπέτυχον. Καὶ γὰρ ὁ σαράφης εἰς τὴν Ἰόππην καταβὰς καὶ τῷ βεζύρῃ ἐντυχὼν πολλὰ εἶπεν αὐτῷ καθ' ἡμῶν καὶ ἐλάλησε παραπονούμενος· ἐπειδὴ δὲ τότε ὁ βεζύρης ἐβιάζετο διὰ τὴν Αἴγυπτον, ἔμεινεν ἡ ὑπόθεσις κατὰ τὴν ὥραν. Διατρίψαντος δὲ τοῦ βεζύρη ἐν Αἰγύπτῳ τρεῖς μῆνας καὶ πάλιν εἰς Ἰόππην ἐπιστραφέντος τῷ 1800-ῳ ἔτει μαρτίου 28-ῃ, εὐθέως ὁ ἐν Ἱερουσαλὴμ πατριάρχης τῶν Ἀρμενίων λαβὼν δῶρα πολύτιμα μεθ' ἑαυτοῦ καὶ πολυάριθμον χρυσὸν κατῆλθεν εἰς Ἰόππην, καὶ δοὺς ἀναφορὰν τῷ βεζύρῃ καὶ μετὰ τοῦ σαράφ παραπονούμενος, ὅτι ἀδικοῦνται ὑπὸ τῶν Ῥωμαίων κωλυόμενοι ποιεῖν τὰ ἑαυτῶν ἔθιμα εἰς τὰ προσκυνήματα. Δυνάμει οὖν τῶν χρημάτων καὶ δώρων καὶ βοηθεία τοῦ σαράφη ἔδωκεν αὐτοῖς, κρυφίως ὅμως, ὁρισμόν. ὅπως ἀκωλύτως τὰ ἑαυτῶν ἔθιμα (ποιῶσιν) ἔν τε τῇ Βηθλεὲμ Γεθσημανῇ ὁμοίως καὶ ἐν τῷ ναῷ τῆς τοῦ Χριστοῦ Ἀναστάσεως, ἐπειδὴ κατὰ τὰς εἰς χεῖρας τῶν Ἀρμενίων βασιλικὰ ἔγγραφα τὰ

προσκυνηματα εἰσὶ κοινὰ καὶ οὐκ ἰδια μόνον τοῖς Ῥωμαίοις. Καίτοι δὲ κρυφίως δοθέντος τοῦ ὁρισμοῦ, ἐν τάχει ὅμως ἠκούσθη εἰς Ἱερουσαλὴμ καὶ λύπη ἡμᾶς ἄμετρος κατέσχε, μὴ ἔχοντας χρήματα ἀντιπαρατάξασθαι, γυμνωθέντας προλαβόντως ἵνα ἡμερώσωμεν τοὺς Ἀγαρηνοὺς διὰ τὸν Ναπολέοντα. Ἀλλ' ὁ βοηθὸς τῶν ἀβοηθήτων ἀπέστειλε βοηθοὺς καὶ προμάχους τοὺς ἑξῆς δύο ἐπισήμους ἄνδρας· ὃ μὲν ἦν ὁ μουσηοῦ Φραγκίνης, ἐπιτροπικὸς τῆς Ῥωσσίας, ὁ δὲ Γεώργιος Καρατζᾶς υἱὸς Νικολάου βοεβόδα, μέγας διερμηνεὺς τοῦ στρατοῦ· οἵτινες ζῆλον ἔνθεον ἀναλαβόντες ἐλάλησαν τῷ βεζύρῃ τὰ δέοντα καὶ κατέπεισαν ὥστε ποιῆσαι ἄκυρον τὸν ὁρισμὸν ὃν ἔδωκεν· ἐφ' ᾧ ὁ Ἀρμενοπατριάρχης λύπῃ συσχεθεὶς καὶ νόσῳ μετὰ τρεῖς ἡμέρας ἀπέθανε. Οὕτω μὲν οὖν ἐματαιώθη ἡ ἐπιβουλὴ αὕτη τῶν Ἀρμενίων.

Τῷ δὲ ,αωγ' (1803) ἰουλίου κα', δυνάμει τῶν κρατούντων ἐτόλμησαν κρεμάσαι ἐν τῇ Γεθσημανῇ τρεῖς κανδήλας· ἀλλὰ τῷ αὐτῷ ἔτει διὰ βασιλικοῦ ὁρισμοῦ κατεβιβάσαμεν αὐτάς. Τῷ δ' αὐτῷ ἔτει καὶ οἱ γενναῖοι Φράτορες ἔλαβον ἀπάτῃ ὁρισμὸν ἀνακαινίσαι τὸ μικρὸν τούρλεον τὸ ἐπὶ τοῦ ἁγίου Κουβουκλίου· ἐδοκίμασαν δὲ εἰσχωρῆσαι καὶ εἰς τὴν Γεθσημανῆ· ἀποτυγόντες δὲ ἐζήτησαν τὸ πλησίον σπήλαιον, ὅπου ὁ Κύριος πολλάκις μετὰ τῶν ἀποστόλων ἐνυκτέρευσεν αὐλισθείς. Ἔλαβον οὖν τοῦτο δι' ὁρισμοῦ βασιλικοῦ, τῆς δὲ τοῦ ἱεροῦ Κουβουκλίου ἐπισκευῆς οὐκ ἠξιώθησαν· ὁ γὰρ τότε πατριαρχεύων Ἄνθιμος ἀναφορὰν πρὸς τὸν σουλτάνον ποιησάμενος ἀνῄρησε τὸν προεκδοθέντα τοῖς Φράγκοις ὁρισμόν. Τῇ δὲ ἑξῆς ἔμελλε πάντως ὅπως οὐ μόνον ὁ πατριάρχης καὶ οἱ Ἱεροσολυμῖται ἡμεῖς, ἀλλὰ καὶ πᾶς ὁ ὀρθόδοξος ἁπανταχοῦ λαὸς πίωσιν ἀλλεπαλλήλως ποτήρια λύπης διὰ τὰ ἱερὰ προσκυνήματα καὶ ἐξόχως διὰ τὴν μητέρα τῶν ἐκκλησιῶν, τοῦ ναοῦ δηλαδὴ τῆς Ἀναστάσεως· καὶ γὰρ τῷ ,αωζ' (1807) πολέμου ὄντος μεταξὺ τῆς Ῥωσσίας καὶ τῆς Πόρτας, οἱ Ἀρμένιοι εὗρον καιρὸν ἁρμόδιον ἁρπάσαι τὰ προσκυνήματα· ἀλλ' ὁ πατριάρχης Ἄνθιμος μαθὼν τὰ τούτων κινήματα, δοὺς ἀναφορὰν τῷ σουλτάνῳ Μουσταφᾷ δ', νεωστὶ τότε βασιλεύσαντι, ἔλαβε τὰ νι-

κητήρια, ἐπιβεβαιώσαντος τοῦ ρηθέντος σουλτάνου τὰ ἀνὰ χεῖρας ἡμῶν σωζόμενα παλαιὰ ἔγγραφα. Ἀλλὰ μόλις παρῆλθε χρόνος καὶ ἰδοὺ ἄλλη περίστασις δεξιὰ τοῖς Ἀρμενίοις· τῷ γὰρ 1808 ἀνακωχῆς οὔσης τοῦ μεταξὺ Ῥώσσων καὶ Ὀθωμανῶν πολέμου, ὁ Μουσταφᾶ-μπαϊρακτάρης λεγόμενος ἐξορμήσας μετὰ πολλῆς στρατιωτικῆς δυνάμεως εἰς τὴν Ἀδριανούπολιν, ὅπου ἦν ὁ τῆς βασιλείας ὑπέρτατος ἐπίτροπος καὶ οἱ ἀξιωματικοὶ καὶ τὰ βασιλικὰ στρατεύματα, συναρπάσας ὅλους αὐτοὺς ἐκεῖθεν ἔφερεν εἰς Κωνσταντινούπολιν, θέλων ἵνα τὸν Μουσταφᾶν καταβιβάσῃ, τὸν δὲ εἰς φυλακὴν ὄντα Σελὴμ ἀποκαταστήσῃ πάλιν εἰς τὸν θρόνον· ἀλλ' ὁ Μουσταφᾶς προλαβὼν ἔπνιξε τὸν Σελήμ. Ὅθεν ὁ μπαϊρακτὰρ ὑπερισχύσας τὸν μὲν Μουσταφᾶν τοῦ θρόνου κατεβίβασε, ἀντ' αὐτοῦ δὲ τὸν αὐτοῦ ἀδελφὸν Μαχμοὺτ ἐβασίλευσεν· αὐτὸς δὲ ὁ μπαϊρακτὰρ ἐπίτροπος αὐτοχειροτόνητος κατέστη τῆς βασιλείας, αὐτὸς μᾶλλον βασιλεύων τῶν ὅλων, ἢ ὁ Μαχμούτ. Τότε δὲ καὶ οἱ Ἀρμένιοι σχεδὸν ἐβασίλευσαν· ὁ γὰρ μπαϊρακτὰρ ἔχων σαράφην τινὰ Ἀρμένιον, Μανοὺκ λεγόμενον, τῇ ἐκείνου συμβουλῇ καὶ ὁδηγίᾳ ἐκυβέρνα τὸ τῆς βασιλείας πηδάλιον· οἱ δὲ Ἀρμένιοι τοιοῦτον μέσον εὑρόντες, τὸν Μανούκ, ἠγωνίσαντο πᾶσι τρόποις εἰς τὸ λάβειν διὰ βασιλικῶν ὁρισμῶν τὴν κυριότητα ἐπὶ πάντων τῶν προσκυνημάτων. Κατὰ τὰ τέλη δὲ σεπτεμβρίου οἱ μὲν ὁρισμοὶ ἐγράφοντο, ὁ θεῖος δὲ ναὸς τῆς τοῦ Χριστοῦ Ἀναστάσεως ὑπ' αὐτῶν τῶν θεοστυγῶν ἐπυρπολεῖτο, ἐν ἔτει 1808 σεπτεμβρίου 30, ἡμέρᾳ δ' τῆς ἑβδομάδος. Ἐποίησαν δὲ τοῦτο ὅπως ἔχοντες τοιοῦτον καιρὸν ἀνοικοδομήσωσιν αὐτόν, ὡς πλοῦτον πολὺν ἔχοντες, καὶ κτίτορες ἐξῆς φανῶσιν. Ἀλλ' ὁ μὲν ναὸς πλήρης ὢν εὐπρήστου ὕλης, χωρισθεὶς διὰ ξύλων καὶ σανίδων ἐνεπρήσθη καὶ πέπτωκεν εἰς μέρη τινά, οἱ δὲ Ἀρμένιοι οὐδ' ἓν ὧν ὑπενόησαν κατώρθωσαν. Ὦ Θεοῦ κριμάτων! ὁ θάνατος τοῦ θεανθρώπου ζωὴ γέγονε τῷ κόσμῳ παντί, ἡ δὲ πτῶσις τοῦ ναοῦ ἀνάστασις γέγονεν ἔνδοξος αὐτοῦ τε καὶ πάντων τῶν εὐσεβῶν, ὡς ἀπὸ τῶν ἑξῆς δῆλον.

Καὶ γὰρ γραφέντων (ὁρισμῶν) ὑπὸ τοῦ Μανοὺκ καὶ μπαϊρα-

τάρ, ὡς ἤθελον οἱ Ἀρμένιοι, καὶ ἀνάγκην ἐχόντων ἐπιβεβαιώσεως διὰ τῆς βασιλικῆς χειρός, ὄντων ἔτι τῶν ὁρισμῶν παρὰ τῷ μπαϊρακτάρῃ, ἰδοὺ αἴφνης τῇ γ' νοεμβρίου ἐπανέστησαν οἱ Ἰανίτζαροι κατ' αὐτοῦ καὶ μετὰ φρικτὸν πόλεμον πῦρ βαλόντες εἰς τὰ ἐν οἷς κατώκει παλάτια, κατέκαυσαν αὐτόν, συγκατακαέντων καὶ τῶν ὁρισμῶν. Μόλις τῆς ἐπαναστάσεως λαβούσης παῦσιν τῇ 1 νοεμβρίου, ἰδοὺ μετὰ τρεῖς ἡμέρας ἔφθασαν καὶ τρεῖς ἐξ Ἱεροσολύμων Ἀρμένιοι εἰς Κωνσταντινούπολιν φέροντες γράμματα πρὸς τοὺς οἰκείους καὶ τὸν τοῦ ναοῦ ἐμπρησμὸν δηλοποιοῦντες, παρακαλοῦντες ἅμα ὅπως καταβάλωσι πᾶσαν ἐπιμέλειαν καὶ ἀγῶνα, ὅπως τάχος δυνηθῶσι λαβεῖν ὁρισμόν, ἵνα μόνοι αὐτοὶ ἀνοικοδομήσωσι τὸν ἐμπρησθέντα ναόν, νομίζοντες οἱ ἄθλιοι ὅτι ἦν καὶ τότε τὰ πράγματα εἰς τὴν ἣν στάσιν ἤθελον, ὡς μὴ μαθόντες ἔτι τὴν τοῦ μπαϊρακτὰρ καταστροφὴν καὶ τὴν πτῶσιν τοῦ Μανούκ. Παρὰ τῶν Ἀρμενίων οὖν πρῶτον διεδόθη ἡ πικρὰ φήμη, ὅτι ἐνεπρήσθη ὁ ναός· τῇ δὲ 19-ῃ τοῦ αὐτοῦ ἔφθασαν καὶ δύο τῶν ἡμετέρων ἀδελφῶν ἐξ Ἱερουσαλήμ, ἐπιστολὰς φέροντες καὶ ἐκ στόματος ἐκτραγῳδοῦντες τὴν συμφοράν. Πένθους οὖν κοινοῦ γενομένου, συνέλευσις γενικὴ συνέστη ἐν τῇ Μεγάλῃ Ἐκκλησίᾳ, ὅπου τῶν ἀπὸ Ἱεροσολύμων γραμμάτων ἀναγνωσθέντων ἀπεφασίσθη ἐκ πάντων ἡ χωρὶς ἀναβολῆς ἀνοικοδομή. Καὶ δὴ ἀναφορᾶς ἐκ παντὸς τοῦ γένους πρὸς τὸ κράτος γραφείσης καὶ δοθείσης ἐξεδόθη τελευταῖον ὁρισμὸς σημειωμένος τῇ ἰδίᾳ χειρὶ τοῦ σουλτὰν Μαχμούτ, ὅπως ὁ ναὸς ἀνοικοδομηθῇ ἐκ τοῦ γένους τῶν Ῥωμαίων μόνον, ὡς ἦν καὶ πρότερον· πρὶν δὲ ἡ ἀναφορὰ δοθῇ παρ' ἡμῶν πρὸς τὸ κράτος, προλαβόντες οἱ Ἀρμένιοι ἰδίαν ἀναφορὰν ἔδωκαν καὶ πολλὰ ἐδαπάνησαν, δεόμενοι ὅπως δοθῇ αὐτοῖς ἡ ἐπισκευὴ τοῦ ναοῦ. Ἀλλὰ τὸ φιλοδίκαιον τοῦ σουλτὰν Μαχμοὺτ οὐ προσέσχεν ὅλως, οὐδὲ ταῖς δεήσεσιν αὐτῶν, οὐδὲ τοῖς λόγοις τῶν ἐγκριτων τῆς βασιλείας, κλινόντων πρὸς τοὺς Ἀρμενίους. Ἔλαβε δὲ τὸν ῥηθέντα ὁρισμὸν ὁ Ἱεροσολύμων Πολύκαρπος ὁ ἐξ Ἀγχιάλου καὶ εὐθέως ἐφρόντισε πρῶτον περὶ τῆς ἀναγκαίας ὕλης, δεύτερον δὲ περὶ ἐπιστημονικοῦ ἀρχιτέκτονος καὶ τρίτον περὶ βασιλικοῦ ἐπιστάτου.

Ἑτοιμασθέντων δὲ τούτων οἱ Ἀρμένιοι καὶ πάλιν ἀναφορὰν ἔδωκαν εἰς τὸ κράτος, δεόμενοι ὅπως δοθῇ αὐτοῖς ὁρισμὸς συμμετασχεῖν τοῖς Ῥωμαίοις εἰς τὴν ἀνοικοδομήν, χριστιανοῖς οὖσι καὶ πιστοῖς ραγιάδες· ἀλλ' οὐκ εἰσηκούσθησαν. Αὐτοὶ δὲ εἶχον τὰς περὶ τοῦτο ἐλπίδας βεβαίας καὶ ἐποίουν συνεισφορὰς χρημάτων μεγάλας, πολὺ πλεῖον τῶν ὀρθοδόξων· οὗτοι γὰρ ἦσαν ἐνδεέστατοι διὰ τὰς ἀκαταστασίας τῶν προλαβόντων χρόνων· ἐβοήθησαν δὲ οἱ εὐλογημένοι τὸ κατὰ δύναμιν, ζήλῳ θείῳ κινούμενοι. Ἀποστελλομένης δὲ τῆς ἀναγκαίας ὕλης πρὸς οἰκοδομήν, οἱ Ἀρμένιοι καὶ πάλιν πλῆθος συναχθέντες καὶ τρίτην ἀναφορὰν ἔδωκαν, δεόμενοι ἀνοικοδομῆσαι μετὰ τῶν Ῥωμαίων τὰ μὲν κοινὰ κοινῶς, τὰ δὲ ἴδια ἰδίως, καὶ ἐπὶ τούτοις ἐζήτουν κριθῆναι μεθ' ἡμῶν ἐπὶ διβανίου. Ὁ δὲ φιλοδίκαιος Μαχμούτ, ἵνα ἡ δικαιοσύνη κρείττω δημοσιευθῇ καὶ ἡ ἀλήθεια, προσέταξε συστηθῆναι κριτήριον ἐκ τῶν μεγίστων κριτῶν καὶ μεγιστάνων, ὅπως ἐξετασθῇ ἡ διαφορὰ τῶν δύο ἐθνῶν. Τούτου οὖν γενομένου ἤρξατο ἡ κρίσις τῇ κγ' ἀπριλίου καὶ μόλις ἐτελειώθη τῇ κα' μαΐου· πέντε δὲ συνελεύσεων γενομένων, οἱ Ἀρμένιοι οὐδὲν κατώρθωσαν, ἀλλὰ τὰ νικητήρια θεία χάριτι ἡμεῖς ἐλάβομεν. Ἀπελπισθέντες δὲ οἱ Ἀρμένιοι ἔγραψαν πρὸς τοὺς ἐν Ἱερουσαλὴμ λέγοντες, ὅτι αὐτοὶ μὲν ἐκ Κωνσταντινουπόλεως οὐδὲν ἐδυνήθησαν κατορθῶσαι, ἐκεῖνοι δὲ ἐν Ἱερουσαλὴμ ἄλλους τρόπους καὶ μέσα ἔχοντες ἐπεχειρίσθησαν ἀγωνιζόμενοι ὅση δύναμις. Οὕτως οὖν ἐποίησαν καὶ ἤρξαντο τῆς δολοτροπίας ἀφειδῶς δαπανῶντες· καὶ γὰρ τοῦ κάλφα ἦ ἀρχιτέκτονος μετὰ διαφόρων οἰκοδόμων καὶ τοῦ βασιλικοῦ ἐπιστάτου, χοτζεκιὰν ἔχοντος ἀξίωμα, ἐλθόντων ἐν Ἱερουσαλὴμ καὶ τοῦ ἡγεμόνος τῆς Συρίας (ὑπέκειτο γὰρ τότε ἡ Ἱερουσαλὴμ τῷ ἡγεμόνι τῆς Συρίας Σὰμ-βαλεσί) ἀποστείλαντος ἰδίους ἀνθρώπους, ἤρξατο μὲν κραταιῶς ἡ ἑτοιμασία τῆς οἰκοδομῆς· ἐπειδὴ δὲ ἀνάγκη ἦν ὅπως ἡ ἀρχὴ γένηται ἐκ τοῦ ἀπὸ τῆς Ἁγίας Πόρτας μέρους, ὅπερ ἦν τῶν Ἀρμενίων, διὰ τοῦτο αὐτοὶ τοῦτο γνόντες παρεκάλεσαν τὸν χοτζεκιάνην καὶ τὸν κάλφαν ὅπως πρὸς ἄρξωνται οἰκοδομεῖν καὶ ἐπισκευάζειν εἰς ἄλλα μέρη τοῦ ναοῦ, οὐκ εἰς τὰ

ἑαυτῶν, πολλὰ προφασιζόμενοι· μὴ εἰσακουσθέντες δὲ προσέπεσαν τῷ τότε μουφτῇ τῆς Ἱερουσαλὴμ Χασὰν-ἐφένδῃ λεγομένῳ, ἀνδρὶ πονηροτάτῳ καὶ πάσης κακίας ἑτοίμῳ ἐφευρετῇ, δόντες καὶ χρυσίον καὶ δῶρα οὐκ ὀλίγα ὑποσχόμενοι καὶ πληροφοροῦντες ὅτι εἰς ὀλίγας ἡμέρας ἔρχεται καὶ αὐτοῖς ὁρισμὸς οἰκοδομῆσαι τὰ ἑαυτῶν μέρη· ὁ δὲ μουφτὴς ὤμωσεν αὐτοῖς, ἵνα ποιήσῃ τὸ θέλημα αὐτῶν.

Καὶ δὴ ἐποίησε· τῇ γὰρ ιθ' Ἰουλίου τοῦ αὐτοῦ ἔτους ,αωθ' (1809) ἀναστηλωθείσης ἐν τῷ ἰδίῳ τόπῳ τῆς μεγίστης τοῦ ναοῦ πύλης καὶ κατασκευασθεισῶν κλιμάκων πρὸς οἰκοδομὴν τῆς ἐκεῖ πεπτωκυίας ὀροφῆς, ἰδοὺ αἴφνης φθάνουσιν ἐκεῖ Τοῦρκοι Ἱεροσολυμῖται ἀγοραῖοι μετὰ κραυγῶν μεγάλων καὶ ὅπλων· καὶ ῥίπτοντες εἰς τὸν ἀέρα τουφέκια καὶ τὰς σπάθας σύροντες ἠπείλουν θανατῶσαι τοὺς οἰκοδόμους καὶ τέκτονας. Διεσκορπίσθησαν οὖν φυγόντες ὅ τε χοτζακιὰν καὶ κάλφας μετὰ τῶν τεχνιτῶν καὶ οἰκοδόμων καὶ αὐτοὶ τοῦ πασᾶ οἱ ἄνθρωποι· ἔντρομοι καὶ ἔμειναν ἀργὸν τὸ ἔργον ἡμέρας ἕνδεκα· ὥστε ἰδόντες ἡμεῖς τὸ ἀμετάθετον καὶ ἀδύνατον κατελίπομεν τὸν ῥηθέντα τόπον τῶν Ἀρμενίων καὶ ἠρξάμεθα τῶν ἡμετέρων [τόπων], γράψαντες εἰς τὸν πασᾶν ἐν Δαμασκῷ καὶ εἰς τὸν μακαριώτατον εἰς τὴν Βασιλεύουσαν περὶ τοῦ πρακτέου· ὁ δὲ πασᾶς ἔγραψε τοῖς προύχουσιν, ὅπως καθησυχάσωσι τὸν ὄχλον, ἐπαπειλῶν ὅτι ἐλθὼν εἰς Ἱερουσαλὴμ πάντως παιδεύσει τοὺς ἀτακτοῦντας (καὶ ἄλλα πολλά). Ὁ δὲ μουφτὴς ταῦτα μαθὼν ἐμάνη καθ' ἡμῶν, ὡς γραψάντων τὰ τοιαῦτα, καὶ ἐζήτει τρόπους καθ' ἡμέραν λαμβάνειν παρ' ἡμῶν [= χρήματα]· ἀλλὰ τῇ ιγ' σεπτεμβρίου ἀπέρριψε τὴν ψυχήν. Τῇ 1 ὀκτωβρίου ἔφθασεν εἰς Ἱερουσαλὴμ ὁ πασᾶς ἔχων μεθ' ἑαυτοῦ τρεῖς χιλιάδας στράτευμα· μετὰ δὲ δύο ἡμέρας ἀπελθόντων ἡμῶν εἰς τὴν ἑαυτοῦ ἔντευξιν καὶ δεινοπαθῶς τὰ τρέχοντα εἰπόντων καὶ ἐκ στόματος μάλιστα αὐτοῦ τοῦ χοτζακιάν, ὁ πασᾶς τῇ ἐπαύριον συγκαλέσας τὸν μουφτὴν καὶ τοὺς λοιποὺς προύχοντας τῆς Ἱερουσαλήμ, ἔτι δὲ καὶ αὐτὸν τὸν μουλλᾶν μετὰ τοῦ χοτζακιὰν καὶ πρὸς τούτοις ἡμᾶς τε καὶ τοὺς Φράτορας καὶ Ἀρμενίους, ὄντας

πρὸ πολλοῦ κενῇ φιλίᾳ καθ' ἡμῶν συνδεδεμένους, εἶπεν ἀναγνωσθῆναι τὸν βασιλικὸν ὁρισμόν. Ἀναγνώσαντος δὲ τοῦτον τοῦ χοτζακιάν, εἶπεν ὁ πασᾶς πρὸς τοὺς Φράτορας καὶ Ἀρμενίους ἀποτεινόμενος· "Κατὰ τὴν διάληψιν τοῦ ὁρισμοῦ ἀνάγκη ἐστὶν ὅπως ὁ ναὸς ἀνοικοδομηθῇ ὑπὸ μόνου τοῦ γένους τῶν Ῥωμαίων". Ἀποκριθεὶς δὲ ὁ προκουράτωρ τῶν Φράγκων εἶπεν· "Ἡμεῖς ἐγράψαμεν εἰς τοὺς βασιλεῖς ἡμῶν, καὶ δὴ πριν ἐλθεῖν ἐκεῖθεν ἀπόκρισιν οὐ στέργομεν τοὺς Ῥωμαίους βαλεῖν χεῖρα εἰς τοὺς τόπους ἡμῶν". Εἶπον καὶ οἱ Ἀρμένιοι· "Καὶ ἡμεῖς εἰς ὀλίγας ἡμέρας ἐκδεχόμεθα ὁρισμὸν τῆς βασιλείας, ὅπως τοὺς τόπους ἡμῶν ἐπισκευάσωμεν μόνοι· ὅθεν οἱ Ῥωμαῖοι τοὺς ἑαυτῶν τόπους ἐπισκευαζέτωσαν ἐπὶ τοῦ παρόντος".

Ταῦτα καὶ τοιαῦτα ἔλεγον δύο ἡμέρας οἱ Φράγκοι καὶ οἱ Ἀρμένιοι, ἅπερ γράφειν παραιτοῦμαι, ὁμοίως καὶ τὰς ἀποκρίσεις τοῦ πασᾶ· ὅς, στενοχωρηθεὶς ὑπὸ τοῦ χοτζακιάν, τῇ τρίτῃ ἡμέρᾳ ἀπεφάσισε μετὰ τοῦ μουλλᾶ καὶ τῶν λοιπῶν, ὅπως ἀρχὴ γένηται τῶν ἀναγκαίων εἰς ἐπισκευὴν τόπων καὶ πρὸ πάντων τῆς μεγάλης τρούλλης καὶ τοῦ ὑπ' αὐτὴν ἱεροῦ Κουβουκλίου, ἐν ᾧ οἱ Φράγκοι ἔχοντες κανδήλας καὶ εἰκόνας καὶ πορφυρᾶ καταπετάσματα, οὐκ ἤθελον καταβιβάσαι, λέγοντες ὅτι ταῦτα, τῶν βασιλέων τῆς Εὐρώπης κρεμασάντων ἐκεῖ, αὐτοὶ οὐ δύνανται καταβιβάσαι. Ὅθεν ὁ πασᾶς μετὰ τοῦ χοτζακιὰν ἀποστείλαντες τοὺς ραβδούχους (καβάσιδες) ἐξεκρέμασαν ὅλα καὶ μακρὰν ἔρριψαν, καὶ οὕτως ἐγένετο ἐν αὐτῷ ἡ καλὴ ἀρχὴ 2-α ὀκτωβρίου. Ἀλλὰ τίς διηγήσεται τὰ ἑξῆς κτιζομένων τούτων σκάνδαλα ἀμφοτέρων τῶν ἐθνῶν; Καθ' ἡμέραν ἐφεύρισκον αἰτίας μάχεσθαι καὶ τύπτειν τοὺς ἐργαζομένους καὶ ἄγειν εἰς κρίσιν κτλ. Ὁ δὲ πασᾶς μέλλων ἀναχωρῆσαι τῆς Ἱερουσαλὴμ ἐξέβαλε τοὺς ἐν τῇ ἀκροπόλει καὶ τοῖς πύργοις οἰκοῦντας ἕως τότε Γιανιτζάρους, αἴφνης καὶ παρ' ἐλπίδα εἰσελθὼν καὶ κυριεύσας τὴν ὁπλοθήκην καὶ τὰ κανόνια κτλ. Ἔβαλε δὲ φρουρὰν ἰδίαν, ἀφεὶς καὶ παρὰ τῷ μουσελίμῃ διὰ τὸ Πραιτώριον καὶ τὰς πύλας τῆς πόλεως 100 [στρατιώτας]· οἱ δὲ Γιανίτζαροι τοῦτο μὴ ὑποφέροντες καὶ πολλοὶ ὄντες (τὸ ἥμισυ

τῆς Ἱερουσαλὴμ σχεδὸν) ἐμελέτησαν ἀποστασίαν, ἵνα πάλιν κύριοι τοῦ φρουρίου γένωνται. Καὶ δὴ συνωμοσίας καθ' ἡμέραν ποιοῦντες ἐβλασφήμουν ἡμᾶς λέγοντες εἶναι αἰτίους, καὶ ἐμελέτων καθ' ἡμῶν καὶ κατὰ τοῦ ναοῦ. Ταῦτα δὲ οὐ διελάνθανε τοὺς Φράτορας καὶ Ἀρμενίους, χαίροντας πρὸς ταῦτα καὶ ἀναρριπίζοντας τὸ πῦρ τοῦ θυμοῦ τῶν Τούρκων λόγοις τε καὶ ἔργοις, διὰ χρυσοῦ καὶ ἀργύρου αὐτοὺς φυσιώσαντες. Ἐν μιᾷ δὲ τῶν ἡμερῶν — ἦν ἡ 17 δεκεμβρίου, ἕκτῃ τῆς ἑβδομάδος [ἡμέρα] — ὥρμησαν πλῆθος εἰς τὸν ναὸν ἀναγκάζοντες καὶ τὸν χοτζακιὰν ζητοῦντες καὶ τὸν ἀρχιτέκτονα καὶ ἄλλους, οἵτινες προλαβόντες ἔφυγον ἔντρομοι καὶ ἐκρύβησαν. Τότε ἔστρεψαν τὴν ὀργὴν των εἰς τοὺς τεχνίτας καὶ ἐργάτας, ἐξ ὧν ἕνα μὲν εὐθέως ἐθανάτωσαν, τρεῖς δὲ ἄλλους καιρίως ἐπλήγωσαν, τοὺς δὲ μὴ προφθάσαντας φυγεῖν συλλαβόντες ἔδησαν καὶ ἐφυλάκισαν ἔν τισι κελλίοις τῶν πατέρων καὶ μετὰ τοῦτο ἤρξαντο συντρίβειν τὰ ἐν τῷ ἱερῷ Κουβουκλίῳ νεοκτισθέντα παρ' ἡμῶν μάρμαρα καὶ χρημνίζειν τὰς οἰκοδομάς. Ἐν τούτοις δὲ ἄλλοι, οὐ γὰρ ἦλθον ὅλοι ἐν τῷ ναῷ, ἀπῆλθον δοκιμάζοντες ἐφορμῆσαι εἰς τὴν ἀκρόπολιν· ἄλλοι δὲ ἔτρεξαν εἰς τὸ Πραιτώριον συλλαβεῖν τὸν μουσελήμ· ὃ καὶ ἐπέτυχον ῥαδίως. Αὐτὸς γὰρ ὁ μουσελὴμ ἀκούσας τῶν κραυγῶν καὶ τῶν τουφεκίων ἐξῆλθεν ἰδεῖν τὸ γεγονός, οἱ δὲ ἐπιδραμόντες αἰφνης τοὺς μὲν περὶ αὐτὸν διεσκόρπισαν, αὐτὸν δὲ συλλαβόντες ἔδησαν καὶ φέροντες ἔμπροσθεν τῆς ἀκροπόλεως εἶπον αὐτῷ· "Εἰπὲ τοῖς ἐν τῷ Καλέ, δηλαδὴ τῷ φρουρίῳ, ἐξελθεῖν καὶ ἀπελθεῖν ὅθεν ἦλθον· εἰ δ' οὔ, σφάζομέν σε ταύτῃ τῇ ὥρᾳ ὡς πρόβατον". Ἐφώνησεν οὖν ὁ μουσελὴμ καὶ εἶπε τοῖς ἐν τῷ φρουρίῳ, ἀλλ' ἐκεῖνοι ὕβρισαν αὐτόν τε καὶ ἐκείνους, λέγοντες ὅτι ἄνευ ἰδιοχείρου προσταγῆς τοῦ πασᾶ οὐκ ἐξέρχονται, κἂν ὅλοι φονευθῶσι. Τότε οἱ ἀποστάται ῥίξαντες κατὰ γῆς τὸν μουσελὴμ καὶ τὰ σπαθία γυμνώσαντες ἠπείλουν σφάξαι· ὁ δὲ κλαίων εἶπεν αὐτοῖς· "Ἀφετέ με γράψαι εἰς τὸν πασᾶν, καὶ ἐὰν μὴ ἐκβάλῃ αὐτούς, τότε ποιήσατε τὸ δοκοῦν ὑμῖν". Τότε ἔφθασαν ἐκεῖ καὶ οἱ προύχοντες καὶ γέροντες τῆς Ἱερουσαλὴμ καὶ αὐτὸς ὁ μουλλᾶς, παρακαλοῦντες καὶ δεόμενοι

αὐτῶν παύσασθαι τῶν τοιούτων κινημάτων· οἱ δὲ ὤμνυον, ὅτι "ἂν οἱ Βαρβαρέσοι οὐκ ἐξέλθωσι σήμερον τοῦ φρουρίου, καὶ τὸν μουσελὴμ τοῦτον σφάζομεν καὶ τοὺς καλογήρους Ῥωμαίων καὶ πρὸς τούτοις τὸν ναὸν αὐτὸν κρημνίσομεν"· οἱ δὲ εἶπον αὐτοῖς πολλὰ ἡσυχάσαι καὶ γενήσεται τὸ θέλημα αὐτῶν. Ἀλλ' οὐχ ὑπήκουσαν, ἤρξαντο δὲ ἀπειλεῖν καὶ πάλιν.

Οἱ μὲν οὖν προύχοντες ἐκεῖνοι λαβόντες ἐκ τῶν χειρῶν αὐτῶν τὸν μουσελὴμ ἀπῆλθον εἰς τὰ ἴδια· οἱ δὲ ἀποστάται συναχθέντες ἐμερίσθησαν εἰς δύο, καὶ οἱ μὲν ἀπῆλθον πολεμεῖν τοῖς ἐν τῷ φρουρίῳ, οἱ δὲ κλίμακας στήσαντες ἀνέβησαν εἰς τὸ Πατριαρχεῖον ζητοῦντες τὸν ἐπίτροπον Πέτρας μητροπολίτην Μισαὴλ καὶ τοὺς λοιποὺς ἀρχιερεῖς καὶ προύχοντας· ἀλλ' οὐχ εὗρον· προλαβόντες γὰρ οὗτοι ἐκρύβησαν εἰς τοὺς οἴκους τῶν γειτόνων Τούρκων, ὁμοίως καὶ σιληχτάρ, τοῦ πασᾶ ἐπιστάτης εἰς τὴν ἀνοικοδομήν· ὁ δὲ χοτζακιὰν καὶ δραγουμάνος ἐκρύβησαν καταβάντες εἰς μίαν δυσώδη στέρναν, καὶ αὐτὸς δὲ ὁ κάλφας σὺν τοῖς περὶ αὐτὸν εἰς ὑπόγειά τινα ἔξω τοῦ Πατριαρχείου. Ὅσα δὲ δεινὰ καὶ ἁρπαγὰς οἱ ἀποστάται τότε ἐποίησαν ἡμῖν ἔν τε τῷ ναῷ καὶ τῷ Πατριαρχείῳ, ἐὰν θελήσω γράψαι, βίβλον ἂν ὀγκώδη ποιήσω· τοῦτο δὲ μόνον γράφω, ὅτι ὁ ῥηθεὶς Πέτρας μητροπολίτης καὶ ἄλλοι κρυφίως τῇ νυκτὶ ἐκείνῃ ἀπελθόντες εἰς τοὺς οἴκους δύο τινῶν Τούρκων ἐν ὑπολήψει μεγάλων καὶ ἁγίων ἀνδρῶν, καὶ τούτοις προσπεσόντες μετὰ δακρύων παρεκάλουν ἵνα νουθετήσωσιν αὐτοπροσώπως τοὺς ἀποστάτας καὶ παύσωσι τῶν κακῶν, ἐκβάλοντες τοῦ ναοῦ καὶ τοῦ Πατριαρχείου. Δύο ἡμέρας οὖν αὐτοὺς παρακαλοῦντες μόλις κατέπεισαν ἐξελθεῖν αὐτοπροσώπως καὶ λαλῆσαι τοῖς ζορμπάδαις· ἀλλ' οὗτοι εἶπον, ὅτι οὐκ ἐξέρχονται τοῦ ναοῦ, οὐδὲ τοῦ Πατριαρχείου, ἐὰν μὴ οἱ Ῥωμαῖοι γράψωσι τῷ πασᾷ, ἵν' ἀποστείλας τοὺς μὲν ἐν τῷ φρουρίῳ Μπαρμπαρέσους ἐκβάλῃ, αὐτοὶ δὲ εἰσέλθωσι πανοικὶ [μένειν ἐν αὐτῷ], ὡς καὶ πρότερον. Τέλος δ' οὖν ὁ ῥηθεὶς Πέτρας μητροπολίτης μετὰ τῶν σὺν αὐτῷ ὑπέσχετο πάντα ποιῆσαι, ἃ θέλουσι· καὶ δὴ τῇ Κυριακῇ πρωὶ οἱ ῥηθέντες, οἱ ὑπολειπτικοὶ δηλαδὴ Τοῦρκοι, συνήγαγον τοὺς πρώτους

τῶν ἀποστατῶν εἰς τὸν Μεχκέμ, δηλαδὴ τὸ κριτήριον, καὶ παρόντων πάντων τῶν προυχόντων ἐγράφη ἐπιστολὴ πρὸς τὸν πασᾶν ἐν Δαμασκῷ ἐκ μέρους τοῦ ἐπιτρόπου τῶν Ρωμαίων καὶ τοῦ μουσελήμ, παρακαλοῦσα ὅπως πάλιν τὸ φρούριον δοθῇ εἰς τοὺς ἐπὶ τριακοσίους χρόνους αὐτὸ κατέχοντας Ἰαννιτζάρους· ὑπεγράφη δὲ ἐν αὐτῷ ὅ τε Πέτρας μητροπολίτης καὶ ἄλλοι, ὁμοίως καὶ ὁ μουσελὴμ καὶ χοτζακιὰν διὰ τὸν φόβον. Ἐδόθη δὲ ἐκ τούτων καὶ διορία κατ' αἴτησιν τῶν ἀποστατῶν 17 ἡμέραι. Τούτων οὖν γενομένων, ἡ μὲν ἐπιστολὴ ἐστάλη διὰ ταχυδρόμων, οἱ δὲ ἀποστάται ἐξῆλθον τοῦ τε ναοῦ τῆς Ἀναστάσεως καὶ τοῦ Πατριαρχείου, δόντες καὶ πίστεις διά τε τὸν χοτζακιὰν καὶ ἀρχιτέκτονα· ἀλλ' αὐτοὶ οὐκ ἐπίστευσαν αὐτοῖς, εἰ καὶ ἐξῆλθον εἰς τὸ φανερόν, καὶ τὸ ἔργον ἔμεινεν ἀργὸν ἑξῆς ἡμέρας 27, ὡς ῥηθήσεται. Τῇ αὐτῇ δὲ ἡμέρᾳ οἱ ἀρχηγοὶ τῶν ἀποστατῶν ἐζήτησαν παρ' ἡμῶν συνάξαι πάντα τὰ ἁρπαγέντα, καὶ δὴ δεδώκαμεν αὐτοῖς [χρήματα]. ἔφερον δὲ τῇ ἐπαύριον τινὰ εὐτελέστατα καὶ οὐδὲν ἄλλο· οἱ πλεῖστοι δὲ τῶν ἀποστατῶν ὡμολόγησαν μεθ' ὅρκου, ὅτι τὰ πλείω μάρμαρα τοῦ ἱεροῦ Κουβουκλίου αὐτοὶ οὐ συνέτριψαν, ἀλλὰ οἱ καλόγηροι τῶν Φράγκων, δηλαδὴ οἱ Φράτορες, οὓς εἶδον αὐτοῖς ὀφθαλμοῖς τῇ νυκτὶ ἐκείνῃ καὶ δύο Κόπται.

Τῷ δὲ 1810 Ἰανουαρίου ς' οἱ καλοὶ Ἀρμένιοι ἐπλήρωσαν ἕνα τῶν ἀποστατῶν ὅπως, καταβαίνοντος τοῦ κάλφα εἰς τὸν θεῖον ναὸν ἐν τῷ ὄρθρῳ διὰ τὴν ἑορτήν, θανατώσῃ αὐτόν, εἶτα ἀπελθὼν κρυβῇ παρ' αὐτοῖς. Καταβὰς οὖν οὗτος εἰς τὴν Ἁγίαν Πόρταν καὶ φυλάττων ἐπατάχθη ἀορασία καὶ οὐκ εἶδεν ὅλως τὸν κάλφαν, ὡς ὁ ἴδιος μετὰ ταῦτα ἡμῖν ὡμολόγησε. Τῇ δὲ η' Ἰανουαρίου, ἡμέρᾳ Σαββάτῳ, οἱ ἀποστάται μαθόντες ὅτι ὁ πασᾶς στέλλει στρατεύματα πολεμῆσαι αὐτούς, συνῆλθον ἐπὶ τὸ αὐτό· καὶ συσκεψάμενοι ἀπεφάσισαν, ὅπως τῇ νυκτὶ ἐκείνῃ εἰσπηδήσαντες εἰς τὸ Πατριαρχεῖον καὶ τὰ λοιπὰ μοναστήρια καὶ οἴκους χριστιανῶν ἁρπάσωσι χρήματα καὶ τὸ πρωὶ φύγωσιν εἰς τὴν Χεβρῶνα, ὅπου τὸ ἄσυλον· ἀλλ' αἰφνης, ὅτε αὐτοὶ αὐτὰ ἔλεγον, ἰδοὺ τῇ αὐτῇ ὥρᾳ ἔφθασε τὸ στράτευμα ὄπισθεν τοῦ ἁγίου ὄρους Ἐλαιῶνος

παρ' ἐλπίδα καὶ ἐν ῥιπῇ ὀφθαλμοῦ περιεκύκλωσε τὴν Ἱερουσαλὴμ καὶ ἤρξατο τουφεκίζειν καὶ ἀλαλάζειν· οἱ δὲ ἀποστάται ἀκούσαντες ὥρμησαν εἰς τὰς ἐπάλξεις καὶ προμαχῶνας τοῦ τείχους· αὐτοὶ γὰρ εἶχον καὶ τὰς πύλας τῆς πόλεως καὶ ἐπ' αὐταῖς κανόνια. Ἀλλ' ὁ ῥηθεὶς μουσελὴμ ὡς λέων ὁραμὼν μετὰ τῶν σὺν αὐτῷ ἤνοιξαν τὴν Προβατικὴν Πύλην (κοινῶς τῆς Γεθσημανῆς) συντρίψαντες τὰς κλεῖς καὶ εἰσῆλθε τὸ στράτευμα· ταὐτοχρόνως καὶ οἱ ἐν τῇ ἀκροπόλει ἐξελθόντες ἔνοπλοι μετὰ κραυγῶν ἠνέωξαν τὴν πύλην τοῦ Δαβὶδ καὶ οὕτως εἰσῆλθε τὸ στράτευμα τὸ ἥμισυ, τὸ δὲ ἄλλο ἔμεινεν ἔξω φυλάττοντες. Οἱ δὲ ἀποστάται ἀφέντες τὰ πάντα καὶ τὰ ὅπλα ἐφάνησαν εἰς τὸ στράτευμα καλοὶ ἄνθρωποι καὶ εἰρηνικοί· ἄλλοι δὲ εἰσῆλθον εἰς τὸ ῥηθὲν σελίδι 414 μοναστήριον τῶν Ἀρμενίων ἔξω τῆς Ἱερουσαλήμ, ὡς ἔχον πύλην σιδηρᾶν καὶ ὂν ὡς φρούριον ὀχυρόν, καὶ ἡτοιμάσθησαν ἐκεῖ φυλαχθῆναι διὰ τῶν ὅπλων· οἱ δὲ τούτων ἀρχηγοί, δώδεκα τὸν ἀριθμόν, εἰσῆλθον εἰς τὴν ἁγίαν Σιών, ὅπου τὰ μνήματα Δαβὶδ καὶ Σολομῶντος, τόπον παρὰ τοῖς Τούρκοις φυγαδευτήριον διὰ τοὺς φονεύσαντας. Ὁ δὲ ῥηθεὶς μουσελὴμ ὀργὴν καὶ ἐκδίκησιν πνέων δι' ἅπερ ἔπαθεν, ἐξελθὼν ὅσους μὲν εὗρεν ἔθετο ἐν φυλακῇ· μαθὼν δὲ τῇ ἐπαύριον περὶ τῶν ἐν τῷ μοναστηρίῳ καὶ τῇ ἁγίᾳ Σιών, ἔστειλεν αὐτοῖς ἐξελθεῖν μετ' εἰρήνης καὶ δοῦναι ἀπολογίαν τῇ κρίσει διὰ τὰ πραχθέντα· ἀλλ' αὐτοὶ οὐδόλως ὑπήκουσαν.

Ὅθεν παρευθὺς περιζώσας διὰ τῶν στρατευμάτων καὶ τὰ δύο μοναστήρια πρὸς τὸ μηδένα φυγεῖν, ἔστειλεν ἀνθρώπους καὶ πάλιν λέγων ἵνα ἐξέλθωσιν· ἀλλ' αὐτοὶ ἐβλασφήμουν καὶ τοῦτον καὶ τὸν πασᾶν. Ὅθεν προσέταξε τὴν ἐφόρμησιν καὶ μετὰ πέντε ὡρῶν πόλεμον ἐτρύπησε δι' αὐτῶν τὸ μοναστήριον· ἀλλ' ἔσωθεν οἱ ἀποστάται διὰ τῶν σπαθίων καὶ ἀξινῶν ἐφόνευον τοὺς πλησιάζοντας καὶ βουλομένους εἰσελθεῖν, ἕως οὗ φονεύοντες καὶ φονευόμενοι διεφθάρησαν πάντες, 19 ὄντες τὸν ἀριθμόν, φονευθέντων καὶ δύο Ἀρμενίων εὑρεθέντων ἐν τῷ μοναστηρίῳ. Μετὰ τοῦτο ὁ μουσελὴμ προσέταξε τοὺς Σινιώτας ἐκβαλεῖν ἔξω τοὺς πρόσφυ-

γας· προσβαλόντων δὲ ἐκείνων τὸ ἅγιον καὶ ἄσυλον τοῦ τόπου, αὐτὸς εἰσελθὼν ἥρπασεν αὐτοὺς ἐκεῖθεν μηδόλως ἀντιστάντας, ἀλλ' ἱκετεύοντας. Δήσας δὲ καὶ ἀπαγαγὼν εἰς τὴν ἀκρόπολιν τῇ νυκτὶ ἐκείνῃ ἔπνιξε διὰ βρόχου καὶ τοὺς δώδεκα· τῷ δὲ πρωὶ Ἰανουαρίου 1 ἔρριψεν ἔξω τῆς ἀκροπόλεως τὰ τούτων πτώματα καὶ τὰ τῶν ἐν τῷ μοναστηρίῳ φονευθέντων. Οὕτως οὖν τοῦ Θεοῦ ἐκδικήσεων ἐκδικήσαντος, τῇ αὐτῇ ἡμέρᾳ ἰδοὺ ἄνθρωπος βασιλικὸς καπιτζήπασης καὶ μετ' αὐτοῦ εἷς ἀρχιμανδρίτης Ἁγιοταφίτης, Ματθαῖος τοὔνομα, φέροντες καὶ δεύτερον χάτι, δηλαδὴ ὁρισμὸν ἱερὸν τοῦ σουλτάνου, προστάττοντα ὅπως ὅλος ὁ ναὸς ἐπισκευασθῇ ἐκ τοῦ ἔθνους τῶν Ῥωμαίων, τὰ δὲ λοιπὰ ἔθνη μὴ ἔχωσιν ἐξουσίαν οὐδὲ λίθον βαλεῖν, καὶ πρὸς τούτοις μὴ τολμήσωσιν ἐξῆς λειτουργίαν ποιῆσαι ἐπὶ τοῦ ἐν τῇ Γεθσημανῇ τάφου τῆς Θεοτόκου, οὐδὲ εἰκόνας ἔχειν οὐδὲ κανδήλας, πλὴν τῶν πρὸ πολλοῦ εὑρεθεισῶν ἔξ.

Τῇ οὖν ἐπαύριον τοῦ καπιτζήπαση μετὰ τοῦ χοτζακιὰν καταβάντος εἰς τὸν Μεχκεμέ, ἐλθόντος καὶ τοῦ μουσελὴμ καὶ τῶν προυχόντων, προσεκλήθησαν οἵ τε Φράγκοι καὶ Ἀρμένιοι· καὶ ἀναγνωσθέντος τοῦ ὁρισμοῦ προσετάγησαν οἱ Ἀρμένιοι μὴ λειτουργεῖν ἐν τῇ Γεθσημανῇ καὶ πρὸς τούτοις μὴ ἐνοχλεῖν ἐν τῷ οἰκοδομεῖν τοὺς Ῥωμαίους, λέγοντες "τοῦτο τὸ μέρος ἐστὶν ἡμῶν καὶ τοῦτο ἐκείνου" κτλ. Τὰ αὐτὰ ἐρρέθη καὶ τοῖς Φράγκοις. Καὶ δὴ τῇ ιβ' Ἰανουαρίου ἐγένετο καὶ πάλιν καλὴ ἀρχὴ τοῦ ἔργου τῆς οἰκοδομῆς καὶ ἐπισκευῆς, ἀνορθωθέντων κατὰ πρῶτον τῶν ὑπὸ τῶν ἀποστατῶν κρημνισθέντων μερῶν καὶ τῶν μαρμάρων τοῦ ἁγίου Κουβουκλίου κατασκευσθέντων βέλτιον τῶν συντριβέντων. Ἀλλ' οἱ Φράτορες φθόνῳ τηκόμενοι ἔδραμον εἰς τὴν κρίσιν λέγοντες, ὅτι ἀδικοῦμεν αὐτοὺς μὴ κτίζοντες ἐκ μαρμάρων τοὺς τάφους τῶν βασιλέων αὐτῶν, ἀλλ' ἐκ τῶν παρατυχόντων λίθων· ἦσαν δὲ οἱ τάφοι οὗτοι τέσσαρες τῶν μετὰ τὸν Βαλδουβῖνον καὶ Γοβρέδον βασιλευσάντων ἐν Ἱερουσαλήμ, οἵτινες παρανόμως καὶ θεοστυγῶς ἐτάφησαν ἐν τῷ μέσῳ τοῦ ναοῦ τῆς Ἀναστάσεως· οἱ δὲ τοιοῦτοι τάφοι ἐν τῷ ἐμπρησμῷ παρανάλωμα τοῦ πυρὸς ἐγέ-

νοντο· οἱ δὲ Φράτορες οἱ πρὸ ὀλίγου τὰ μάρμαρα τοῦ ἁγίου Κουβουκλίου συντρίψαντες, εὐθέως ἤδη ἤθελον οἰκοδομηθῆναι τοὺς τάφους αὐτῶν ἐκ μαρμάρων. Ἀλλ' οὖν καὶ κριθέντες μεθ' ἡμῶν καὶ μάταιοι ἀποδειχθέντες ἔμειναν ἄπρακτοι καὶ εἰς τοῦτο· τῇ δὲ α' μαρτίου εἷς τῶν οἰκοδόμων πεσὼν ἀπὸ ὕψους πεντήκοντα πηχῶν τῆς τρούλλης τοῦ Καθολικοῦ, οὐδὲν κακὸν ἔπαθεν, ὥστε θαυμάζειν καὶ αὐτοὺς τοὺς ἀσεβεῖς· ἀλλ' οἱ Φράτορες μετὰ τῶν ἀδελφῶν Ἀρμενίων κατέβησαν εἰς τὸν μουλλᾶν λέγοντες, ὅτι οἱ Ῥωμαῖοι ἐποίησαν καινοτομίας ἀνοίξαντες τὰ ἄπερ ὁ Σαλαδῖνος ἔκλεισε παράθυρα, ὡς εἴρηται. Ἀληθῶς δὲ ἡμεῖς τότε τολμήσαντες ἠνοίξαμεν ἀνὰ μίαν ὀπὴν μικρὰν ἐν ἑκάστῳ παραθύρῳ, ὅπως δι' αὐτῶν ἐξέρχεται ὁ ἀτμὸς τῶν κανδηλῶν καὶ κηρίων· ἦν δὲ τοῦτο συμφέρον καὶ αὐτοῖς. Ὁ οὖν μουλλᾶς κινήσας τὴν κεφαλὴν καὶ εἰπὼν τουρκιστὶ τὸ "φθόνος οὐκ οἶδε προτιμᾶν τὸ συμφέρον" καὶ ὀνειδίσας αὐτοὺς ἀπεδίωξεν· ἔχοντες δὲ οἱ Δυτικοὶ τότε πρὸ μιᾶς ἑβδομάδος πάσχα, κατέπεισαν τὸν πασᾶν καὶ ἔδωκεν αὐτοῖς προσταγὴν ἵνα ἀργήσῃ τὸ ἔργον ὅλῃ τῇ ἑβδομάδι τῶν Βαΐων, λέγοντες ἵνα ποιήσωσι τὰ ἔθιμα αὐτῶν μεθ' ἡσυχίας πάσης· ὃ καὶ ἐγένετο. Τότε καὶ οἱ Ἀρμένιοι ἀπατήσαντες τὸν πασᾶν ἐν Δαμασκῷ ἔφερον προσταγὴν λειτουργεῖν ἐν τῇ Γεθσημανῇ ἐπὶ τοῦ θεομητορικοῦ μνήματος· ἀλλ' ἅπαξ μόνον ἐλειτούργησαν, καὶ ἡμεῖς διὰ τῆς κρίσεως ἐκωλύσαμεν αὐτοὺς ἀποστείλαντες εἰς τὸν πασᾶν τὸ ῥηθὲν σελίδι 441 χάτιον· ὅπερ ἐκεῖνος ἀναγνοὺς ἔγραψεν ἀπειλητικὸν τοῖς Ἀρμενίοις ἐπιτάττων τὰ αὐτά· αὐτοὶ δὲ λυσσῶντες καθ' ἡμῶν ἐχόρτασαν τὸν μουλλᾶν καὶ τὸν ἀρχηγὸν τῶν Βαρβαρέσκων, Ἀπουταρίαν λεγόμενον, καὶ τῷ μεγάλῳ Σαββάτῳ πρωὶ ἐκρέμασαν ἐπὶ τῆς πύλης τοῦ ἁγίου Κουβουκλίου μίαν εἰκόνα· ἀλλὰ καὶ πάλιν διὰ προσταγῆς τοῦ πασᾶ κατεβιβάσαμεν αὐτήν. Κτιζομένου δὲ τοῦ ἱεροῦ Κουβουκλίου, κατῆλθον σὺν τοῖς Φράτορσι καὶ κατετάραξαν καὶ τὸν μουλλᾶν καὶ ὅλους τοὺς Τούρκους, λέγοντες ὅτι πράττομεν παρὰ τὴν βασιλικὴν προσταγήν, ὑψηλότερον τοῦτο ποιοῦντες καὶ εὐρύτερον, καὶ ἄλλα τοιαῦτα. Οὐδὲν ὅμως ἴσχυσαν· ὁ γὰρ ἐν τούτοις ἔφορος χατζεκιὰν ἦν

ὅλος ἔκδοτος εἰς τὰ ἡμῶν καὶ εὐχαριστούμενος εἰς τὰ παρ' ἡμῶν· οὐ προσεῖχεν ὅλως τοῖς ἐναντίοις, καίτοι φιλοδωρούμενος ὑπ' αὐτῶν συνεχῶς.

Ἐν τούτοις δὲ ὁ τῆς Δαμασκοῦ σατράπης καὶ πάσης Συρίας καὶ Παλαιστίνης ἡγεμὼν Ἰωσὴφ-πασᾶς ὁ τοὺς ἀποστάτας παιδεύσας καὶ διὰ τοῦτο μισητὸς πᾶσι τοῖς Τούρκοις καὶ Φράγκοις καὶ Ἀρμενίοις, μόνοις δὲ ἡμῖν ἀγαπητός, αὐτὸς λέγω ὑπ' ὀργὴν τοῦ σουλτάνου γενόμενος φεύγει εἰς Αἴγυπτον· καθίσταται δὲ ἀντ' αὐτοῦ ὁ Πτολεμαΐδος καὶ πάσης Φοινίκης Σουλεϊμὰν πασᾶς, ἐχθρὸς ἄσπονδος ἡμῶν, φίλος δὲ ἄκρος τοῖς Φράτορσιν ἐκ παλαιοῦ. Καὶ δὴ σκιρτῶντες ὑπὸ τῆς χαρᾶς οἱ Φράτορες, τὰ πάντα ἐνόμιζον ἴδια καὶ τὰ δυσχερῆ εὐμαρῆ καὶ ἤρξαντο τῶν συνήθων καθ' ἡμῶν, κωλύοντες κτίζειν κατὰ τὸ δοκοῦν ἡμῖν. Τότε καὶ τοῦ καλοῦ μουσελὴμ μέλλοντος ἀναχωρῆσαι σὺν τοῖς στρατεύμασιν, ἡτοιμάσθησαν οἱ Γιαννιτζάροι εἰσελθεῖν εἰς τὴν ἀκρόπολιν· τινὲς δὲ αὐτῶν, συγγενεῖς τῶν φονευθέντων, ἔλεγον· "Ἦλθεν ἤδη καιρὸς ὅπως ἐκδικηθῶμεν κατὰ τῶν ἀσεβῶν Ῥωμαίων". Ἅπερ ἡμεῖς μαθόντες ἀνεφέρομεν τῷ μουσελὴμ διὰ τοῦ χοτζακιάν, ὃς μετὰ τούτου καὶ τοῦ μουλλᾶ συσκεφθείς, ἀφεὶς τὸ Πραιτώριον ἀνῆλθεν εἰς τὴν ἀκρόπολιν μετὰ τῶν σὺν αὐτῷ καὶ καθήσας ἐφύλαττεν, ἕως οὗ ἦλθε τὸ στράτευμα παρὰ τοῦ νέου ἡγεμόνος καὶ παρέδωκε τὸ φρούριον καὶ τότε ἀνεχώρησεν. Ἦλθε δὲ καὶ νέος μουσελὴμ δόλιος καὶ φιλάργυρος εἰς ἄκρον· διὸ καὶ τοῖς ἐναντίοις ἡμῶν χρησιμώτατος· τῇ δὲ ἡ' αὐγούστου, ἐπειδὴ τὸ ἐν τῷ τόπῳ τῆς Ἀποκαθηλώσεως μάρμαρον ἦν συντετριμμένον ὑπὸ τῆς πεσούσης ἄνωθεν ὀροφῆς, ἠλλάξαμεν καὶ πορφυρᾶν ἄλλην πλάκαν ἐκεῖ ἐβάλαμεν ὡραιοτέραν· ἀλλ' οἱ Φράγκοι ἦλθον κραυγάζοντες, "Ἵνα τί ἐξεβάλετε τὴν ἐνταῦθα πλάκα καὶ διατί ἐβάλατε ἄλλην" καὶ ἄλλα πολλά. Εἶτα καταβάντες εἰς τὸν μουλλᾶν κινοῦσι καθ' ἡμῶν ἀγωγὴν καὶ κρίσιν, ζητοῦντες λαβεῖν ἀφ' ἡμῶν τὴν πλάκα· ἀλλ' οὐκ ἐδώκαμεν. Καὶ ὁ μὲν μουλλᾶς παρῄνει αὐτοὺς ἀπέχειν τῶν τοιούτων, ἀλλ' ὁ νέος μουσελὴμ ὑπ' ἐκείνων δωροδοκηθεὶς ἐπέμενε προστάσσων ὅπως ποιήσωμεν ἐκ τῶν δύο τὸ ἕν, ἢ δοθῆναι δη-

λαδὴ τὴν πλάκα τοῖς Φράτορσιν, ἢ τεθῆναι αὐθις [αὐτὴν] ἐν τῷ ἰδίῳ τόπῳ. Τέλος δ' οὖν ἡ ὑπόθεσις κατήντησε θεωρηθῆναι εἰς τὸν νέον πασᾶν, ὃς καίτοι φίλος ὢν τοῖς Φράτορσιν, ἀλλ' οὖν προσέταξε τοῖς Φράτορσιν ὑποτάσσεσθαι καὶ μὴ ἀντιτείνειν τοῖς βασιλικοῖς ὁρισμοῖς. Οὕτως οὖν ἔμεινεν ἡ πλάξ ἐκείνη φυλαττομένη παρ' ἡμῖν μέχρι τῆς σήμερον.

Τῇ δὲ κ' τοῦ αὐτοῦ πάλιν ἐκίνησαν ἀγωγὴν διὰ τὰ γράμματα, ἅπερ ἐκολάψαμεν ἐπὶ τοῦ ἱεροῦ Κουβουκλίου ἔσωθέν τε καὶ ἔξωθεν· εἰσὶ δὲ ταῦτα ῥητά τινα περὶ τῆς ταφῆς τοῦ Κυρίου καὶ ἐγέρσεως ἐκ τοῦ ἁγίου εὐαγγελίου. Ὁμοίως ἔγραψαν εἰς τὸν πασᾶν καὶ διὰ τὰς ἐκ μαρμάρου αὐτόθι εἰκόνας καὶ τὰ μανουάλια ἔμπροσθεν αὐτοῦ τοῦ θείου Κουβουκλίου· ἀλλ' οὐδὲν ἴσχυσαν θεία χάριτι, ἡμῶν δικαιωθέντων. Τότε καὶ οἱ Κόπται ἔφερον προστα-γὴν παρὰ τοῦ σατράπου τῆς Αἰγύπτου Μεεμὲτ-Ἀλῆ-πασᾶ γενέσθαι τὸ παρακλήσιον αὐτῶν ὄπισθεν τοῦ ἱεροῦ Κουβουκλίου, ὡς καὶ πρότερον (ὅρα σελ. 409). Μὴ θελόντων δὲ ἡμῶν, διὰ τὸ εἶναι ἐκεῖσε ὡς λίθος προσκόμματος, αὐτοὶ ἔφερον καὶ ἐντονωτέραν [προσταγὴν], καὶ οὕτως ἐκτίσαμεν αὐτοῖς διὰ λίθων, οὐ μὴν δὲ ὅσον τὸ πρῶτον, ἀλλὰ μικρότερον· προσταγῇ δὲ τοῦ Σουλεϊμὰν-πασᾶ καὶ τοὺς τόπους αὐτῶν διὰ τοίχων καὶ θυρῶν χωρίσαντες δεδώκαμεν αὐτοῖς. Τῇ δὲ α' σεπτεμβρίου καὶ αὐθις καθ' ἡμῶν ἀγωγὴν ἐκίνησαν οἱ Φράτορες περὶ τοῦ σπηλαίου τῆς Εὑρέσεως τοῦ τιμίου Σταυροῦ, κρεμασάντων ἡμῶν ἐκεῖ ὡς ἔκπαλαι τὰς τρεῖς ἀκοιμήτους κανδήλας καὶ στησάντων δύο μανουάλια πορφυρολευκοπέτρινα, καὶ περὶ τοῦ τόπου Μή μου ἅπτου τῆς Μαγδαληνῆς Μαρίας. Ἀλλὰ περὶ μὲν τοῦ σπηλαίου τῆς Εὑρέσεως ἐματαιώθησαν, ἀλλ' εἰς τὸν τόπον Μή μου ἅπτου οὐκ ἀφῆκαν ἡμᾶς ἀλλάξαι τὸ ἐκεῖ ὂν συντριμμένον μάρμαρον, οὕτω προστάξαντος τοῦ πασᾶ δὶς καὶ τρὶς ἐντόνως. Θεία συνάρσει δὲ τελειωθείσης τῆς τοῦ ναοῦ οἰκοδομῆς καὶ ἀνακαινίσεως κατὰ τὴν 10-ην τοῦ αὐτοῦ σεπτεμβρίου καὶ τῶν ἐγκαινίων ὑπὸ τῶν ἀρχιερέων τελεσθέντων τῇ 13-ῃ σεπτεμβρίου, ὅτε καὶ τὰ πρῶτα ἐγκαίνια τῇ ιη' τοῦ αὐτοῦ, ἀνεχώρησε τῆς Ἱερουσαλὴμ ὁ ἀρχιτέκτων Κομνηνὸς

μετὰ τῶν σὺν αὐτῷ οἰκοδόμων. Καταβὰς δὲ εἰς Ἰόππην καὶ πλοίου ἐπιβὰς ὅπως ἀπέλθῃ εἰς τὴν Κωνσταντινούπολιν, κατὰ προσταγὴν τοῦ Σουλεϊμὰν-πασᾶ ἐκομίσθη διὰ τοῦ αὐτοῦ πλοίου εἰς τὴν Πτολεμαΐδα, ὅπου αὐτὸς ἔδειξεν αὐτῷ πολλὰ αὐτοῦ ἐγκλήματα καταγραφέντα ὑπὸ τῶν Φρατόρων, ὅτι ἐκαινοτόμησε κατὰ τοῦτο καὶ κατ' ἐκεῖνο εἰς τὸν ναόν, παρὰ τὸν βασιλικὸν ὁρισμὸν ὅλως πράττων κατά τε προσθήκας καὶ ἀφαιρέσεις, ἔτι δὲ καὶ ἀλλοιώσεις, καὶ ὅτι τὸν μέγαν κουμπὲν ὕψωσεν ὑπὲρ τὸν πρῶτον καὶ ὅτι ἤνοιξε παράθυρα ὑπὸ τοῦ Σαλαδίνου κλεισθέντα καὶ ἄλλα πολλά. Ἀποκριθέντος δὲ τοῦ ἀρχιτέκτονος καὶ ὑπεραπολογηθέντος, ἐκεῖνος διώρισεν αὐτὸν εἰς τήρησιν εἶναι ἐν Πτολεμαΐδι, ἕως οὗ γράψει εἰς τὸ ὕψηλὸν Δεβλέτι, ὅπως ἀποσταλῇ δέσμιος· ἠπείλει δὲ καὶ ἄλλα πολλά· τέλος δ' οὖν μετὰ εἴκοσιν ἡμέρας ἀπέλυσεν αὐτὸν διὰ τὰ ἴδια, ἀποστειλάντων ἡμῶν ἐκ τοῦ Κοινοῦ τοῦ Παναγίου Τάφου τριάκοντα χιλιάδας γρόσια τῷ ρηθέντι τούτῳ πασᾶ. Ταῦτα ἐποίησαν ἡμῖν οἱ κατὰ ἀντίφρασιν ἀδελφοὶ καὶ φίλοι Φράτορες.

Οἱ δὲ Ἀρμένιοι μετὰ τὴν τῶν ἀποστατῶν ἀπώλειαν καὶ φθορὰν ἐν Ἱερουσαλήμ, ὡς σελίδι 440 εἴρηται, ἰδόντες ὅτι οὐδὲν τῶν ἐν Ἱερουσαλὴμ αὐτοῖς ραδιουργηθέντων ὠφέλησεν, ἐπεχείρησαν αὖθις εἰς Βασιλεύουσαν κατορθῶσαί τι τῶν σκοπουμένων. Χορτάσαντες οὖν τοὺς ἐν τοῖς βασιλείοις καὶ τοὺς περὶ τὴν βασιλείαν, ἔδωκαν καὶ τρίτην ἀναφορὰν εἰς τὸν σουλτὰν Μαχμοὺτ καθ' ἡμῶν, λέγοντες ὅτι προφάσει τῆς τοῦ ναοῦ ἐπισκευῆς ἡρπάσαμεν τοὺς τόπους αὐτῶν τε καὶ τῶν αὐτῶν ὁπαδῶν Κόπτων τε καὶ Συριάνων, καὶ ὅτι παρακαλοῦσι θερμῶς τὸ κράτος δοθῆναι αὐτοῖς ἐξουσίαν ὅπως κτίσωσι καὶ ἐπισκευάσωσι τοὺς ἐν τῷ ναῷ τόπους αὐτῶν. Μηδεμιᾶς δὲ ἀποκρίσεως ἀξιωθέντες παρὰ τοῦ κράτους, καὶ τετάρτην ἀναφορὰν ἔδωκαν τῇ ζ' ἀπριλίου μηνὸς 1810· ὁ δὲ σουλτὰν βαρυνθεὶς καὶ ἔτι δὲ ὑπὸ τῶν ἐν τῇ βασιλικῇ αὐλῇ ἰσχυόντων παρακινούμενος προσέταξε πάλιν θεωρηθῆναι τὴν κρίσιν αὐτῶν ὑπὸ τῶν αὐλικῶν. Ἦσαν δὲ ὑπὲρ τοὺς 20, ὧν οἱ πρώτιστοι ἦσαν πρῶτος ὁ Ῥούμελη-καζασκέρ, δεύτερος ὁ πρώην Ῥούμελη-καζασκέρ, τρίτος ὁ πρώην Ἀνατὸλ-καζασκέρ, τέταρτος

ὁ Κωνσταντινουπόλεως νακκίπης, πέμπτος ὁ βετβὰ-ἐμίνης, ἕκτος ὁ σεραετατζῆς, ἕβδομος ὁ καϊμακάμ, ὄγδοος ὁ ρεΐζ-ἐφένδης, ἔνατος ὁ ζαρπχανὲ-ἐμίνης, δέκατος ὁ τζαούσμπασης, ἑνδέκατος ὁ μπεϊλικτζῆς, δωδέκατος ὁ ἀμετζῆς καὶ πρὸς τούτοις τινὲς κεσερδάριδες τῶν καλεμίων. Παρεστάθησαν δὲ εἰς τὴν κρίσιν ἐκ μὲν τῶν ἡμετέρων δώδεκα, οἱ μὲν ἐκ τῆς Μεγάλης Ἐκκλησίας, οἱ δὲ ἐκ τῶν Ἁγιοταφιτῶν· ἐκ δὲ τῶν Ἀρμενίων δέκα, οἵτινες ἀρξαμένης τῆς χρισολογίας ἔφερον καὶ ἐδείκνυον τὸ ψευδεπίπλαστον ἐκεῖνο χάτι (περὶ οὗ εἴρηται σελὶδι 426) τοῦ ἀλωτοῦ τῆς Ἱερουσαλὴμ σουλτὰν Σελήμ, καὶ διὰ τούτου ἠγωνίζοντο ἀποδεῖξαι, ὅτι ἀνέκαθεν ἔχουσι τόπους ἰδίους καὶ προσκυνήματα ἐν Ἱερουσαλήμ. Τέσσαρες συνελεύσεις ἐγένοντο τότε καὶ ἡ χρισολογία διήρκεσεν ἕως τῆς κε' ἀπριλίου καὶ οἱ κριταὶ ὅλαις δυνάμεσιν ἐβοήθουν τοῖς Ἀρμενίοις, βεβαιώσαντες καὶ τὸ ρηθὲν ψευδεπίπλαστον χάτι ὅτι ἐστὶ γνήσιον, καίτοι τῶν ἡμετέρων τρανῶς ἀποδεικνυόντων τὸ ψεῦδος τῶν Ἀρμενίων. Ὅμως οἱ ρηθέντες κριταὶ συσκεψάμενοι εἰς ἑαυτούς, ἀφῆκαν τὴν κρίσιν καὶ ἀπόφασιν περὶ τῶν τοιούτων τότε καὶ [ἐν] 11 μηνῶν διαστήματι οὐδὲ φωνὴ οὐδὲ ἀκρόασις ὅλως ἦν περὶ τῶν τοιούτων εἰς τὸ φανερόν· ἐν τῷ κρυπτῷ ὅμως οἱ καλοὶ Ἀρμένιοι εὑρόντες καιρὸν ἐπιτήδειον διὰ τοὺς τότε πολέμους τῶν Ῥώσσων, ὠδίνησαν τὴν κακίαν καὶ ἔδακον τὴν ἐπιβουλὴν καθ' ἡμῶν· διότι τῇ κε' φεβρουαρίου αωια' (1811) ἐξῆλθε προσταγὴ τοῦ σουλτάνου, ἵνα καὶ αὖθις ἡ κρίσις τῶν Ἀρμενίων θεωρηθῇ. Γενομένων δὲ πάλιν τριῶν συνελεύσεων τότε, κατελείφθη καὶ αὖθις ἡ ὑπόθεσις εἰς σιωπήν· ἀλλ' ἐν τῷ κρυπτῷ ὠργάνιζον ἄλλα καὶ ἄλλα, ὡς ρηθήσεται.

Ἐν δὲ ταύταις ταῖς ἡμέραις οἱ ἐν Κωνταντινουπόλει τῶν Φράγκων προστάται ἔδωκαν εἰς τὸ κράτος ἀναφορὰν ὅτι οἱ Ῥωμαῖοι ἀνακαινίζοντες τὸν ναὸν ἥρπασαν τοὺς τόπους αὐτῶν μεταθέντες τὰ ὅρια, καὶ ὅτι τὸ ἱερὸν Κουβούκλιον ἀπ' ἀρχῆς εἰς τὴν ἐκείνων ἐξουσίαν αὐτοὶ ᾠκειοποιήσαντο καὶ λειτουργοῦσιν ἄνευ ἀδείας βασιλικῆς, καὶ ἄλλα πολλά. Ὅθεν χωρίς τινος ἐξετάσεως ἢ κρίσεως ἡ Πόρτα ἔδωκεν αὐτοῖς ὁρισμόν, ὅπως ὡς πρὸ τοῦ ἐμπρη-

σμοῦ καὶ τῆς ἀνοικοδομῆς ἦσαν τὰ πράγματα, οὕτω πάλιν καταστα-
θῶσι· καὶ ἐὰν οἱ Ῥωμαῖοι ἀφεῖλον οἰκειοποιησάμενοί τι τῶν
Φράγκων, ἐπιστρέψωσι τοῦτο αὐτοῖς, καὶ ἄλλα πολλά. Τοῦτον τὸν
ὁρισμὸν λαβόντες οἱ Φράτορες ἀπήγαγον πρῶτον πρὸς τὸν Σουλεϊ-
μὰν-πασᾶν εἰς Πτολεμαΐδα· ὁ δὲ παρωργισμένος ὧν καθ' ἡμῶν
(ἐζήτησε γὰρ ἑκατὸν πεντήκοντα χιλιάδας γρόσια παρ' ἡμῶν λόγῳ
δανείου καὶ οὐκ ἐδώκαμεν, μὴ ἔχοντες οὐδὲ τρεῖς χιλιάδας) ἔδω-
κεν αὐτοῖς ἴδιον ὁρισμὸν πρὸς τὸν αὐτοῦ μουσελήμ, προστάζοντα
ἵνα πᾶν ὅ τι οἱ Φράγκοι θέλουσι τελειώσῃ αὐτοῖς, αὐθεντικῇ ἐξου-
σίᾳ χρώμενος. Ἐλθόντες δὲ οἱ Φράγκοι ἐν Ἱερουσαλὴμ ἀνέ-
γνωσαν αὐτόν τε καὶ τὸν βασιλικὸν πρῶτον ὡς ἔθος εἰς τὸν Μεχ-
κεμέν· εἶτα τῇ ἐπαύριον (ἦν δὲ ἡ κζ' μαΐου ,αωια') προσκληθέν-
των τῶν προυχόντων ἐν τῷ ναῷ τῆς Ἀναστάσεως καὶ ἡμῶν καὶ
τῶν Ἀρμενίων, ἀνεγνώσθησαν ὅ τε βασιλικὸς καὶ τοῦ πασᾶ· ἐρω-
τησάντων δὲ ἡμῶν τοὺς Φράτορας πότε καὶ ποῦ καὶ πῶς ἠδικήσα-
μεν αὐτοὺς καὶ ἐκαινοτομήσαμεν, ὁ μουσελὴμ ἐγερθεὶς τοῦ ἐφ'
οὗ ἐκαθέζετο τόπου, εἶπεν ἡμῖν· " Ὦ οὗτοι, νῦν καιρὸς κρισολο-
γίας καὶ ἐξετάσεων οὐκ ἔστι· τὸν βασιλικὸν ὁρισμὸν πληρωθῆναι
δεῖ καὶ οὐκ ἄλλο". Τότε πρὸς τοὺς Φράτορας ἀτενίσας εἶπεν·
" Ὦ φίλοι, εἴπατε τί θέλετε γενέσθαι καὶ ποιήσω ὑμῖν"· οἳ δὲ
εἶπον· " Ἡμεῖς οἴδαμεν τί ποιήσομεν· μόνον οἱ Ῥωμαῖοι μὴ κω-
λύσωσιν ἡμᾶς αὐθάδεις τε ὄντες καὶ ἀποστάται"· ὃ δὲ εἶπεν·
" Ἔχετε ἐξουσίαν ποιῆσαι, ὃ θέλετε". Τότε δὴ τότε οἱ βέλτιστοι
Φράτορες ὥρμησαν ὡς οἱ κόρακες ἢ κύνες ἐπὶ τὸ πτῶμα, καὶ
πρῶτον μὲν κατεβίβασαν τὰς περὶ τὸν μικρὸν κουμπὲ τοῦ ἁγίου Κου-
βουκλίου κανδήλας ἡμῶν καὶ ἔρριψαν ταύτας καταφρονητικῶς ἔνδον
τοῦ Καθολικοῦ, δεύτερον δὲ κόψαντες διὰ πρίονος τὸν ξύλινον σταυ-
ρόν, ὃς ἦν ἐπὶ τοῦ αὐτοῦ μεγάλου τουρλέου τοῦ ἁγίου Κουβουκλίου,
ἔρριψαν κάτω ὡς τι κάθαρμα καὶ κατεσύντριψαν· τρίτον τοὺς
ἐπὶ τοῦ ἁγίου Κουβουκλίου κύκλῳ ἐπὶ τὰ πτερύγια ἐκ μο-
λύβδου ἀετοὺς καὶ ἐξ ὀρειχάλκου σταυροὺς καὶ κηροπήγια ἡμῶν
κατασυντρίψαντες ἔβαλον ἀντ' αὐτῶν φιόρια· τέταρτον, ἠθέλησαν
τὰς ἐπὶ τῶν μαρμάρων κεκολλαμμένας εἰκόνας ἡμῶν καὶ τὰ

γράμματα ταῖς σμίλαις συντρῖψαι καὶ ἀφανίσαι· ἀλλ' ἐπειδὴ εἰς τοῦτο ὑπὸ τοῦ μουσελὴμ ἐκωλύθησαν, ἐσκέπασαν ταῦτα διὰ παραπετασμάτων ἔξωθεν τε καὶ ἔσωθεν, ὅπου εὑρέθησαν· πέμπτον· ὅσα κηροπήγια εἴχομεν ἐπὶ τοῦ Ἁγίου Τάφου καὶ τὰς ἐπὶ τοῦ Ἁγίου Λίθου κανδήλας ἐκεῖθεν ἅραντες ἔρριψαν εἰς τὸ Καθολικὸν καὶ ἑνὶ λόγῳ οὐδὲν σημεῖον ἑλληνικὸν ἀφῆκαν φαίνεσθαι ἔσωθέν τε καὶ ἔξωθεν τοῦ ἁγίου Κουβουκλίου, εἰ μὴ τὰς πέτρας· ἀλλὰ καὶ αὗται ἔκραζον ὅτι εἰσὶ τῶν Ῥωμαίων. Ἕκτον· τὸν ἐπὶ τριακοσίοις καὶ ἐπέκεινα χρόνοις φύλακα ὀρθόδοξον τοῦ Παναγίου Τάφου ἐκβαλόντες ἔβαλον ἴδιον κατόλικον. Ἕβδομον τὸ ἐκ κηροζυτίνης διὰ τὴν βροχὴν πεπασμένον καταπέτασμα ἡμῶν ἐξεκρέμασαν καὶ ἴδιον ἐκρέμασαν. Ὄγδοον· ἠθέλησαν ἀφ' ἡμῶν λαβεῖν τὰς κλεῖς τῶν θυρῶν τῆς μεγάλης τρούλλης· μὴ δόντων δὲ ἡμῶν ἐκώλυσαν ἡμᾶς τοῦ ἀνοίγειν ὅλως ἐκεῖ καὶ εἰσέρχεσθαι. Ἔνατον· τὸ Τρικάμαρον τὸ ἐπὶ τὴν δυτικὴν πύλην τοῦ Καθολικοῦ ἐκυρίευσαν ὅλως, ῥίψαντες ἐκεῖθεν τὰ ἡμέτερα πάντα, βαλόντες δὲ τὰς ἑαυτῶν κανδήλας κηροπήγια κτλ. Δέκατον· μίαν καμάραν, τὴν ἐπὶ τῆς ὁδοῦ, ἥτις ὑπάγει εἰς τὴν στέρναν, ἐκυρίευσαν καὶ ἔθεντο ἐκεῖ τὰ ἑαυτῶν ὄργανα τοσοῦτον μεγάλα, ὥστε ἐκείνων κρουομένων ἡμεῖς οὐδὲ ἀκολουθίαν οὐδὲ λειτουργίαν ἐδυνάμεθα ἀκοῦσαι ὅλως. Ἑνδέκατον· τὴν πρὸς δύσιν σκάλαν τοῦ Γολγοθᾶ ἐκυρίευσαν καὶ καταβιβάσαντες τὴν ἐπ' αὐτῆς κανδήλαν ἀπῆρησαν ἰδίαν. Δωδέκατον· εἰς τὸ ἱερὸν σπήλαιον τῆς Εὑρέσεως τοῦ τιμίου Σταυροῦ ὅσα εἴχομεν, κανδήλας εἰκόνας κηροπήγια καὶ πλάκας λευκὰς πορφυρᾶς, ἐκβαλόντες ἔβαλον ἴδια, μηδὲν σημεῖον ἡμῶν ἀφέντες ἐκεῖ· ἐκώλυσαν δὲ ἡμᾶς τοῦ σαροῦν ἐκεῖ καὶ σπογγίζειν ἄχρι τοῦδε.

Ταῦτα καὶ πλείονα κακὰ ἐποίησαν ἡμῖν οἱ γεννάδαι οὗτοι, ἅπερ διὰ τὸ σύντομον ἐῶ γράφειν· ἀλλὰ μετὰ ταῦτα τοῖς προκρίτοις τῶν Ἱεροσολυμιτῶν καὶ τῷ μουλλᾷ τὰ δεινὰ ταῦτα δεινοπαθῶς παραστήσαντες καὶ ἐλεεινολογούμενοι κατεπείσαμεν αὐτοὺς γράψαι καὶ ἐπιβεβαιῶσαι τὴν ἣν ἐγράψαμεν πρὸς τὸν πασᾶν ἀναφοράν, προσκλαιόμενοι ὅτι οἱ Φράγκοι ὑπὲρ τὸν αὐτοῦ ὁρισμὸν καὶ τὸν βασιλικὸν ποιήσαντες ἠδίκησαν ἡμᾶς εἰς τὰ καίρια. Θείῳ δὲ ἐλέει

τὴν ἀναφορὰν ἐκείνην λαβὼν ὁ πασᾶς ἐκινήθη εἰς οἶκτον καὶ ἔγραψε τοῖς Φράγκοις παραγγέλλων, ὅπως κατὰ τὸ ἀρχαῖον ἔθος ἐάσωσι τοὺς Ῥωμαίους ἅπτειν κανδήλας ἐν τῷ Ἁγίῳ Λίθῳ καὶ ἱστάναι Ῥωμαῖον φύλακα ἔνδον τοῦ Ζωοδόχου Τάφου, καὶ πρὸς τούτοις τὸ ὃ ἐκυρίευσαν Τρικάμαρον ἐν τῷ Καθολικῷ ἀδίκως ἐπιστρέψωσι τοῖς Ῥωμαίοις· ἔγραφε δὲ καὶ διὰ τὰ αὐτῶν ὄργανα, ὅπως μετριάσωσι τὰς φωνὰς αὐτῶν, ὡς ἦσαν τὸ πρότερον. Ταῦτα μὲν ἔγραφεν αὐτοῖς ὁ πασᾶς, ἐκεῖνοι δὲ οὐδόλως ὑπήκουσαν· πάλιν δὲ ἡμεῖς ἑτέραν ἀναφορὰν ποιήσαντες ἐστείλαμεν διά τινος τῶν ἀδελφῶν τῷ πασᾷ εἰς Δαμασκὸν διατρίβοντι· ὃ δὲ ἔδωκεν ὁρισμὸν ἄλλον, ὡς καὶ τὸν πρότερον, ὃν, κομίσαντος ἡμῖν τοῦ ἀδελφοῦ ἐν Ἱερουσαλὴμ, ἀνεγνώσαμεν ἐπὶ τοῦ μουλλᾶ καὶ μουσελὴμ καὶ τῶν λοιπῶν, παρόντων καὶ αὐτῶν τῶν Φράγκων. Ἀλλ' ὁ μουσελὴμ φίλος ὢν αὐτοῖς, ἔτι δὲ καὶ τότε δωροδοκηθεὶς οὐδὲν ἄλλο ἐποίησεν, εἰ μὴ ἐκβαλεῖν τὸν Λατῖνον φύλακα ἐκ τοῦ Ἁγίου Τάφου καὶ βαλεῖν τὸν ἡμέτερον· ἐκρεμάσαμεν καὶ τὰς κανδήλας ἐν τῷ Ἁγίῳ Λίθῳ τῇ ις' ὀκτωβρίου τοῦ ,αωια' (1811)· θέλοντες δὲ καὶ τρίτην ἀναφορὰν γράψαι ἐνεποδίσθημεν, ἐπειδὴ ὁ πασᾶς ἀπῆλθεν ὡς ἔθος εἰς τὸ Χάτζη, ἤτοι τὴν Μεδινέν, μετὰ τῶν προσκυνητῶν τῆς Μέκκας. Ἐπανακάμψαντι δὲ ἀπεστείλαμεν αὐτῷ καὶ τρίτην ἀναφορὰν μετὰ καὶ δώρων καὶ χρυσίου· ὃ δὲ ἔγραψεν ἀπειλητικὸν τοῖς Φράγκοις, ἵνα παραχωρήσωσι τὸ Τρικάμαρον τοῖς Ῥωμαίοις καὶ μετριάσωσι τὴν φωνὴν τῶν ὀργάνων. Ἐκεῖνοι δὲ εἰς οὐδὲν ὅλως τὴν προσταγὴν ἐλογίσαντο. Ὅθεν στέλλει ἴδιον αὐτοῦ ἄνθρωπον καὶ τῇ Κυριακῇ τῆς Ὀρθοδοξίας μαρτίου τῷ ,αωιβ' (1812) κατεβίβασεν ἀπὸ τοῦ Τρικαμάρου τὰς κανδήλας αὐτῶν κτλ. καὶ παρέδωκε τοῦτο ἡμῖν· ἐκ δὲ τούτου κατηργήθη καὶ ἡ τῶν ὀργάνων πολυφωνία, ἀφαιρεσάντων τὰς μεγάλας καὶ βροντώδεις σύριγγας τῶν Φρατόρων θελόντων καὶ μή. Τούτων γενομένων ἔπαυσεν ἐξῆς ἡ μεταξὺ αὐτῶν καὶ τοῦ πασᾶ στενὴ φιλία· ὅθεν καὶ μετὰ τὸ πάσχα ἔδωκεν ἡμῖν ἐξουσίαν, ὅπως ἐκβαλόντες ἀπὸ τοῦ σπηλαίου τῆς Εὑρέσεως τοῦ Σταυροῦ τὴν πλάκα τῶν Φράγκων, βάλωμεν ἄλλην, ὡς πρότερον. Ἀλλ' ὅτε ἐβάλαμεν εἰς τὸν ἴδιον

τόπον τὴν ἡμετέραν, ἰδοὺ οἱ ἐν τῷ ναῷ οἰκοῦντες Φράτορες ἔφθασαν ἐκεῖ μετὰ ξύλων καὶ ροπάλων καὶ ἤρξαντο τύπτειν τοὺς τεχνίτας καὶ ἐργάτας, εἶτα δὲ καὶ τοὺς παρισταμένους ἀδελφούς, ἐξ ὧν ἑνὸς ἔσχισαν τὴν κεφαλήν. Τότε οἱ ἡμέτεροι πλείονες ὄντες τῶν Φρατόρων, ἁρπάσαντες ἀπ' αὐτῶν τὰ ξύλα καὶ ρόπαλα, ἐφιλοδωρήσαντο αὐτοὺς δι' αὐτῶν· οἳ δὲ ἔδραμον εἰς τὸν Μεχκεμὲ προσκλαιόμενοι, ἀλλ' ἀπεδείχθησαν μάταιοι· οἱ γὰρ ἡμέτεροι ἔδειξαν τὴν σχισθεῖσαν κεφαλὴν καὶ τὰ ρόπαλα.

Διὰ τούτων οὖν τῶν πρὸς ἡμᾶς δεινῶν οἱ βέλτιστοι οὗτοι ἐζημίωσαν εἰς ἕνα χρόνον μόνον τὸ κατάχρεω (διὰ τὴν προλαβοῦσαν πτῶσιν τοῦ ναοῦ καὶ ἀνοικοδομήν) Κοινὸν τοῦ Ἁγίου Τάφου ὑπὲρ τὰς ἑκατὸν χιλιάδας γρόσια. Ἀλλὰ μόλις ἐφάνη ὅτι ἡσύχασαν οὗτοι καὶ ἰδοὺ οἱ καλοὶ Ἀρμένιοι ἄλλην πληγὴν ἡμῖν καιρίαν ἐπέφερον· τῷ γὰρ ,αωια' (1811), τῇ θ' μαρτίου, τοῦ ῥηθέντος Ναπολέοντος Βονοπάρτου κυρώξαντος τὸν περιβόητον ἐκεῖνον πόλεμον κατὰ τῆς Ῥωσσίας, καὶ διὰ τοῦτο ἀναγκασθείσης αὐτῆς κλεῖσαι τὴν εἰρήνην μετὰ τῆς Τουρκίας, οἱ παρὰ τῇ Ὑψηλῇ Πόρτα σαράφιδες Ἀρμένιοι εὑρόντες καιρὸν συκοφαντοῦσιν ὡς ἐπιβούλους οἱ δόλιοι τῆς βασιλείας, φίλους δὲ τῆς Ῥωσσίας, τοὺς ἀειμνήστους ἐκείνους αὐταδέλφους Δημήτριον καὶ Παναγιωτάκην μπεϊζαδέδες, πιστοὺς μὲν τῆς Πόρτας, πιστοτάτους δὲ κατὰ τὴν εὐσέβειαν καὶ διὰ τοῦτο ὑπερασπιστὰς ἐνθέρμους τῶν δικαιωμάτων τῶν ὀρθοδόξων καὶ ἐπομένως τοῦ Παναγίου Τάφου. Καὶ τούτους μὲν καρατομηθῆναι ἐνήργησαν, τὸν μὲν εἰς τὸ ἐν Σούμλῃ στρατόπεδον, τὸν δὲ ἐν τῇ Βασιλευούσῃ· τὴν δὲ Ὑψηλὴν Πόρταν κατὰ τοῦ γένους ὅλου τῶν ὀρθοδόξων ψυχρανθῆναι καὶ μῖσος λαβεῖν κατέστησαν, εἶτα δὲ τοὺς τῆς αὐλῆς διὰ τοῦ χρυσίου πρὸς ἑαυτοὺς ἑλκύσαντες ἴσχυσαν οἱ ἐπάρατοι λαβεῖν ὁρισμὸν δι' αὐτογράφου βασιλικοῦ τῇ ις' Ἰανουαρίου ,αωιβ', διαλαμβάνοντα τὰ ἑξῆς· πρῶτον ὅπως ὁ εἰς τοὺς Ῥωμαίους προεκδοθεὶς βασιλικὸς ὁρισμὸς ληφθῇ ἐκ τῶν χειρῶν αὐτῶν καὶ ἐπιστραφῇ τῇ βασιλείᾳ ὡς ἄκυρος· δεύτερον, ὅπως οἱ Ἀρμένιοι ἐκπληρώσωσιν εἰς τοὺς Ῥωμαίους τὴν ἐκτίμησιν τῶν ὅσων οἱ Ῥωμαῖοι αὐτοὶ τόπων αὐτοῖς ἀνεκαίνισαν

καὶ ἀνωκοδόμησαν τρίτον, ὅπως οἱ Κόπται Σύροι καὶ Χαμπέσιοι ἐρωτηθῶσιν ἐπὶ κριτηρίου ἐν Ἱερουσαλὴμ εἰς τίνας θέλουσιν εἶναι γιαμάκια, δηλαδὴ ὑποταττόμενοι, εἰς τοὺς Ῥωμαίους ἢ εἰς τοὺς Ἀρμενίους, καὶ ὡς ὁμολογήσουσι, οὕτω καὶ ἔσονται· καὶ τέταρτον ὅπως πάντα τὰ προσκυνήματα ἔσονται ἐξῆς κοινὰ Ῥωμαίοις τε καὶ Ἀρμενίοις. Τοιοῦτον ὁρισμὸν λαβόντες, ὡς ἤθελον οὗτοι, ἦλθον εἰς Ἱερουσαλὴμ φέροντες μεθ' ἑαυτῶν καὶ τρεῖς μουμπασίριδες τῆς Ὑψηλῆς Πόρτας, δηλαδὴ ἕνα μουβελᾶν, ἕνα χοτζακιάνην καὶ ἕνα μεϊμὰρ-καλφασί, ὅπως ἐκτιμήσῃ τὰς παρ' ἡμῶν εἰς τοὺς τόπους αὐτῶν οἰκοδομὰς καὶ ἐπισκευάς. Συνελεύσεως οὖν γενομένης ἐν τῷ ἐν Ἱερουσαλὴμ κριτηρίῳ τῶν προκρίτων καὶ αὐτῶν δὴ τῶν ῥηθέντων μουμπασίριδων, ἐκλήθημεν καὶ ἡμεῖς· ἀναγνωσθέντος δὲ τοῦ βασιλικοῦ ὁρισμοῦ, εἶπεν ὁ μουλλᾶς· " Ἕπεται τοῦ λοιποῦ, κατὰ τὴν ἔννοιαν τοῦ ὁρισμοῦ, ἔχειν ἑκάτερα τὰ γένη κοινὰ τὰ προσκυνήματα". Οἱ δὲ Ἀρμένιοι εἶπον· " Θέλομεν, ὦ ἀφένδηδες, ἵνα δοθῇ ἡμῖν τόπος καὶ κλεὶς ἐν τῷ ναῷ τῆς Βηθλεέμ, ὅπως εἰσερχόμενοι ἐκτελῶμεν τὰ τῆς θρησκείας ἡμῶν ἔθιμα". Ἐρωτήσας δὲ ὁ μουλλᾶς ἡμᾶς καὶ μαθὼν ὅτι οὐδέποτε οἱ Ἀρμένιοι ἔσχον κλεῖδα τοῦ ἐν Βηθλεὲμ ναοῦ, εἶπε τοῖς Ἀρμενίοις· " Περὶ τοῦ τοιούτου ζητήματος ἀνάγκη σκέψεως μεγάλης, ἐπὶ τοῦ παρόντος δὲ ἐλθέτωσαν τὰ γιαμάκια, ὅπως ἐρωτηθῶσιν εἰς τίνα στέργουσιν εἶναι ὑποκείμενα". Ἦλθον οὖν οἱ Κόπται οἱ Χαμπέσιοι καὶ οἱ Σύροι, καὶ ἐρωτηθέντες εἶπον, ὅτι εἰς τοὺς Ἀρμενίους. Εἶπεν οὖν αὐτοῖς ὁ μουλλᾶς· " Ἔστὲ τοίνυν τοῦ λοιποῦ τοῖς Ἀρμενίοις ὑποκείμενοι καὶ γιαμάκια". Ἔπειτα ἐλθόντες ὅλοι εἰς τὸν ναὸν καὶ περιεργασθέντες τοὺς τόπους τῶν Ἀρμενίων ἐποιήσαντο τὴν ἐκείνων ἐκτίμησιν διὰ τοῦ μεϊμὰρ-καλφασί, συμποσουμένην εἰς γρόσια τουρκικά, ἄνευ τῶν ἐργατικῶν ἡμερομισθίων, χιλιάδας τριάκοντα τέσσαρας καὶ πεντακόσια εἰκοσιεννέα, ἐνὼ ἦσαν εἰς ταῦτα ὑπὲρ τὰς ἑκατὸν χιλιάδας παρ' ἡμῶν δαπανημένα μόνον εἰς πέτρας καὶ ἄσβεστον σίδηρον καὶ μόλυβδον, χωρὶς τῶν δαπανηθέντων ὅπως ἐκβληθῶσι τόσοι λόφοι χωμάτων ἔξω τῆς Ἱερουσαλήμ· τὴν δὲ ῥηθεῖσαν ποσότητα τῆς ἐκτιμήσεως

ἠθέλησαν οἱ Ἀρμένιοι δοῦναι ἡμῖν ἐπὶ τῆς κρίσεως, ἵνα λογισθῶσι καταγραφόμενοι εἰς τοὺς κώδικας τοῦ Κριτηρίου, ὅτι εἰσὶ κτήτορες τῶν ἑαυτῶν τόπων. Ἀλλ' ἡμεῖς οὐκ ἐδεξάμεθα οὐδ' ὀβολόν, εἰπόντες ὅτι ὁ πατριάρχης καὶ οἱ πληρεξούσιοι τοῦ γένους ἡμῶν εἰσιν εἰς τὴν Κωνσταντινούπολιν καὶ ἐκεῖ χρὴ δοῦναι τὴν ποσότητα ταύτην. Οἱ μὲν οὖν Ἀρμένιοι κρυφίως τῷ τότε μουλλᾷ, Μουσανίφ-ἐφένδῃ λεγομένῳ, ὑπέσχοντο 100,000 γρόσια, ὅπως δώσῃ αὐτοῖς κλεῖδα εἰς τὸν ναὸν τῆς Βηθλεέμ· ἀλλ' αὐτὸς φιλοδίκαιος ὢν οὐκ ἠθέλησεν.

Ὅθεν οὗτοι πρὸς ἄλλην ἐτράπησαν. Γράφουσιν ἀναφορὰν ἐκ μέρους τῶν ῥηθέντων μουμπασίριδων, ὅτι εἰς τὸν ὑπέρτατον ὁρισμὸν τῆς κραταιᾶς βασιλείας πάντες μὲν ὑπετάγησαν, μόνος δὲ ὁ μουλλᾶς ὑπὸ τῶν Ῥωμαίων πολὺ χρυσίον λαβὼν βοηθεῖ αὐτοῖς καὶ οὐ θέλει δοῦναι κλεῖδα τοῖς Ἀρμενίοις εἰς τε τὴν Βηθλεὲμ καὶ Γεθσημανήν. Εἰς ταύτην τὴν ἀναφορὰν διὰ δόσεως πολλῶν χρημάτων ἔβαλον καὶ ὑπέγραψάν τινες τῶν προυχόντων τῆς Ἱερουσαλήμ, καὶ ταύτην διὰ ταχυδρόμων ἀπέστειλαν πρὸς τοὺς οἰκείους εἰς τὴν Κωσταντινούπολιν· οἱ δὲ ταύτην λαβόντες καὶ προσέτι ἄλλην ἰδίαν γράψαντες ἔδωκαν εἰς τὸ κράτος. Τότε δὴ τότε ἐξῆλθεν ἄλλος ἀπότομος ὁρισμὸς ἐπιτάττων σφοδρῶς, ὅπως ὁ μὲν φιλοδίκαιος ἐκεῖνος μουλλᾶς ἐξορισθῇ εἰς τὴν Κύπρον, οἱ δὲ Ῥωμαῖοι δώσωσιν ἀφεύκτως ἓν κλειδίον τῆς ἐν Βηθλεὲμ πρὸς ἄρκτον θύρας, τὰ δὲ προσκυνήματα ἔσω καὶ ἔξω τῆς Ἱερουσαλὴμ διαμένωσιν ἐξῆς κοινὰ αὐτοῖς τε καὶ τοῖς Ἀρμενίοις. Τὸν τοιοῦτον ὁρισμὸν πάλιν διὰ τῶν ἰδίων ταχυδρόμων εἰς Ἱερουσαλὴμ λαβόντων τῶν Ἀρμενίων καὶ ἅμα συνελεύσεως γενομένης, ὁ μὲν μουλλᾶς ἐκεῖνος ὑπερόριος εἰς τὴν Κύπρον ἐγένετο, οἱ δὲ Ἀρμένιοι μέτοχοι καὶ συμμερισταὶ ἐπίσης μεθ' ἡμῶν εἰς τὸν θεῖον ναὸν τῆς ἁγίας Γοθσημανῆς, κρεμάσαντες κανδήλας εἰκόνας ποδιὰς κτλ., ὅσας ἡμεῖς εἴχομεν, καὶ λειτουργεῖν ἄδειαν λαβόντες ἐπὶ τοῦ θεομητορικοῦ μνήματος καθ' ἑκάστην, καθὼς καὶ ἡμεῖς, ἔχοντες καὶ αὐτοὶ κλεῖδα ἀνοίγειν καὶ κλείειν καὶ δεσπόται γενόμενοι καὶ κύριοι ἐξίσου τοῖς Ῥωμαίοις· ἐδόθη δὲ αὐτοῖς καὶ κλειδίον ἔτι τῆς

βορείου θύρας τοῦ ἐν Βηθλεὲμ ναοῦ καὶ ὅλος ὁ ἀριστερὸς χορὸς αὐτοῦ τοῦ ναοῦ, οὗ τὸ ἥμισυ ἐζήτουν οἱ βέλτιστοι ἀπὸ ἄνωθεν ἕως κάτω, κοινὸν λέγοντες εἶναι ὅλον τὸν ναὸν καὶ χρὴ γενέσθαι ὡς τὸν τῆς Γεθσημανῆς· ἀπεφύγομεν δὲ τοῦτο, δαπανήσαντες οὐκ ὀλίγα καὶ εἰπόντες ὅτι τὸ βασιλικὸν χάτι διαλαμβάνει περὶ τοῦ προσκυνήματος τῆς γεννήσεως τοῦ Κυρίου καὶ οὐχὶ τοῦ μεγάλου ναοῦ. Ὅθεν τὸ Ἅγιον Σπήλαιον ἐγένετο κοινὸν καὶ ἐκρέμασαν αὐτόθι οἱ Ἀρμένιοι κανδήλας καὶ εἰκόνας, ὅσας καὶ ἡμεῖς, καὶ σαροῦσι καὶ πλύνουσι καὶ καθ' ἑκάστην μετὰ τὴν λειτουργίαν ἡμῶν λειτουργοῦσι καὶ αὐτοί· κατεσκεύασαν δὲ καὶ τράπεζαν εἰς τὸν ῥηθέντα ἀριστερὸν χορὸν τοῦ μεγάλου ναοῦ, ὅπου καὶ τὰς ἀκολουθίας αὐτῶν ψάλλουσιν, ἑσπερινὸν ὄρθρον καὶ τὴν μεγάλην λειτουργίαν, καθάπερ ποιοῦμεν καὶ ἡμεῖς εἰς τὸ ἐκεῖ ἱερὸν Καθολικόν, δηλαδὴ τὸ μέσον τοῦ ναοῦ. Ἐπειδὴ δὲ ταὐτοχρόνως ἔψαλλον κἀκεῖνοι σὺν ἡμῖν καὶ ὡς ἔθος αὐτοῖς βοαῖς ἀτάκτοις ἐχρῶντο καὶ οὐκ εἴων ἡμᾶς ἀκούειν ὅλως τὴν ἀκολουθίαν, διὰ τοῦτο τῷ ,αωιγ' (1813) κρισολογηθέντες ἐνώπιον τοῦ πασᾶ περὶ τούτου, διετάχθη ὅπως τελειωσάντων ἡμῶν τότε ἄρχωνται ἐκεῖνοι· ἐφ' ᾧ καὶ ὁρισμὸν ἔγγραφον τοῦ πασᾶ ἐλάβομεν. Ταῦτα καὶ τοιαῦτα ἐποίησαν ἡμῖν οἱ Ἀρμένιοι τότε· ἀλλ' οὐκ ἐν τούτοις ἠρκέσθησαν ὕστερον, ὡς ῥηθήσεται.

Τῷ δὲ ,αωιε' (1815) οἱ Φράγκοι πάλιν πρὸς τοῖς ἄλλοις, δι' ὧν ἤρξαντο ἐνοχλεῖν ἡμᾶς, ἠύξησαν τὴν φωνὴν τῶν ὀργάνων αὐτῶν, προσθέντες 49 σύριγγας· ὥστε πάλιν οὐδόλως ἀκολουθίαν ἠκούομεν. Παρακαλέσαντες δὲ πολλάκις αὐτοὺς περὶ τούτου ὡς ἀδελφούς, οὐκ εἰσηκούσθημεν· ὅθεν ἠναγκάσθημεν ἀγωγὴν ποιῆσαι πρὸς τοὺς ἐν Ἱερουσαλὴμ κριτάς τε καὶ ἐξουσιαστάς· ἀλλ' οὐδ' αὐτοὶ ὑπήκουσαν οἱ βέλτιστοι. Τότε ἐγράψαμεν ἀναφορὰν τῷ πασᾷ, ὃ δὲ γράφει αὐτοῖς ὅπως τὴν φωνὴν τῶν ὀργάνων μετριάσωσι, παύσωνται δὲ τοῦ λοιποῦ ἐνοχλοῦντες ἡμᾶς· ἀλλ' οὐδὲ τότε οἱ γεννάδαι ὑπήκουσαν, λέγοντες ὅτι βασιλικοὶ ὄντες ἄνθρωποι οὐκ ἔχουσι χρέος ὑποτάσσεσθαι εἰς κριτὰς καὶ πασάδες. Ἰδόντες οὖν ἡμεῖς τὸ τούτων ἀγέρωχον ἐγράψαμεν καὶ αὖθις τῷ πασᾷ· ὃ δὲ

καὶ δεύτερον ὁρισμὸν ἀπέστειλεν ἐντονώτερον δι' ἰδίου μουμπασίρη, ὃς ἐλθὼν ἐν Ἱερουσαλὴμ μετεκαλέσατο τοὺς Φράτορας εἰς τὸ Κριτήριον τοῦ ἀκοῦσαι τὰ προσταττόμενα· ἀλλ' αὐτοὶ οὐκ ἀπῆλθον. Ὅθεν οἱ κριταὶ δυσφορήσαντες ἔγραψαν τῷ πασᾷ ἱλάμια καὶ ἀναφορὰς μετὰ τοῦ μουμπασίρη περὶ πάντων τῶν τρεξάντων καὶ ὅτι οἱ Φράγκοι οὐ παύουσι νεωτερίζοντες καὶ ὅτι οἰκειοποιηθέντες τὸ Κουβούκλιον οὐκ ἐῶσι τοὺς Ῥωμαίους ἐκτελεῖν ἐν αὐτῷ τὰ ἑαυτῶν ἔθιμα, μηδὲ ψάλλειν καὶ λειτουργεῖν· ὅθεν ὁ πασᾶς τὸν μὲν μουμπάσίρην προσέταξεν ἀπελθεῖν εἰς τὸν ναὸν καὶ ποιῆσαι χωρὶς ἀναβολῆς τὰ προσταττόμενα—ὃ καὶ ἐγένετο τῷ ,αωις',— τὰς δὲ ἀναφορὰς ἐκείνας καὶ ἔγγραφα περικλείσας εἰς ἰδίαν αὐτοῦ ἀναφορὰν ἀπέστειλεν εἰς Βασιλεύουσαν. Τότε δὲ συγχρόνως καὶ ὁ πατριάρχης Πολύκαρπος ἄλλην ἀναφορὰν δέδωκε περὶ τῆς ἐν τῷ ἁγίῳ Κουβουκλίῳ ἱερουργίας ἡμῶν. Ἐξεδόθη τοίνυν ὁρισμὸς δι' αὐτογράφου βασιλικοῦ, ὅπως ἱερουργῶμεν καὶ ἱεροπραττῶμεν ἔνδον τοῦ ἁγίου Κουβουκλίου, καθὼς καὶ οἱ Φράγκοι. Διὰ τούτου οὖν τοῦ ὁρισμοῦ ἠρξάμεθα ἱερουργεῖν ἔνδον τοῦ ἁγίου Κουβουκλίου ἐπὶ τοῦ θεοδέγμονος Τάφου τῷ ,αωιζ' (1817), τῇ κή τοῦ δεκεμβρίου. Ἀλλ' οἱ φίλοι Φράτορες τοῦτο βαρέως ἔφερον, καὶ δὴ διαφόρους αἰτίας ἐφεύρισκον εἰς τὸ ἐνοχλεῖν ἡμᾶς καὶ ἐπηρεάζειν, ὁτὲ μὲν λέγοντες "οὐκ ἔχετε ἄδειαν ἅπτειν λαμπάδας ἐπὶ τοῦ Παναγίου Τάφου", ὁτὲ δὲ "οὐκ ἔχετε ἐξουσίαν εὐαγγέλιον τιθέναι". Καὶ ἄλλοτε ἱσταμένων ἡμῶν ἔμπροσθεν τῆς θύρας τοῦ ἁγίου Κουβουκλίου καὶ ψαλλόντων, αὐτοὶ ὤθουν ἡμᾶς, λέγοντες "ὁ τόπος οὗτος ἡμέτερός ἐστι· διατί ἵστασθε ὧδε;" Ἐὰν δέ ποτε αἰθάλη ἢ ἄνθρακες ἔπιπτον ἀπὸ τοῦ θυμιατοῦ ἐν τῷ ἱερουργεῖν ἡμᾶς, οὐκ εἴχομεν ἐξουσίαν ἄραι αὐτὰ ἐκεῖθεν· οὐκ εἴων γὰρ ἡμᾶς, λέγοντες "ἱερουργεῖν μόνον ἔχετε ἄδειαν, οὐχὶ δὲ καὶ σαροῦν καὶ σπαγγίζειν"· καὶ ἄλλα τοιαῦτα ἐποίουν ἐξουθενοῦντες ἡμᾶς καὶ ὑβρίζοντες. Ὅθεν μὴ ἀνεχόμενοι τῶν τοιούτων, εἰς ὑπερβολὴν φθασάντων, δεδώκαμεν ἀναφορὰν τῷ κράτει. Ἐξεδόθη τοίνυν ὁρισμὸς ἕτερος διὰ βασιλικοῦ αὐτογράφου τῷ ,αωιθ' (1819), ἵνα τὸ ἱερὸν Κουβούκλιον ἔσεται τοῦ λοιποῦ κοινὸν ἀμφοτέροις τοῖς

ἔθνεσι, Φράγκοις τε καὶ Ῥωμαίοις, καὶ ἵνα τὴν αὐτὴν ἐξουσίαν ἔχωσιν οἱ Ῥωμαῖοι, ἴσην τοῖς Φράγκοις κατά τε τὰ ἔθιμα τῆς θρησκείας καὶ τὸν καλλωπισμόν κτλ. Ἐνηργήθη δὲ ὁ ὁρισμὸς οὗτος τῷ ,αωκ' (1820) περὶ τὰ τέλη ἀπριλίου, καὶ οὕτως ἡσυχάσαμεν πρὸς καιρόν, ὅσον εἰς τὸν θεῖον ναὸν τῆς Ἀναστάσεως.

Τῷ δ' αὐτῷ ἔτει καὶ ἄλλον ὁρισμὸν ἐζητήσαμεν καὶ ἐλάβομεν ἀπὸ τῆς Ὑψηλῆς Πόρτας, δι' οὗ ἐξεβάλομεν αὐτοὺς τῆς ἐκκλησίας τῶν Ποιμένων, ἣν ληστρικῶς ἐκυρίευσαν, χρυσίον πολὺ διαμοιράσαντες εἰς τοὺς Ποιμενίτας καὶ προύχοντας Τούρκους Βηθλεεμίτας καὶ ἀπ' αὐτῶν τὸν ἐπάνω αὐτῆς κῆπον ἀγοράσαντες· ἀλλ' ἀκριβοῦς ἐξετάσεως γενομένης ἐπιτοπίως ἀπεδείχθη διὰ πολλῶν μαρτύρων, ὅτι ἡ ἐκκλησία καὶ τὰ περὶ αὐτὴν ἀνέκαθεν τῶν Ῥωμαίων ἦσαν καὶ εἰσίν. Ὅθεν λαλήσαντες εἰρηνικῶς τοῖς Φράτορσιν ἀπέχειν τοῦ τοιούτου τύπου καὶ μὴ εἰσακουσθέντες ἐλάβομεν παρὰ τῶν κριτῶν τῆς Ἱερουσαλὴμ ἀναφορὰν πρὸς τὸ κράτος, καὶ ἀποστείλαντες ἐξεδόθη ὁρισμὸς καὶ παρελάβομεν τόν τε κῆπον καὶ τὴν ἐκκλησίαν. Τῷ δὲ αωκα' (1821) διὰ τὴν ἐπανάστασιν τῶν Ἑλλήνων ἀγχόνῃ θανατωθέντος τοῦ Κωνσταντινουπόλεως ἀοιδίμου Γρηγορίου, οἱ ἐν Ἱερουσαλὴμ Φράτορες διέδοσαν φήμην, ὅτι ἐθανατώθη καὶ ὁ Ἱεροσολύμων Πολύκαρπος· καὶ δὴ εἶχον μεγάλην χαρὰν καὶ τοὺς ὀπαδοὺς αὐτῶν εὐηγγελίζοντο. Προσταγῆς γενομένης ὅπως μελανοφορήσωσιν ὅλα τὰ γένη τῶν Ναζωραίων, αὐτοὶ πρὸς πεισμονὴν ἡμῶν ἔλαβον τὴν ἄδειαν διὰ δόσεως πολλῆς λαμπροφορεῖν τοὺς ὀπαδοὺς αὐτῶν· φυλακιζομένων δὲ ἀδίκως ἐκείνῳ τῷ ἔτει καὶ γυμνουμένων ἐκ τῶν ὑπαρχόντων αὐτῶν τῶν ὀρθοδόξων Ἱεροσολυμιτῶν διαφόροις προφάσεσιν ὑπὸ τῶν Τούρκων, αὐτοὶ συνεβούλευον ἕνα καὶ ἄλλον, ὅπως ἀρνηθεὶς τὴν πατρῴαν εὐσέβειαν γένηται Φράγκος καὶ ζῇ ἐν ἀφοβίᾳ καὶ πάσῃ ἀνέσει. Καὶ ὅτε τῇ η' Ἰουλίου διεδόθη λόγος ἐν Ἱερουσαλήμ, ὅτι οἱ Ῥωμαῖοι μέλλουσι φονευθῆναι, αὐτοὶ συνήγαγον τοὺς αὐτῶν ὀπαδοὺς εἰς τὸ ἱερὸν μοναστήριον καὶ ἐφύλαττον, ἵνα μή τις συναπόληται τοῖς Ῥωμαίοις· καὶ οὐκ ἐμνήσθησαν οἱ καλλότατοι, ὅτι ἐκινδυνεύσαμεν χάριν αὐτῶν, ὅτε ἐφυλάξαμεν αὐτούς, ὡς εἴ-

ρηται, εἰς τὰ μοναστήρια ἡμῶν. Καὶ τῷ ἑπομένῳ ἔτει, ὅτε μὴ ἔχοντες οὐδὲ ὀβολὸν ἀπαντᾶν τοῖς Τούρκοις ἐζητήσαμεν παρ' αὐτῶν δάνεια, αὐτοὶ ἐζήτησαν παρ' ἡμῶν ἐνέχυρον τὴν μονὴν τοῦ Ἁγίου Γεωργίου, ἔγγιστα οὖσαν τοῦ μοναστηρίου αὐτῶν· ὅθεν οὐκ ἐδώκαμεν, οὐδ' ἐλάβομεν. Τότε καί τινας ἡμετέρους ὑπὸ Τούρκων καταδυναστευομένους καὶ χάριν βοηθείας καὶ ὑπερασπίσεως προσφυγόντας ἐδέξαντο καὶ κατολίκους ἐποίησαν, οἵτινες μετὰ ταῦτα πάλιν ἐπέστρεψαν.

Τῷ δὲ ,αωκγ' οἱ Ἀρμένιοι ἀφήρπασαν ἀφ' ἡμῶν ἀπὸ τῶν ἐν τῇ ἁγια Σιὼν μνημάτων ἡμῶν ὑπὲρ τὰ πεντήκοντα, μάρτυρας παραστήσαντες Τούρκους, ὅτι ἦσαν πάλαι ποτὲ τῶν Συριάνων, οἵτινες ἦσαν γιαμάκια αὐτῶν καὶ ὑποταττόμενοι, ὡς εἴρηται· οἱ δὲ κριταὶ παρέβλεψαν τὸ δίκαιον τοῖς Ἀρμενίοις χαριζόμενοι, οἵτινες ἐπλήρουν τὴν δεξιὰν αὐτῶν, καὶ οὐχὶ ἡμῖν τοῖς μὴ ἔχουσι τότε τὸν ἐπιούσιον σχεδὸν ἄρτον. Τῷ δὲ αωκδ' οἱ καλοὶ Φράτορες προσηλύτους ἤρξαντο ποιεῖν ἔν τε Βηθλεὲμ καὶ τῷ χωρίῳ τῶν Ποιμένων, ὁμοίως καὶ εἰς τὸν Μπετζαλᾶν. Τότε καὶ ἕνα μέγαν οἶκον τοῦ Παναγίου Τάφου, πλησίον ὄντα τοῦ ἐν Ἰόππῃ μετοχίου ἡμῶν, διὰ τοῦ ἀρχιγραμματέως τῆς Ἱερουσαλὴμ (μπασκιατίπ) ἥρπασαν ἀφ' ἡμῶν καὶ κατακρατοῦσι μέχρι τῆς σήμερον. Τῷ δὲ αωκε' (1825) διὰ τὴν πρὸς τὸν πασᾶν ἀποστασίαν τῶν Ἱεροσολυμιτῶν Τούρκων καὶ τὴν ἀναρχίαν τὸ Κοινὸν τοῦ Παναγίου Τάφου ἔφθασεν εἰς ἐσχάτην στενοχωρίαν, μὴ εὑρίσκον ἔτι δανειστὰς διὰ τοῦ τόκου. Τῷ δὲ αωκς' (1826) ὁ ἐν Πτολεμαΐδι Ἀπτουλλᾶ-πασᾶς πολὺ ἐστενοχώρησεν ἡμᾶς καὶ ἠπείλησε περὶ τριάκοντα χιλιάδων γροσίων, ἅπερ ἐχρεωστοῦμεν αὐτῷ· τότε δὲ εὑρέθη εἷς φιλέλλην τὰ μέγιστα Εὐρωπαῖος, κανονικὸς τὸ ἐπάγγελμα, καὶ ἐδάνεισεν ἡμῖν 10,000 γρόσια, ἰδὼν αὐτοῖς ὀφθαλμοῖς τὴν πολλὴν στενοχωρίαν ἡμῶν καὶ εὐσπλαγχνισθεὶς ἡμᾶς ὡς καλοκάγαθος. Ἀλλ' οἱ Φράτορες μαθόντες τοῦτο ἀφώρισαν αὐτόν, ὡς τοιαύτην εὐποιΐαν ἡμῖν ποιήσαντα· ὁ δὲ ὑπ' ἐκείνων στενοχωρούμενος ἐστενοχώρησεν ἡμᾶς, ζητῶν τὰ ἅπερ ἐδάνεισε, προφασιζόμενος ὡς ἀνάγκην ἔχει ἐπανελθεῖν εἰς τὰ ἴδια. Τότε

ἀναγκασθέντες ἐδανείσθημεν ἐξ Ἑβραίου τινός, δόντες ἐνέχυρον ἱερά τινα κειμήλια τοῦ ναοῦ, καὶ ἐπεστρέψαμεν τῷ κανονικῷ τὰς δέκα χιλιάδας γρόσια, εὐχαριστοῦντες μέχρι τοῦδε τῇ ἐκ διαμέτρου φιλαδελφία τῶν Φράγκων.

Τῷ δὲ ,αωκζ' οἱ Ἀρμένιοι ἰδόντες τὸ γένος ἡμῶν, ὁμοίως καὶ τὸ ἱερὸν Κοινὸν τοῦ Παναγίου Τάφου, ὅτι ὑπὸ τῆς ἐνδείας καὶ πτωχείας κατατρύχεται καὶ ἤρξατο σχεδὸν ψυχορραγεῖν, ἐνόμισαν ὅτι καιρὸς ἦν ἁρπάσαι τι ἀπὸ τὰ προσκυνήματα. Ὅθεν τῇ κζ' δεκεμβρίου ἔδωκαν ἀναφορὰν τῷ σουλτάνῳ ζητοῦντες ποιεῖν τὰ ἔθιμα αὐτῶν καὶ λειτουργεῖν ἐν τῷ θείῳ ναῷ τοῦ φρικτοῦ Γολγοθᾶ, ἔχοντες συμβοηθοὺς ὅλους σχεδὸν τοὺς τῆς Ὑψηλῆς Πόρτας· ἀλλ' ὁ Μαχμοὺτ κοινώσας τοῦτο τῷ τότε σεχ-ουλ-ισλὰμ ἔλαβε συμβουλήν, ὅτι ἐκείνῳ τῷ καιρῷ οὐκ ἦν συμφέρον περὶ τοιούτων ὑποθέσεων κινεῖν τὸν ἀνάγυρον. Τοίνυν ἐματαιώθησαν οἱ φίλοι Ἀρμένιοι.

Ἀλλ' ὁ Ἱεροσολύμων Πολύκαρπος ἀκούσας τὰ τῶν Ἀρμενίων κινήματα καὶ λύπῃ συσχεθείς, ἅμα καὶ μὴ δυνάμενος ἀντιπαλαίειν τῇ ἐνδείᾳ καὶ ἀπορίᾳ πρὸς ἐξοικονόμησιν, τὸ ζῆν ἐξεμέτρησε τῇ γ' ἰανουαρίου ,αωκη' (1828). Διαδεξάμενος δὲ αὐτὸν ὁ νῦν εὐκλεῶς πατριαρχεύων Ἀθανάσιος, διεδέξατο καὶ τὰς ἐκείνου λύπας καὶ δεινά, ἐξ ὧν καὶ τὸ ἑξῆς. Ἐπειδὴ τῷ αὐτῷ ἔτει ἡ εὐσεβεστάτη Ῥωσσία ἐκήρυξε πόλεμον κατὰ τῆς Πόρτας, ἡ Πόρτα ἦν καθ' ἡμῶν ὀργιζομένη, ὡς ὁμοθρήσκων τῆς Ῥωσσίας. Εὗρον καιρὸν οἱ Ἀρμένιοι ἐπιτηδειοτατον, ὡς καὶ ἄλλοτε, καὶ τὴν τῶν αὐλικῶν εὔνοιαν πρὸς ἑαυτοὺς ἑλκύσαντες, ἅμα δὲ καὶ ὑποσχεθέντες εἰς τὸ βασιλικὸν κοινὸν ταμεῖον γρόσια, ὡς λέγεται, ἓν ἑκατομμύριον, ἴσχυσαν καὶ ἔλαβον ὁρισμὸν δι' αὐτογράφου βασιλικοῦ τοῦ λειτουργεῖν ἐπὶ τοῦ θεοδέγμονος Τάφου καὶ τοῦ εἶναι κοινωνοὺς ἐν τῷ ἱερῷ Κουβουκλίῳ, ἔχοντες πάντα τὰ δικαιώματα τῶν Ῥωμαίων, ἐν ταὐτῷ καὶ ποιεῖν ὅσα ἔθιμα ἡμεῖς ποιοῦμεν, ὁμοίως καὶ εἰς τὴν Ἁγίαν Ἀποκαθήλωσιν, τὸν τόπον δηλαδὴ ἐν ᾧ ὁ Ἰωσὴφ καὶ Νικόδημος σμύρνῃ καὶ ἀλόῃ καὶ σινδόνι ἐκήδευσαν τὸ σῶμα τοῦ Κυρίου· τὸν δὲ τοιοῦτον ὁρισμὸν εἰς Ἰε-

ρουσαλὴμ κομισαντες καὶ πάντας ἑτοιμάσαντες συνήγαγον εἰς τὸν θεῖον ναὸν τῆς Ἀναστάσεως τῇ γ' σεπτεμβρίου. Ἀναγνωσθέντος οὖν τοῦ ὁρισμοῦ καὶ πάντων φωνησάντων "μουγερέκ", ἤτοι κοινόν, εὐθέως ἔφερον οἱ Ἀρμένιοι κανδήλας εἰκόνας φόρα κηροπήγια κτλ. καὶ ἑνὶ λόγῳ ὅ τι εἴχομεν αὐτόθι, ἔβαλον κἀκεῖνοι καὶ ἔκτοτε ἤρξαντο σαροῦν καθαίρειν σπογγίζειν καὶ κοσμεῖν, καθάπερ καὶ ἡμεῖς. Ἐζήτουν δὲ οἱ βέλτιστοι βαλεῖν καὶ φύλακα Ἀρμένιον ἐνώπιον τοῦ Παναγίου Τάφου ἑστάναι ἡμέραν μίαν ἡμεῖς καὶ μίαν ἐκεῖνοι· ἀλλ' οὐκ ἠξιώθησαν τοῦ τοιούτου, καίτοι πολλὰ ὑποσχεθέντες τοῖς κρατοῦσιν. Ἔπειτα δὲ καὶ διὰ τὸν μέγαν κουμπὲν ἠγωνίσαντο, ὅπως γένηται κοινὸς καὶ κρεμάσωσι κἀκεῖ μεθ' ἡμῶν κανδήλας· ἀλλ' οὐδὲ τούτου ἠξιώθησαν, ὡς μὴ ἀναφερομένου ῥητῶς ἐν τῷ ἀνὰ χεῖρας αὐτῶν ὁρισμῷ.

Τούτῳ δὲ τῷ ἔτει πολλὰ κακὰ ἐποίησεν ἡμῖν ὁ ῥηθεὶς τῆς Πτολεμαΐδος Ἀπτουλλὰ-πασᾶς, χριστιανομάχος ὤν· πρὸς τοῖς ἄλλοις δὲ τοὺς ὀρθοδόξους μισῶν, τοὺς δὲ κατολίκους ἀγαπῶν, ἔδωκεν ἄδειαν τοῖς Ἀραβοκατολίκοις μοναχοῖς περιέρχεσθαι ἐν τῇ Παλαιστίνῃ καὶ Ἱερουσαλὴμ μετὰ καλυμμαυχίων, ὄντος ἀπηγορευμένου τοῦ τοιούτου πρότερον· ἔδωκε πρὸς τούτοις ὁρισμὸν τοῖς Φράτορσιν ἐπισκευὰς ποιῆσαι εἰς τὰ αὐτῶν μοναστήρια καὶ κελλία τὰ ἔνδον τοῦ ναοῦ καὶ ἀλεῖψαι δι' ἀσβέστου ὅλα τὰ μέρη αὐτῶν· ὃ καὶ ἐγένετο. Ἀνάγκης δὲ οὔσης ὅπως ἐπισκευάσωμεν πλάκας τινὰς μολυβδίνας ἐπὶ τοῦ μεγάλου κουμπὲ τοῦ Παναγίου Τάφου, ἐπανέστησαν οἱ Φράτορες καὶ οὐκ εἴασαν ἡμᾶς· ἔγραψαν δὲ καὶ τῷ Ἀπτουλλὰ-πασᾷ καὶ προσέταξεν ἡμῖν μὴ ποιῆσαι ὅλως ἐπισκευήν, οὐ μόνον ἐν τῷ ναῷ, ἀλλ' οὐδ' ἄλλοθι που.

Ἐν δὲ τούτοις τοῖς χρόνοις ἦλθον εἰς Ἱερουσαλὴμ καὶ οἱ τῶν Ἀμερικανῶν ἀποστολοκήρυκες, καὶ κατ' ἀρχὰς μὲν παρώκησαν εἰς τοὺς Ἀρμενίους ἔχοντες καὶ διανέμοντες βιβλία ἄπειρα παντὶ γένει τῆς παλαιᾶς καὶ νέας διαθήκης· εἶτα δὲ φιλιωθέντες μετὰ τῶν ἡμετέρων ἔδειξαν σπλάγχνα οἰκτιρμῶν καὶ ἐφάνησαν ὡς φιλέλληνες, βοηθήσαντες τῷ τὰ λοίσθια πνέοντι ἱερῷ Κοινῷ τοῦ Παναγίου Τάφου, ὀόντες λόγῳ δανείων ἱκανὴν ποσότητα δι-

στήλων· ἐνοικίασαν δὲ καὶ δύο-τρία κελλία εἰς τὴν μονὴν τῶν Ἀρχαγγέλων. Ἔπειτα καὶ καλοκἀγαθίαν δεικνύμενοι ἐμέριζον εἰς τὰ ἐν τοῖς σχολείοις πτωχὰ παιδία ἄρτους πρωὶ καὶ μεσημβρίαν καὶ ἔχαιρον πάντες καὶ εὐχαρίστουν τοῖς φιλανθρώποις τούτοις. Προϊόντος δὲ τοῦ καιροῦ ἤρξαντο διδάσκειν τοὺς παῖδας μὴ προσκυνεῖν τὰς ἱερὰς εἰκόνας, μηδὲ τὸν τίμιον σταυρόν, μήτε νηστεύειν μήτε τὴν Θεοτόκον λέγειν. Τότε τὴν ἀπάτην γνωρίσαντες προελάβομεν τὸ κακὸν καὶ παρ' Ἑβραίων τόκῳ πολλῷ δανεισθέντες καὶ τὰ ἄπερ ἐλάβομεν παρ' αὐτῶν δίστηλα ἐπιστρέψαντες ἀπεβάλομεν αὐτοὺς τῆς μονῆς τῶν Ἀρχαγγέλων καὶ τῶν σχολείων. Ἦλθε δὲ καιρός, ὅτε ἐν τῇ εὐδοκίᾳ αὐτοῦ ἠγάθυνε Κύριος τὴν Σιών, ἣν εἰς κατοικίαν ἑαυτῷ ἐξελέξατο· καὶ γὰρ τῷ αωκθ' (1829) κατὰ τὴν ιδ' τοῦ σεπτεμβρίου εἰρήνης γενομένης μεταξὺ τῆς εὐσεβεστάτης Ῥωσσίας καὶ τῆς Τουρκίας, ἤρξαντο ἔρχεσθαι εἰς προσκύνησιν πάλιν τῷ ἑπομένῳ ἔτει καὶ ὀρθόδοξοί τινες, οἵτινες διὰ τὰ συμβάντα δεινὰ ἀπὸ τοῦ αωκα' ἕως τοῦ αωκθ' οὐκ ἠδυνήθησαν ἐλθεῖν· οἱ Ἀρμένιοι δὲ φόβον μηδένα ἔχοντες, ὡς τὴν Ἀσίαν οἰκοῦντες οἱ πλεῖστοι, ἤρχοντο εἰς χιλιάδας. Ὅτε μάλιστα ἠκούσθη, ὅτι οἱ Ἀρμένιοι ἐκυρίευσαν τὸν Ἅγιον Τάφον καὶ τὰ προσκυνήματα, συνέρρευσαν πλῆθος πολὺ πανταχόθεν. ὥστε τὸ ἐν Ἱερουσαλὴμ Κοινὸν τῶν Ἀρμενίων ὑπερεπλουτίσθη, ὑπερπλουτισθὲν δὲ ἐφυσιώθη καὶ φυσιωθὲν εἰς τὰ συνήθη πάλιν ἐτράπη.

Ἔτυχον δὲ αὐτοῖς καὶ δεξιαὶ περιστάσεις καὶ ὠφέλιμοι· τῷ γὰρ αωλβ' (1832) τοῦ Ἠμπραΐμ-πασᾶ κυριεύσαντος τὴν Παλαιστίνην καὶ αὐτὴν τὴν Ἰουδαίαν μετὰ τῆς Ἱερουσαλήμ, αὐτοὶ οἱ Ἀρμένιοι σχεδὸν ἐβασίλευσαν· καθὼς γὰρ ἦν καὶ παρὰ τῷ Μουσταφᾶ-μπαϊρακτὰρ ὁ ῥηθεὶς σελίδι 432 σαράφης Ἀρμένιος Μανούκ, οὕτω καὶ παρὰ τῷ Μεεμετ-Ἀλῆ-πασᾶ ἦν ἀγαπώμενος καὶ τιμώμενος ὁ διάσημος Μπογὸς-ἀγᾶς καλούμενος, ἄγων καὶ φέρων πολλὰς τούτου ὑποθέσεις ὡς δραστήριος. Εἰς τὴν προστασίαν δὲ τούτου οἱ ἐν Ἱερουσαλὴμ Ἀρμένιοι θαρροῦντες ἐποίησαν τὸ ἑξῆς. Τόπος ἐστὶ μεταξὺ τῆς Ἁγίας Ἀποκαθηλώσεως καὶ τοῦ ἁγίου

Κουβουκλίου, ὅπου κατ' ἀρχαίαν παράδοσιν ἵσταντο αἱ μυροφόροι γυναῖκες κλαίουσαι, ὅτε ἠλείφετο διὰ τῆς σμύρνης ἁλόης τὸ σῶμα Κυρίου· οὗτος δὲ ὁ τόπος ἐστὶν ἐσκεπασμένος διὰ λευκοῦ μαρμάρου, ὅπερ διὰ τῆς πολυκαιρίας ἦν διερρωγὸς εἰς τρία. Τοῦτο οὖν τὸ μάρμαρον ἠθέλησαν οἱ Ἀρμένιοι ἀλλάξαι, τοῦ τόπου ὄντος ὑπὸ τὴν ἐξουσίαν αὐτῶν. Ὅθεν ἄλλο ἑτοιμάσαντες καὶ ἐγχαράξαντες κύκλῳ ἀρμενικὰ γράμματα, αἴφνης τῇ δ' δεκεμβρίου τὸ παλαιὸν ἐκβαλόντες τὸ νέον ἔβαλον· ἐρωτηθέντες δὲ παρ' ἡμῶν τίνι ἐξουσίᾳ τοῦτο ἐποίησαν, ἀπεκρίθησαν ὅτι τῇ ἀδείᾳ μὲν τοῦ μουλλᾶ, ἐξουσίᾳ δὲ τῇ ἰδίᾳ αὐτῶν· ἐρωτησάντων δὲ ἡμῶν τὸν μουλλᾶν, ἐκεῖνος ἠρνήθη· εἶχε δὲ ἀληθῶς τὴν εἴδησιν αὐτός τε καὶ οἱ λοιποί. Ἐγράψαμεν δὲ τῷ Μεεμὲτ-Ἀλῇ πασᾷ εἰς τὴν Αἴγυπτον, δηλοποιοῦντες τὰ τρέξαντα· ἀλλὰ προσκυνηταί τινες Ἕλληνες, συμφωνήσαντες ἐν μιᾷ νυκτὶ διὰ λίθων κρούοντες τὴν νεοτεθεῖσαν ὑπὸ τῶν Ἀρμενίων πλάκα καὶ ἐκβαλόντες συνέτριψαν εἰς λεπτά· ταραχῆς δὲ γενομένης τὸ πρωὶ οὐκ ὀλίγης καὶ ἀγωγῆς καθ' ἡμῶν καὶ κρίσεως ἀπεφασίσθη τελευταῖον, ὅπως δηλωθῇ τῷ σατράπῃ Μεεμὲτ-Ἀλῇ διὰ ταχυδρόμου. Τούτου γενομένου, μετὰ 22 ἡμέρας ἔρχεται ἀπόκρισις αὐτοῦ καὶ ὁρισμός, ὅπως τεθῇ πάλιν εἰς τὸν τόπον ἡ ἀρχαία πλάξ (27 δεκεμβρίου 1833)· ταύτην δὲ ἔχοντες παρ' αὐτοῖς οἱ Ἀρμένιοι, εἰς τρία οὖσαν διερρηγμένην, δεκατρία μέρη συντρίψαντες ἐποίησαν πρὸς πεισμονὴν ἡμῶν καὶ οὕτως ἔβαλον καὶ μένει ἕως τῆς σήμερον ἐκεῖ οἰκτρὸν θέαμα.

Τῷ δὲ ἀωλγ' ἠθέλησαν οἱ Φράτορες κατὰ τὴν ἑβδομάδα τῶν Βαΐων κρεμάσαι κύκλῳ τοῦ ἱεροῦ Κουβουκλίου πορφυρᾶς αὐτῶν ποδιάς, ἃς διὰ βασιλικοῦ ὁρισμοῦ ἐκεῖθεν κατεβιβάσαμεν, κοινωνοὶ γενόμενοι ἐπίσης καὶ μέτοχοι εἰς τὸ ἱερὸν Κουβούκλιον, ὡς εἴρηται ὄπισθεν σελίδι 458. Ζητησάντων οὖν ἄδειαν παρ' ἡμῶν, οὐκ ἐδώκαμεν αὐτοῖς· ἀλλ' αὐτοὶ τῷ ἐπομένῳ ἔτει ,αωλδ' πρὸ τῆς τεσσαρακοστῆς αὐτῶν, ἀρξάμενοι κοσμεῖν τὸ ἱερὸν Κουβούκλιον, ὡς ἔθος, παρατηρήσαντες τὴν ὥραν ἐν ᾗ οἱ ἡμέτεροι ἤσθιον ἐν τῇ τραπέζῃ, ἐκρέμασαν αὐτὰς ἐκεῖ ἐν σπουδῇ. Γνωστοῦ δὲ γενομένου τοῦ δράματος, μετὰ τρεῖς ὥρας ἐποιήσαμεν αὐτοὺς καταβιβάσαι αὐτὰς αὐτο-

χείρως. Φθάσαντος δὲ τοῦ Σαββάτου πρώτου τῶν νηστειῶν, κατὰ τὴν ὥραν καθ' ἣν ἐπετελεῖτο ὁ ἑσπερινὸς τῆς ὀρθοδοξίας, συνηγμένου παντὸς τοῦ πλήθους τῶν ὀρθοδόξων τε καὶ τῶν Ἀρμενίων προσκυνητῶν, εἷς Ἀρμένιος ἐρράπισεν ἕνα τῶν ἡμετέρων· μάχης δὲ συμβάσης καὶ ὑπὸ τῶν θυρωρῶν Τούρκων καὶ ἄλλων καταπαυθείσης, ἰδοὺ τῇ ὥρᾳ, ἐν ᾗ οἱ ἡμέτεροι ὀρθόδοξοι ἱερεῖς διὰ τὴν ἀρτοκλασίαν παρίσταντο ἔμπροσθεν τῆς πύλης τοῦ ἱεροῦ Κουβουκλίου κατὰ δύο στοίχους, ὡς ἔθος, ἕως τῶν ὡραίων πυλῶν, φοροῦντες τὰς ἱερατικὰς στολάς, ἰδοὺ λέγω εἷς Ἀρμένιος προσκυνητὴς ὕβρισεν ἕνα τῶν ἡμετέρων ἱερέων, καλῶν αὐτὸν ἀρμενιστὶ χοῖρον καὶ κύνα καὶ ἄλλα τοιαῦτα αἰσχρά· εἷς δὲ τῶν ἡμετέρων γινώσκων καλῶς τὴν ἀρμενικὴν εἶπε τῷ λοιδοροῦντι Ἀρμενίῳ, "διατί σὺ λοιδορεῖς τὸν ἱερέα καὶ ὑβρίζεις"; ὁ δὲ Ἀρμένιος ὕβρισε κἀκεῖνον καὶ ἐρράπισεν. Ὅπερ ἰδόντες ἄλλοι ἡμέτεροι προσκυνηταί, ἔδραμον ἐπὶ τὸν Ἀρμένιον, ἐπ' αὐτοὺς δὲ ἄλλοι Ἀρμένιοι ὄντες πλησίον· καὶ δὴ συμπλακέντες, ὅλον τὸ πλῆθος Ῥωμαίων τε καὶ Ἀρμενίων, ἔτυπτον πρὸς ἀλλήλους ἀφειδῶς ποσί τε καὶ χερσίν, ὥστε πολλοὶ τῶν ἡμετέρων ἐλειποθύμησαν· οἱ γὰρ Ἀρμένιοι ἐκείνῳ τῷ ἔτει ἦσαν ἕως ἓξ χιλιάδες, οἱ δὲ ἡμέτεροι μόλις τέσσαρες· ἔμεινεν δὲ ἡ ἀρτοκλασία καὶ ὁ ἑσπερινὸς ἀτελὴς καὶ τὰ φελόνια τῶν ἱερέων, ὠθουμένων ἔνθεν κἀκεῖσε, κατεσχίσθησαν, ὁμοίως καὶ τῶν ἱεροδιακόνων. Δοθείσης δὲ τῆς ἀγγελίας ταύτης τῷ τότε ἡγεμόνι, ἀπεστάλη μετὰ στρατιωτῶν ὁ χιλίαρχος καὶ μόλις κατέπαυσε τοὺς Ἀρμενίους τύπτειν τοὺς ὀρθοδόξους. Τῇ δὲ ἑσπέρᾳ ἐκείνῃ κατῆλθον εἰς τὸ Κριτήριον οἱ προύχοντες τῶν Ἀρμενίων καὶ ἐζήτουν ἔγγραφα λαβεῖν ἀποδεικτικά, ὅτι οἱ Ῥωμαῖοί εἰσιν ἀντάρται καὶ τὰ λοιπά· ἀλλ' ἐματαιώθησαν· οἱ γὰρ Τοῦρκοι θυρωροὶ κληθέντες εἰς μαρτυρίαν ἀπέδειξαν ἐκείνους πταίστας, ἡμᾶς δὲ ἀθώους. Τῇ δὲ ιβ' ἀπριλίου ἐλθόντος τοῦ Ἡμπραΐμ-πασᾶ εἰς Ἱερουσαλήμ, οὐ διέλειπον οἱ βέλτιστοι διαβάλλοντες ἡμᾶς· ἀλλ' ἐκεῖνος οὐδόλως προσέσχεν αὐτοῖς. Τέλος δ' οὖν κατέπεισαν αὐτὸν δοῦναι αὐτοῖς ἄδειαν κατασκευάσαι οἰκόν τινα διὰ σιδήρων πλησίον τῆς Ἁγίας Ἀποκαθηλωσεως, ἐπὶ μιᾶς

καμάρας, ὅπερ ἦν ἡμῖν λίαν ἐνοχλητικὸν καὶ ἐπιζήμιον· τῇ δὲ μεγάλῃ Πέμπτῃ πρωὶ ἔφερον εἰς τὸν ναὸν τὰ σίδηρα καὶ λίθους καὶ τεχνίτας καὶ ἤρξαντο ἀνασπᾶν καὶ ἐκβάλλειν λίθους καὶ ἑτοιμάζειν· ἰδόντες δὲ ἡμεῖς καὶ τὸ δρᾶμα τῷ Ἡμπραΐμ-πασᾷ παραστήσαντες, τέλος κατεπείσαμεν καὶ ἐκωλύσαμεν αὐτοὺς τοῦ βουλεύματος καὶ μένει μέχρι τοῦδε ὁ οἶκος ἀτελής, ἀλλ' οὖν καὶ αἱ τῆς καμάρας πέτραι ἔμειναν ἐκβεβλημέναι. Οὗτοι οἱ φίλοι ἐγένοντο αἴτιοι καὶ ἀπέθανον καταπατηθέντες τῷ μεγάλῳ Σαββάτῳ ἑσπέρας τριάκοντα μὲν ἡμέτεροι, ὑπὲρ τοὺς ἑκατὸν δὲ ἐξ ἐκείνων· πῶς δὲ καὶ διατί, παραιτοῦμαι γράφειν, πολυδιηγήτου ὄντος τοῦ δεινοῦ τούτου συμβάντος. Τῇ δὲ ἑνάτῃ μαΐου τῶν ἐν τῇ Ἰουδαίᾳ Ἱερουσαλὴμ καὶ πάσῃ τῇ Σαμαρείᾳ Τούρκων ἐπαναστάντων κατὰ τοῦ Ἡμπραΐμ, τῇ ιγ' τοῦ αὐτοῦ σεισμὸς μέγας συνέβη καὶ διερράγη πάντοθεν ἡ τρούλλα τοῦ Καθολικοῦ καὶ ὁ μέγας κουμπὲς τοῦ Παναγίου Τάφου, πεσόντων καὶ πολλῶν ὑψηλῶν οἴκων τῆς Ἱερουσαλὴμ καὶ μιναρέδων καὶ μέρος τοῦ τείχους τῆς Ἱερουσαλήμ, εἰς δὲ τὸ ἁγιώτατον ὄρος τῶν Ἐλαιῶν ὁ κουμπὲς ὁ ἐπὶ τοῦ ἐκεῖ προσκυνήματος καὶ πλησίον μιναρές, ἐν δὲ τῇ Ἁγίᾳ Βηθλεὲμ ἐκτὸς τοῦ ναοῦ τὰ μοναστήρια Ῥωμαίων Φράγκων καὶ Ἀρμενίων μεγάλην φθορὰν ὑπέστησαν. Νικήσαντος δὲ τοῦ Ἡμπραΐμ-πασᾶ τοὺς ἀποστάτας καὶ ταπεινώσαντος κατὰ τὸν Ἰούλιον μῆνα, διελογίσθημεν παρακαλέσαι αὐτὸν τοῦ δοῦναι ἄδειαν, ἵνα ἐπισκευάσωμεν τὰ ἐκ τοῦ σεισμοῦ διαφθαρέντα μέρη ἔν τε Ἱερουσαλὴμ Βηθλεὲμ καὶ τῷ ὄρει τῶν Ἐλαιῶν. Ἐπειδὴ δὲ οὗτος εἶχεν εἰσέτι πολέμους κατὰ τῶν πέραν τοῦ Ἰορδάνου εὑρισκομένων Ἀράβων, ἀνεβάλομεν τὸν καιρόν· ἐπιστρέψαντος δὲ τούτου εἰς Ἱερουσαλὴμ τῇ ις' σεπτεμβρίου, τῇ αὐτῇ ὥρᾳ εὐθέως προσῆλθον αὐτῷ οἱ Φράτορες, παρακαλοῦντες ὅπως δῷ αὐτοῖς ἄδειαν ἀνοικοδομηθῆναι τὸν ἐν τῷ ὄρει τῶν Ἐλαιῶν κουμπέν· ὁ δὲ οὐκ ἔδωκεν αὐτοῖς ἀκρόασιν· ἀλλ' αὐτοὶ ἐπιμένοντες καὶ παρακαλοῦντες, τέλος κατέπεισαν αὐτὸν καὶ ἔλαβον ἄδειαν ἐκείνῃ τῇ νυκτί, τῷ δὲ πρωὶ εὐθέως ἤρξαντο τοῦ ἔργου. Ὅπερ μαθόντες ἡμεῖς ἐδράμαμεν πρὸς τὸν πασᾶν, παραπονούμενοι καὶ καταβοῶντες τῶν Φράγκων

καὶ δὴ καὶ τοὺς ἀνὰ χεῖρας ἡμῶν ὁρισμοὺς καὶ ἔγγραφα δεικνύοντες, ὅτι ἡμῖν ἀνήκει οἰκοδομῆσαι καὶ οὐχὶ τοῖς Φράγκοις. Τέλος δ' οὖν ὁ πασᾶς φροντίδας ἔχων πολλὰς καὶ μὴ εὑρίσκων καιρὸν ὁπόθεν κρίσεις, ἐπεφόρτισε τὴν ὑπόθεσιν τῷ ἐν Ἱερουσαλὴμ μουλλᾷ λέγων, ὅτι ἐκείνῳ ἀνήκει κρίνειν καὶ ἀποφασίζειν τὰ τοιαῦτα. Ἀπελθόντες οὖν πρὸς αὐτόν, πρῶτον μὲν κατεπαύσαμεν τοῦ ἔργου τοὺς Φράτορας πρὸς ὥραν, ἕως οὗ θεωρηθῇ ἡ κρίσις, εἶτα δὲ τῇ ἐπαύριον καὶ τῆς κρίσεως ἠρξάμεθα, ὅπου καὶ οἱ Ἀρμένιοι ἔφθασαν φέροντες καὶ αὐτοὶ ἔγγραφά τινα καὶ χοτζέτια παλαιά, διαλαμβάνοντα ὅτι ἠγόρασαν ἐκεῖ πάλαι ποτὲ τόσαις πήχεις τόπου καὶ ἄλλα πολλά· διήρκεσε δὲ ἡ κρίσις αὕτη ἡμέρας τρεῖς μεταξὺ Φράγκων Ἀρμενίων καὶ ἡμῶν. Τελευταῖον δὲ ὁ μουλλᾶς καὶ οἱ λοιποὶ ἀπεφάσισαν, ὅπως ἀνοικοδομηθῇ ὑπὸ τῶν τριῶν φυλῶν ἐκ συμφώνου, κοινὴν τὴν δαπάνην καταβαλουσῶν. Οἱ Φράτορες ὅμως δυσαρεστηθέντες ἔμειναν ἀκίνητοι ἐπὶ δέκα ἡμέρας. Τέλος οὖν ἐνέδωκαν καὶ ἤρξατο τὸ ἔργον τῇ ιε' ὀκτωβρίου καὶ ἐτελειώθη, ὡς ἡμεῖς ἠθέλαμεν, στερεὸν κτλ.

Κατὰ δὲ τὰς ἡμέρας ἐκείνας δι' ἀδείας τοῦ μουλλᾶ καὶ τοῦ Ἡμπραὶμ-πασᾶ ἐπισκευάζοντες τὸν κουμπὲν τοῦ Καθολικοῦ, ἠνοίξαμεν τὰ ἐν αὐτῷ ὀκτὼ παράθυρα, κλεισθέντα, ὡς εἴρηται, καὶ ἐγένετο κοινὴ χαρὰ πᾶσιν· ἀλλ' οἱ Φράτορες φιλονήσαντες εἰς τὸ τοιοῦτον κοινὸν καλόν (κατέστη γὰρ φωτεινὸς ὁ ναός), εἶπον πολλὰ ἐναντίον ἡμῶν τοῖς Τούρκοις. ὥστε τῇ κ' ὀκτωβρίου ἀποστείλας ὁ μουλλᾶς ἐκώλυσεν ἡμᾶς τοῦ ἔργου. Ἀλλ' ἐματαιώθησαν οἱ Φράτορες, μόνον γὰρ ὅτι ἐζημίωσαν ἡμᾶς χρήματα δαπανήσαντας εἰς τε τὸν μουλλᾶν καὶ τοὺς λοιπούς, τὰ δὲ παράθυρα μένουσι μέχρι τοῦδε ἀνεῳγμένα. Πολλοὺς δὲ καὶ ἄλλους πειρασμοὺς ἐπέφερον ἡμῖν οἱ Φράτορες ἐκείνῳ τῷ ἔτει, οὓς παραιτοῦμαι γράφειν διὰ τὸ σύντομον τοῦ παρόντος[1].

[1] Ἀκολουθεῖ διήγησις τῶν μέχρις ἔτους 1845 συμβάντων ἐν Ἱεροσολύμοις· τούτων ὅμως ἡ δημοσίευσις ἀναβάλλεται.

XIII.

ΝΕΟΦΥΤΟΥ ΚΥΠΡΙΟΥ

περὶ Ἀραβοκατολίκων ἢ Οὐνιτῶν [1].

(Cod. Patr. 297 p. 253-287).

Εἰπωμεν δὲ καὶ περὶ τῶν Ἀραβοκατολίκων, ἤ, ὡς οἱ ἐνταῦθα Φράτορες καλεῖν εἰώθασι, Γραικοκατολίκων, ὡς ἐκ τῶν Γραικῶν ἡμῶν τάχα καταγομένων. Οἱ Τοῦρκοι Ἄραβες Κατόλικα καλοῦσιν αὐτοὺς πληθυντικῶς, ἑνικῶς δὲ Κατολούκ, ἤτοι κατόλικοι. Οὗτοι οὖν ἔσχον τὴν ἀρχὴν ἢ ὕπαρξιν αὐτῶν καὶ αὔξησιν ὡς ἑξῆς.

Περὶ τὰς ἀρχὰς τῆς παρελθούσης ιη' ἑκατονταετηρίδος μετὰ Χριστόν, ἤτοι τῷ 1717, ἰσχυόντων τότε πολὺ τῶν βασιλέων τῆς Εὐρώπης εἰς τὴν Ὀθωμανικὴν Πόρταν, ἔλαβεν ὁ τότε πάπας τῆς Ῥώμης χώραν, ὡς ἤθελε, καὶ ἀπέστειλεν εἰς τὴν Συρίαν καὶ Παλαιστίνην πλῆθος μιστοναρίων ἐκ τοῦ τάγματος τῶν Ἰησουιτῶν, τινῶν μὲν ὡς ἐμπόρων, τινῶν δὲ ὡς τεχνιτῶν, ἐπισταμένων καὶ τὴν ἀραβικὴν διάλεκτον, ἐχόντων δὲ καὶ χρυσίον οὐκ ὀλίγον καὶ ἐνδύματα πολύτιμα καὶ τὰ τοιαῦτα, δέλεαρ ἱκανὸν καὶ ἐπιτήδειον διὰ τοὺς χαμερπεῖς μάλιστα Ἄραβας. Οἱ οὖν μιστο-

[1] Περὶ τῆς ὑποθέσεως ταύτης ἀντιπαράβαλε τὰ μετὰ τὴν ἅλωσιν χρονικὰ τοῦ Ὑψηλάντου (ἐν Κ/πόλει 1870, σ. 320, 321, 326, 364, 372, 376, 377), τὴν ἐκκλησιαστικὴν ἱστορίαν Σεργίου τοῦ Μακραίου (Σάθα, Μεσ. Βιβλ. III, σ. 214-217, 250, 252) καὶ τὰς ἐλασσονας συγγραφὰς Κωνσταντίου Α' τοῦ ἀπὸ Σιναίου πατριάρχου (Κ/πολις, 1866, σ. 139-144, 173 174).

νάριοι οὗτοι, δηλαδὴ πεπόμενοι (τοῦτο γὰρ δηλοῖ ἡ λέξις), ἔχοντες ὑπερασπιστὰς τοὺς τότε εἰς τὰ παράλια τῆς Συρίας εὑρισκομένους προξένους εὐρωπαϊκῶν δυνάμεων, Ἀουστρίας Γαλλίας Γένουας καὶ μάλιστα τῆς Βενετίας, περιήρχοντο πᾶσαν τὴν Συρίαν καὶ Παλαιστίνην κρυφίως, ἐλεοῦντες πτωχούς, χαρίζοντες τοῖς δεομένοις καὶ διδάσκοντες πλαγίως τὸν παπισμόν, ἔχοντες τὰ ἑαυτῶν καταλύματα ὡς ἐπὶ τὸ πλεῖστον εἰς τοὺς Μαρωνίτας, ὁπαδοὺς ὄντας τῆς δυτικῆς ἐκκλησίας ἀπὸ τοῦ καιροῦ τοῦ (ἱεροῦ) λεγομένου πολέμου. Ἴσχυσαν οὖν ἐλκῦσαι εἰς τὰ ἑαυτῶν δόγματα ἱκανοὺς ἐκ τῶν φαυλοβίων ἐκείνων Ἀράβων καὶ μάλιστα διὰ τετραγαμίαν ἐξωσθέντων τῆς ἐκκλησίας. Οἱ δὲ κατὰ τόπους ὀρθόδοξοι ἀρχιερεῖς ταῦτα ἀκούοντες καὶ βλέποντες ἠγωνίζοντο μὲν ἀποδιῶξαι τοὺς λύκους, οὐκ ἠδύναντο δέ, ὡς προστατευομένους, ὡς εἴρηται, ὑπὸ τῶν κονσόλων, τὸ πλεῖστον δὲ ὑπὸ τοῦ χρυσίου, ὅπερ ἐμέριζον εἰς τοὺς κρατοῦντας. Τῷ δὲ 1737 συνέβη αὐτοῖς ὠφέλιμος καὶ εὐτυχὴς πρόοδος καὶ ἡ ἐξῆς αἰτία.

Ὁ Βερροίας ἢ Χαλεπίου μητροπολίτης τότε ὑπὸ τὸν Ἀντιοχείας, αὐτόχθων μὲν καὶ συγγενεῖς ἔχων πλουσιωτάτους, φαυλόβιος δὲ ἀνέκαθεν, ἐλήφθη πολλάκις φωραθεὶς μοιχός. Ἐκ τούτου ὁ τότε πατριάρχης Ἀθανάσιος ὀνόματι, ἠγωνίσθη αὐτὸν μὲν ἵνα καθῄρῃ, ἄλλον δὲ ἵνα χειροτονήσῃ καὶ ἀντ' ἐκείνου μητροπολίτην τῆς Βερροίας ἢ Χαλεπίου καταστήσῃ. Ἐκ τούτου σχίσμα συνέβη μεταξὺ τῶν Βερροιωτῶν ἢ Χαλεπλίδων χριστιανῶν· οἱ γὰρ συγγενεῖς τοῦ καθαιρεθέντος πλούσιοι καὶ τῶν πρώτων τῆς πόλεως ὄντες, θυμωθέντες διὰ τὴν καταφρόνησιν τοῦ συγγενοῦς αὐτῶν, οὐκ ἐδέχοντο νέον μητροπολίτην, οὐδὲ ἀπήρχοντο εἰς τὴν ἐκκλησίαν τὴν κοινήν. Ἰδιοποιησάμενοι δὲ ναόν τινα, ἔβαλον ἐκεῖ τὸν καθαιρεθέντα συγγενῆ αὐτῶν καὶ ἐλειτούργει αὐτοῖς, ἔχοντα καὶ ἱερεῖς τῆς ἑαυτοῦ φατρίας, χειροτονήσαντα δὲ καὶ ἄλλους, οὓς ἤθελε· καὶ ἐν ἑνὶ λόγῳ δύο φατρίαι κατέστη τὸ Χαλέπι, τῶν μὲν ἐχόντων τὸν καθῃρημένον, τῶν δὲ τὸν νέον μητροπολίτην, μὴ συγκοινωνούντων οὕτως ἀλλήλοις· ὡς αἱρετικὸν δὲ τὸ ἓν μέρος ἐθεώρει τὸ ἄλλο. Ὁ δὲ ῥηθεὶς πατριάρχης ἠγωνίσθη, ὅπως

διορθώσῃ τὰ πράγματα· ἀλλ' οὐκ ἠδυνήθη. Ὅθεν ἔγραψε τῇ Μεγάλῃ Ἐκκλησίᾳ, ἣ δὲ ἔγραψε τῷ καθῃρημένῳ συμβουλεύουσα, ἵνα ἡσυχάσῃ οἴκαδε καὶ φροντίζῃ μόνον περὶ τῆς οἰκείας σωτηρίας, ὅτι κανονικῶς διὰ τὴν πᾶσι φανερὰν γενομένην ἁμαρτίαν ἐστὶ καθῃρημένος, καὶ ἄλλα πολλά· ἀλλ' αὐτὸς τὴν τοιαύτην ἐπιστολὴν λαβών, οὐ μόνον οὐκ ἐπαύσατο, ἀλλὰ καὶ χείρων ἐγένετο, καὶ ἐχειροτόνει ἱερεῖς καὶ τὰ λοιπά. Ὅθεν ἡ Μεγάλη Ἐκκλησία ἀνέφερε ταῦτα εἰς τὴν Ὑψηλὴν Πόρταν, ἣ δὲ ἔγραψε τῷ εἰς τὸ Χαλὲπ πασᾷ, ὅπως συλλάβῃ καὶ αὐτὸν καὶ ἐξορίσῃ· ἀλλ' ὁ πασᾶς φίλος ὢν αὐτοῦ διὰ τὴν τῶν συγγενῶν καὶ αὐτοῦ τοῦ ἰδίου πλουσιότητα καὶ ἐπομένως ἰσχὺν (ἔχοντος) ἐν πᾶσιν, ἔστειλεν αὐτῷ εἴδησιν τῶν τρεχόντων, ὅπως τὸ τάχος φύγῃ ὅπου θέλει. Ταῦτα δὲ μαθόντες οἱ ἐκεῖ περιφερόμενοι Ἰησουῖται, ἀπῆλθον εἰς αὐτὸν καὶ παρεκίνησαν ὅπως ἀπέλθῃ εἰς τὸν πάπαν καὶ λάβῃ ἐκεῖθεν καὶ τὴν συγχώρησιν τῶν ἑαυτοῦ ἁμαρτιῶν καὶ τὴν λύσιν τῆς καθαιρέσεως, καὶ πρὸς τούτοις ἀφορίαν ἐναντίον τῶν αὐτῷ πολεμίων· ὁ δὲ ἰδὼν ὅτι οὐκ ἔχει ποῦ ἄλλοθι καταφύγῃ, μετασχηματισθεὶς ἀπῆλθεν εἰς Ῥώμην, καὶ προσκυνήσας τὸν πάπαν ἔλαβεν οὐ μόνον τὴν ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τὴν λύσιν τῆς καθαιρέσεως, ἀλλὰ καὶ τίτλον πατριάρχου ἐπὶ συμφωνίᾳ εἰς τὰ ἑξῆς ἄρθρα· πρῶτον, ὅπως γνωρίζῃ αὐτὸν τὸν πάπαν κεφαλὴν τῆς ἐκκλησίας μόνην· δεύτερον, ὅπως γινώσκῃ αὐτὸν ἀναμάρτητον· τρίτον, ὅπως μνημονεύῃ αὐτοῦ μόνον· τέταρτον, ὅπως προσθῇ εἰς τὸ ἱερὸν σύμβολον τὴν προσθήκην "καὶ ἐκ τοῦ υἱοῦ"· πέμπτον, δεχθῇ δὲ καὶ τὴν γνώμην τὴν περὶ τοῦ καθαρτηρίου πυρὸς καὶ οὐδὲν ἄλλο, ἔχῃ δὲ ἄδειαν τοῦ μονάρχου τῆς Ῥώμης φυλάττειν ἀπροκριματίστως πάντα τὰ ἔθιμα τῆς ἀνατολικῆς ἐκκλησίας, δηλαδὴ λειτουργεῖν μετὰ ἐνζύμου ἄρτου, φυλάττειν τὰς ἀρχαίας ἑορτὰς καὶ καλενδάριον, ἐνδύεσθαι τὰ αὐτὰ ἱερατικὰ καὶ ἀρχιερατικὰ ἄμφια, καὶ ἐν ἑνὶ λόγῳ ἀκολουθεῖν κατὰ πάντα τῇ ἀρχαίᾳ τῶν Γραικῶν ἐκκλησίᾳ εἰς τὰ ἑπτὰ μυστήρια καὶ ἔχειν τὰς αὐτὰς τάξεις τῆς ἐκκλησίας, καὶ τὰ ἀναγνώσματα καὶ ὀνόματα καὶ νηστείας κτλ. Ἔδωκε δὲ αὐτῷ ἄδειαν εἰς τὸ χειροτο-

νεῖν τοὺς πορνεύσαντας καὶ εἰς ἄλλο θανάσιμον ἁμάρτημα ἐμπεσόντας, καὶ ἁρμόζειν εἰς γάμον καὶ ἕως τετάρτου βαθμοῦ, καὶ ἄλλα τοιαῦτα· ὑπέσχετο δ' αὐτῷ καὶ χρηματικὴν βοήθειαν καὶ ὑπεράσπισιν, ἐὰν δυνηθῇ συστῆσαι ἰδίαν ἐκκλησίαν.

Τούτων γενομένων ἐπέστρεψεν εἰς τὸ Χαλὲπ ὁ χαλεπὸς παποπατριάρχης, γράμμασιν ἐφωδιασμένος ὑπὸ τοῦ πάπα πρὸς τοὺς ἐκεῖ κονσόλους καὶ χρήμασιν ἱκανοῖς. Τότε δὴ τότε τίς διηγήσεται τὰ σχίσματα καὶ χαλεπὰ σκάνδαλα τῶν χαλεπῶν Χαλεπηνῶν; ὁ γὰρ παπολάτρης πατριάρχης ὑπερασπιζόμενος ἤδη ὅλαις δυνάμεσιν ὑπὸ τῶν προξένων διὰ τὰς βούλλας τοῦ πάπα, ἔπραττεν ἤδη πάντα ἀδεῶς καὶ ἀναφανδόν, βαπτίζων τοὺς ἐκ τῆς ἰδίας φατρίας, γάμους ποιῶν καὶ συνοικέσια παράνομα καὶ χειροτονίας ἀθεμίτους, οὐχὶ εἰς ναόν τινα, ἀλλ' εἰς οἴκους, προσαγόμενος εἰς ἑαυτὸν ὁσημέραι πτωχούς τινας καὶ ἀγύρτας διὰ τῶν πλουσίων, ὡς εἴρηται, συγγενῶν αὐτοῦ. Πληθυνομένου οὖν τοῦ σχίσματος καθ' ἡμέραν, ὁ τότε πατριάρχης Ἀντιοχείας ἀνέφερε δι' ἐπιστολῶν τῇ Μεγάλῃ Ἐκκλησίᾳ τὰ τρέχοντα καὶ αὖθις δεινὰ εἴς τε τὸ Χαλὲπ καὶ τὰ πέριξ· ἡ δὲ πάλιν ἐδήλωσε τὰ πάντα τῇ Ὑψηλῇ Πόρτα δι' ἀναφορᾶς. Ἀπεστάλη οὖν ὁρισμὸς ἔντονος εἰς τὸ Χαλέπ, ὅπως ὁ μὲν παπολάτρης πατριάρχης μακρὰν φυγαδευθεὶς μὴ ἴδῃ ἔξης οὐδέποτε τὸ Χαλέπ, οἱ δὲ ὑπ' αὐτοῦ χειροτονηθέντες, ξυρισθέντες τὸν πώγωνα καὶ τοῦ ἐκκλησιαστικοῦ συνήθους ἐκεῖ σχήματος γυμνωθέντες, ἔσονται τοῦ λοιποῦ κοινολαΐται, ἄκυρα δὲ νομισθῶσι καὶ τὰ παρανόμως γεγονότα συνοικέσια· καὶ ὅτι εἰς ὅν τινα οἶκον φωραθῇ ἐπιτελουμένη λειτουργία, ἐκεῖνος ὁ οἶκος κρημνισθῇ ἐκ θεμελίων, καὶ ἄλλα τοιαῦτα. Ταῦτα μὲν οὖν ἐξετελέσθησαν, καὶ ὁ μὲν φυγαδεύεται, οἱ δὲ συλληφθέντες ἱερεῖς ξυρισθέντες, κατὰ τὴν προσταγήν, προσετάγησαν σφοδρῶς μηδὲν τῶν τῆς ἱερωσύνης ἐπιτελεῖν· ἐχωρίσθησαν δὲ καὶ τὰ παράνομα συνοικέσια, ἀλλὰ πρὸς καιρόν· μετὰ ταῦτα γὰρ οἱ κρατοῦντες, ὁ πασᾶς δηλαδὴ καὶ ὁ μουλλᾶς χρήματα λαμβάνοντες συνεχώρουν αὐτοῖς τὴν συνοίκησιν.

Ταῦτα μὲν οὖν ἐγένοντο· ἀλλ' ἡ φλόξ τῆς πεισμονῆς μᾶλλον

καὶ μᾶλλον ὑψοῦτο, διότι ὁ μὲν παπολάτρης πατριάρχης φυγὼν εἰς τὸ Λιβάνιον ὄρος, ἐκεῖθεν ἐνήργει κρυφίως ὅσα ἐδύνατο· οἱ δὲ αὐτοῦ συγγενεῖς καὶ συναποστάται, κατολίκων κλῆσιν ἐξῆς λαβόντες, ἤτοι καθολικῶν, οὐκ ἀπήρχοντο ὅλως εἰς τὴν κοινὴν ἐκκλησίαν τῶν χριστιανῶν· φέροντες δὲ τοὺς ξυρισμένους ἱερεῖς αὐτῶν μετεσχηματισμένους εἰς τοὺς ἑαυτῶν οἴκους, ἐλειτούργουν κρυφίως καὶ τὰ ἄλλα μυστήρια καὶ ἔθιμα ἐπετέλουν. Ἐλθούσης δὲ καὶ δευτέρας καὶ τρίτης σφοδρᾶς προσταγῆς τῆς Ὑψηλῆς Αὐλῆς, ὅπως πάντες οἱ ἀπ' ἀρχῆς εὑρεθέντες εἰς τὴν τῶν Ῥωμαίων θρησκείαν ἔπωνται ἐκείνῃ καὶ οὐδεμιᾷ ἄλλῃ καὶ ὅπως πάντες οἱ Ῥωμαῖοι καλούμενοι ἀπέρχωνται ἀφεύκτως εἰς τὴν προγονικὴν αὐτῶν ἐκκλησίαν καὶ οὐκ εἰς ἄλλην, ἀπήρχοντο καὶ αὐτοὶ κατὰ τὸ φαινόμενον καὶ εἰς τὰς Κυριακὰς καὶ ἑορτὰς καὶ ἐλειτουργοῦντο καὶ μετελάμβανον καὶ τὰ τέκνα αὐτῶν ἐβάπτιζον ἐκεῖ καὶ διὰ τῆς αὐτῆς ἐκκλησίας τὰ μυστήρια ἐλάμβανον. Ἦσαν δὲ τὰ πλεῖστα ἐν ἀπάτῃ, διότι κρυφίως καὶ τὰ τέκνα αὐτῶν ὑπὸ τῶν κατολίκων ἱερέων ἀνεβαπτίζοντο καὶ τοὺς γάμους ἀνευλόγουν κτλ. οὕτω γὰρ ἐδίδασκον αὐτοὺς οἱ Ἰησουῖται καὶ ὁ σφῶν πατριάρχης ὑποκρίνεσθαι ἀπροκριματίστως, προτρέποντες αὐτοὺς μὴ φυλάττειν τὰς πατροπαραδότους νηστείας, ἀλλ' ἐσθίειν ἰχθύας Τετράδα καὶ Παρασκευὴν καὶ αὐτῇ τῇ μεγάλῃ τεσσαρακοστῇ, ὡς ποιοῦσι καὶ τὴν σήμερον. Ταῦτα βλέποντες οἱ κατὰ καιρὸν ἀρχιερεῖς τῆς ἐπαρχίας καὶ ὁ Ἀντιοχείας, ἐδυσφόρουν μέν, περιέμενον δὲ τὴν ἐπιστροφὴν αὐτῶν γενέσθαι ἴσως μετὰ τὸν θάνατον τοῦ παπολάτρου πρώην Χαλεπίου· ἀλλ' ἐψεύσθησαν τῶν ἐλπίδων· διότι ἐκεῖνος ἀδεία τοῦ πάπα ἐκεῖ εἰς τὸ Λιβάνιον ὄρος εὑρισκόμενος εἰς ἓν μοναστήριον τῶν Μαρωνιτῶν, ἐχειροτόνησε τὸν ἑαυτοῦ ἀνεψιὸν ἐπίσκοπον καὶ μητροπολίτην Χαλεπίου καὶ μετὰ ταῦτα διὰ τῆς βούλλας τοῦ πάπα καὶ διάδοχον αὐτοῦ κατέλιπε πατριαρχεύειν τοῦ τοιούτου κόμματος ἢ σχίσματος, ὅπερ οὐ διέφερε τότε ὅλως τῆς ὀρθοδοξίας, εἰ μὴ κατὰ τὴν κατάλυσιν τῶν νηστειῶν εἰς ἰχθύας καὶ τὸ μνημόσυνον τοῦ πάπα.

Ἔκτοτε οὖν ὥς τις γάγγραινα τοῦτο τὸ σχίσμα ἐλάμβανε

πρόοδον, οὐ μόνον εἰς τὸ Χαλέπ, ἀλλὰ καὶ εἰς τὸ Λιβάνιον ὄρος, ὅπου ὁ κατολικοπατριάρχης εἶχε τὴν διαμονὴν καὶ κατοικίαν καὶ διεδίδετο ἡ τῆς πεισμονῆς φλὸξ καὶ ηὐξάνετο, ὅλην εὑρίσκουσα πρῶτον τὰ συνοικέσια, δεύτερον τοὺς ἀνιέρους ἱερεῖς καὶ τρίτον τὴν κατάλυσιν τῶν νηστειῶν· ἐπιρρεπεῖς γὰρ οἱ Ἄραβες καὶ ἔκδοτοι εἰς τὴν κοιλιοδουλείαν καὶ ἐπομένως εἰς τὰ λοιπὰ πάθη. Καιροῦ προϊόντος, πληθυνθέντες οἱ κατόλικοι διὰ τοῦ πλούτου καὶ τῆς πρὸς ἀλλήλους ἑνώσεώς τε καὶ ὁμονοίας, ἴσχυσαν καὶ ναοὺς ἀνεγεῖραι εἰς τὸ Λιβάνιον ὄρος, ἔχοντες καὶ τοὺς Ἰησουίτας ὁδηγοὺς εἰς τὰ συμφέροντα καὶ τοὺς κονσούλους βοηθοὺς καὶ αὐτοὺς τοὺς κρατοῦντας διὰ τῆς δόσεως τοῦ χρυσίου. Ἔργον δὲ εἶχον ἀπαραίτητον τότε οἱ κατόλικοι τὸ φιλονεικεῖν μετὰ τῶν ὀρθοδόξων, παριστῶντες τὴν τῶν ἰχθύων κατάλυσιν συγκεχωρημένην, ἀλλὰ δὴ καὶ τὴν τετραγαμίαν, νὴ Δία γε καὶ τὴν πενταγαμίαν ἔννομον καὶ ἄλλα τοιαῦτα πρόσφορα καὶ προσφιλῆ τῇ διαθέσει τῶν τῆς Συρίας κατοίκων.

Τῆς λύμης οὖν τῆς περὶ τὰ τοιαῦτα διαφθορᾶς βοσκομένης ἀπὸ Χαλεπίου ἕως Δαμασκοῦ καὶ τῶν παραλίων τῆς Συρίας, ἐφωρᾶτο καθ' ἡμέραν φρικτὴ αἱμομιξία, καταντήσαντος τοῦ γάμου οὐ μόνον εἰς τὸν ἕκτον, ἀλλὰ καὶ πέμπτον καὶ τέταρτον βαθμόν, γενόμενον ἀπὸ φαυλοβίους ἱερεῖς ἀδιαφόρους εἰς τοὺς νόμους τῆς ἱερᾶς θρησκείας. Αἱ Τετράδαι καὶ Παρασκευαὶ καὶ ὅλαι ἐπίσης αἱ ἡμέραι τῶν νηστειῶν κατελύοντο ὑπὸ τῶν πλειόνων εἰς ὀψάρια εἰς ὅλας τὰς πόλεις τῆς Συρίας καὶ μάλιστα τὸ Χαλὲπ καὶ τὴν Δαμασκόν, ὅπου τὸ πλεῖστον μέρος ὁ Ἀντιοχείας πατριάρχης διάγει. Τῷ δὲ 1747 συνέβη καὶ ἄλλη αἰτία προόδου καὶ αὐξήσεως τοῦ Ἀραβοκατολικισμοῦ εἰς τὴν Συρίαν καὶ τὰ ταύτης παράλια· ἦν δὲ ἡ ἑξῆς. Ὁ τότε πατριαρχεύων Ἀντιοχείας Σίλβεστρος, ἀνὴρ οὐ μόνον πεπαιδευμένος, ἀλλὰ καὶ ἐνάρετος καὶ ζηλωτὴς τῆς θρησκείας τῆς ὀρθοδόξου, ὁρῶν τὴν τοσαύτην τῶν ἑαυτοῦ ἐπαρχιωτῶν τῶν νόμων παράβασιν κατά τε τὰ συνοικέσια καὶ τὰς νηστείας, ἠθέλησεν ὅπως διορθώσῃ αὐτοὺς διὰ συγκαταβάσεώς τινος περὶ τὰ τοιαῦτα. Ἐν μιᾷ οὖν Κυριακῇ συγκαλεσάμενος τὸ ἱερα-

τεῖον καὶ τοὺς προύχοντας τῆς Δαμασκοῦ εἰς τὸ Πατριαρχεῖον, ἐλάλησεν αὐτοῖς περὶ τῆς πατροπαραδότου ὀρθοδοξίας καὶ τῆς ἀνάγκης τῆς τῶν θείων νόμων τηρήσεως· μετὰ δὲ εἶπεν αὐτοῖς τὰ ἑξῆς. «Βλέπω, τέκνα μου περιπόθητα, ὅτι χωλαίνετε περὶ τὴν ἱερὰν τῶν πατέρων ἡμῶν πίστιν· βλέπω πολλοὺς ἐξ ὑμῶν ἄνδρας τε καὶ γυναῖκας καταλύοντας ἰχθύας Τετράδα καὶ Παρασκευήν· ἀκούω δέ τινας καὶ τῇ μεγάλῃ τεσσαρακοστῇ τοῦτο ποιοῦντας, ὅπερ μίμησίς ἐστιν ἀποτρόπαιος τῶν λατινοφρονούντων. Λοιπόν, τέκνα ἀγαπητά, ἐάν ἐστε τέκνα τῆς ἀνατολικῆς ἐκκλησίας, χρεῶσταί ἐστε φυλάττειν τὰς πατροπαραδότους νηστείας· ἡ πίστις γὰρ ἐκ τῶν ἔργων γνωρίζεται, οὐκ ἐκ τῶν λόγων μόνον. Ἐγὼ πολλάκις ἐπ' ἐκκλησίας ἐδίδαξα ὑμᾶς παραστήσας διὰ πολλῶν ἀποδείξεων τὸ κῦρος τῆς νηστείας καὶ τὸ χρέος αὐτῆς, ἀλλ' οὐκ ἠκούσατε. Ἄθλιος ἐγὼ καὶ δυστυχής, εὑρεθεὶς εἰς τοιοῦτον καιρὸν ἀρχιερεὺς καὶ ποιμὴν ὑμῶν, ὡς μὴ ὤφελον! διότι θέλων οἰκονομῆσαι ὑμᾶς συγκατάβασιν ποιῶ περὶ τὰ συνοικέσια καὶ συγχωρῶ μεταλαμβάνειν τοὺς παραβαίνοντας τοὺς νόμους τῆς νηστείας· ἀλλὰ ταῦν, κατ' ἀπαραίτητόν μου χρέος, ὁρκίζω πάντας φυλάττειν καὶ Τετράδα καὶ Παρασκευὴν καὶ τὴν μεγάλην τεσσαρακοστὴν καὶ μὴ καταλύειν ἰχθύας, ὡς οἱ Φράγκοι, ἀλλ' ἔλαιον μόνον. Χαριζόμενος ὅμως καὶ ἐγὼ τῇ γαστριμαργίᾳ ὑμῶν καὶ κοιλιοδουλείᾳ, παρανομῶ καὶ ποιῶ συγκατάβασιν τὴν ἑξῆς. Ὅταν εἰς Τετράδα καὶ Παρασκευὴν συμβαίνῃ μνήμη τινὸς ἁγίου καὶ ἔχῃ δοξολογίαν, ἔχετε ἄδειαν ἐσθίειν ἰχθύας· ἐὰν δὲ οὐκ ἔστι δοξολογία μεγάλη, μὴ τολμήσῃ τις φαγεῖν, διότι ἔχω αὐτὸν ἀσυγχώρητον καὶ ἄδειαν μεταλαβεῖν τῶν ἀχράντων μυστηρίων οὐ δίδωμι. Ὅστις δὲ ἱερεὺς μεταδῷ τοῖς τοιούτοις τὰ θεῖα μυστήρια, ἔχω αὐτὸν ἀργὸν πάσης ἱεροπραξίας".

Ταῦτα εἶπεν ὁ ἁγιώτατος ἐκεῖνος πατριάρχης Σίλβεστρος, καὶ ἀναστενάξας βαρέως ἔκλαυσεν· οἱ δὲ ἱερεῖς καὶ ἄρχοντες ὑπέσχοντο φυλάττειν τὴν τοιαύτην ἐντολήν, καὶ ἀναχωρήσαντες ἐφύλαττον εἰς πολλὰς ἡμέρας. Ἀλλ' ὁ κοινὸς τῆς εἰρήνης ἐχθρὸς οὐδ' οὕτως ἀφῆκε τὰ πράγματα· διότι τοῦ ῥηθέντος πατριάρχου

ἐξελθόντος εἰς τὰ πέριξ, πρὸς ἐπίσκεψιν τῶν χριστιανῶν, ὁ τῆς Δαμασκηνῶν ἐκκλησίας οἰκονόμος, ὀνόματι δηλαδὴ Μωσῆς, συμφωνήσας μετά τινων ἀσυνειδήτων ἀρχόντων, ἑκάστην Τετράδα καὶ Παρασκευὴν μεγάλην δοξολογίαν ψάλλοντες κατέλυον ὀψάρια, λέγοντες τωθαστικῶς ταῦτα· «Ὁ πατριάρχης ἡμῶν παρήγγειλεν ἡμῖν μὴ ἐσθίειν ὀψάρια, μὴ οὔσης δοξολογίας· ἰδοὺ δὲ ἡμεῖς ψάλλοντες δοξολογίαν οὐχ ἁμαρτάνομεν τρώγοντες». Ἔμαθε ταῦτα ὁ πατριάρχης καὶ πολὺ ἐλυπήθη διὰ τὴν δυστροπίαν καὶ στρεβλότητα τοῦ οἰκονόμου· ἀλλ' οὐκ εἶχε τί ποιῆσαι. Μεθ' ἡμέρας δὲ ἐπιστραφεὶς εἰς τὸ Πατριαρχεῖον ἐκάθητο περίλυπος· μιᾷ δὲ Παρασκευῇ τῇ ὥρᾳ τοῦ ἀρίστου ἐσθίοντος κυάμους βεβρεγμένους ἄνευ ἐλαίου μετὰ ἄρτου καὶ ὀλίγων ἐλαιῶν (ἦν γὰρ ἐγκρατὴς πάνυ καὶ εὐλαβής), ἰδοὺ ἔρχεται ὁ ῥηθεὶς οἰκονόμος ἔχων ὑπόθεσιν. Ποιήσας οὖν μετάνοιαν, ὡς ἔθος, ἐκάθησεν· ὁ δὲ πατριάρχης εἶπεν αὐτῷ· "Ἐλθέ, ἅγιε οἰκονόμε, ἵνα συναριστήσωμεν"· ὁ δὲ εἶπεν· "Ἐφάγομεν, δέσποτα, καὶ ἠριστήσαμεν". "Καὶ τί ἐφάγετε, τέκνον"; ἠρώτησεν ὁ πατριάρχης· "Ὀψάρια, δέσποτα", ἀπεκρίθη ὁ οἰκονόμος. Ἀναστενάξας δὲ ὁ πατριάρχης εἶπεν· "Διατί, τέκνον, ἐφάγετε ὀψάρια; σήμερον Παρασκευή, μὴ οὔσης δοξολογίας". "Ἀλλ' ἐψάλαμεν, δέσποτα", εἶπεν ὁ οἰκονόμος, "ἡμεῖς δοξολογίαν καὶ κατελύσαμεν μετὰ τοῦ δεῖνος καὶ δεῖνος τῶν ἀρχόντων". Ἐπιπλήξας δὲ αὐτὸν ὁ πατριάρχης καὶ ἀποδείξας σκανδαλοποιόν, ἐπεχείρησε διδάξαι αὐτὸν περὶ νηστείας λέγων πολλά. Ἀλλ' αὐτὸς ἐναντιεῖτο λέγων, "Ὁ Χριστὸς εἶπεν· οὐ πᾶν τὸ εἰσερχόμενον, ἀλλὰ τὸ ἐξερχόμενον κοινοῖ τὸν ἄνθρωπον". καὶ ἄλλα τοιαῦτα. Ἀγανακτήσας οὖν ὁ πατριάρχης διὰ τὴν αὐθάδειαν τοῦ οἰκονόμου καὶ πεισμονήν, ἀπεδίωξεν αὐτόν· τῇ δὲ ἐρχομένῃ Κυριακῇ σταθεὶς εἰς τὸν θρόνον, μετὰ τὴν ἀνάγνωσιν τοῦ ἱεροῦ εὐαγγελίου, ἐδίδαξεν ἱκανῶς τὸν λαὸν περὶ νηστείας· μετὰ δὲ εἶπε καὶ ταῦτα. "Ἐγὼ ὁρῶν τὴν διὰ τὴν κοιλίαν ἀκρασίαν ὑμῶν συγκαταβὰς ἔδωκα ὑμῖν ἄδειαν, ἔξω οὖσαν τῶν θείων κανόνων, καταλύειν Τετράδα καὶ Παρασκευὴν ἔχουσαν δοξολογίαν ἁγίου· ἀλλὰ τινὲς ἐξ ὑμῶν τὰ θεῖα ἐμπαίζοντες ποιοῦσι δοξολογίαν

μεγάλην πᾶσαν Τετράδα καὶ Ἕκτην τῆς ἑβδομάδος, καὶ οὕτως ἀσυνειδήτως παραβαίνουσι τοὺς τῶν θείων πατέρων κανόνας, ἐσθίοντες ὀψάρια, μὴ διακρίνοντες μεταξὺ δεσποτικῆς καὶ θεομητορικῆς ἑορτῆς καὶ αὐτῆς τῆς καθημερινῆς. Ὅθεν, τέκνα περιποθητα, ἐγὼ τοσούτους χρόνους οἰκονομῶν ὑμᾶς, συγκατάβασιν ἐποίησα εἰς πολλά, παράβασιν τῶν θείων κανόνων ποιησάμενος· ἀλλ' ἰδοὺ ὁρῶ ἐν μεγάλῃ θλίψει καὶ συνοχῇ τῆς ἐμῆς καρδίας, ὅτι τρέχετε εἰς τὸ χεῖρον. Ὅθεν λέγω ὑμῖν, ἐν ἁγίῳ πνεύματι ἀποφαινόμενος, ὅτι ὅστις τῶν ἁγίων πατέρων τοὺς ὅρους φυλάττει, ἀκολουθῶν καὶ ὑπακούων τῇ ἁγίᾳ κοινῇ ἡμῶν μητρί, τῇ ἀνατολικῇ φημὶ ἐκκλησίᾳ, εἴη εὐλογημένος παρὰ Κυρίου παντοκράτορος· ὅστις δὲ παρὰ τοὺς πατροπαραδότους κανόνας καὶ συνηθείας καταλύει τὰς Τετράδας καὶ Παρασκευάς, ἄνευ τῶν δεσποτικῶν καὶ θεομητορικῶν ἑορτῶν καὶ ἄνευ σημαντικῆς ἀσθενείας, ὁ τοιοῦτος, ὅστις ἂν ᾖ, εἴη ἀσυγχώρητος καὶ ἀνάξιος τῶν ἀχράντων μυστηρίων· καὶ ὅστις τῶν ἱερέων κοινωνήσει αὐτόν, ἔστω ἀργὸς πάσης ἱεροπραξίας· ἔχομεν δὲ καθηρημένον τῆς ἱερωσύνης καὶ τὸν παπᾶν Μοῦσα (δηλαδὴ Μωυσῆν) οἰκονόμον, τὸν τοῦ σκανδάλου αἴτιον, τὸν καὶ πολλάκις παρανόμους γάμους εὐλογήσαντα καὶ τῇ ἐμῇ ἀναξιότητι οὐδαμῶς ὑποταττόμενον".

Ταῦτα τοῦ πατριάρχου λέγοντος, μέγας θόρυβος ἐγένετο εἰς τὴν ἐκκλησίαν· ὁ γὰρ οἰκονόμος ἐκεῖνος ἀκούων τὴν ἑαυτοῦ καθαίρεσιν ὥρμησεν ἐναντίον τοῦ πατριάρχου, καὶ ἂν μὴ ἐκωλύετο ὑπὸ τῶν χριστιανῶν, πάντως ἀπευκταῖόν ἄν τι διεπράξατο. Ταὐτοχρόνως καὶ οἱ αὐτοῦ συγγενεῖς δραμόντες εἰς τὸ μέσον τῆς ἐκκλησίας ὕβριζον αὐτὸν καὶ ἔλεγον, ὅτι οὐ γνωρίζουσιν αὐτὸν πατριάρχην, ἀλλὰ τὸν πάπαν, καὶ ἄλλα τοιαῦτα ἐναντία. Ὁ δὲ πατριάρχης μετὰ τὴν θείαν λειτουργίαν ἐκάλεσε τοὺς ἄρχοντας καὶ τὸν οἰκονόμον κριθῆναι καὶ διαλλαγῆναι ἐνώπιον αὐτῶν· ἀλλ' ὁ οἰκονόμος οὐκ ἀπῆλθεν, ἀλλὰ καὶ εἰς πεῖσμα τοῦ πατριάρχου φορέσας ὑπῆγεν εἰς τὸν οἶκον τῶν αὐτοῦ συγγενῶν καὶ ἐλειτούργησεν αὐτῇ τῇ ὥρᾳ, λέγων καὶ μνημονεύων τὸ ὄνομα τοῦ πάπα. Ὅπερ οἱ ἐν Δαμασκῷ διατρίβοντες ἔμποροι Χαλεπηναὶ κατόλικοι μα-

θόντες ἀπῆλθον πρὸς αὐτὸν καὶ παρεκίνησαν μὴ ὑποταγῆναι ἔτι τῷ πατριάρχῃ, ὑποσχόμενοι αὐτῷ πᾶσαν ὑπεράσπισιν καὶ βοήθειαν κτλ. Ἐκ τῆς ῥηθείσης οὖν αἰτίας ἤρξατο καὶ εἰς τὴν Δαμασκὸν καὶ τὰ πέριξ ἡ διχοστασία, ἢ μᾶλλον εἰπεῖν ἀποστασία, καὶ τὸ σχίσμα καὶ ἐπληθύνοντο· διότι πᾶς ὁ διὰ τετραγαμίαν καὶ συγγένειαν ἢ αἱμομιξίαν ἔξω ὢν τῆς τοῦ Χριστοῦ ἐκκλησίας ἀπήρχετο πρὸς τὸν οἰκονόμον, ὃς ηὐλόγει τοὺς τοιούτους παρανόμους γάμους καὶ ἐλειτούργει πρὸς πεισμονὴν τοῦ πατριάρχου. μὴ δυναμένου αὐτὸν κακοποιῆσαι, ὡς αὐτοῦ τε καὶ τῶν αὐτοῦ συγγενῶν πλουσίων καὶ πρώτων τῆς πόλεως ὄντων καὶ ἡνωμένως μετὰ τῶν ἐμπόρων χαλεπῶν Χαλεπηνῶν. Ἀλλ' ὁ μὲν θεοστυγὴς ἐκεῖνος οἰκονόμος μετὰ ἑπτὰ μῆνας δίκῃ θείᾳ ἀπώλετο, οἱ δὲ συγγενεῖς αὐτοῦ καὶ ὅσοι παράνομοι διὰ τοὺς γάμους καὶ τὴν κοιλίαν σχισματικοὶ ἐγένοντο, ἔμειναν τοιοῦτοι καὶ ἐπληθύνοντο.

Γράψαντος δὲ τοῦ πατριάρχου Σιλβέστρου καὶ δηλώσαντος τῇ Μεγάλῃ Ἐκκλησίᾳ (ταῦτα), ἀπεστάλη πάλιν ὁρισμὸς τῆς Ὑψηλῆς Πόρτας, ὅμοιος τῷ ὄπισθεν (σελίδι 468) γραφέντι, πολὺ σφοδρότερος· καὶ συνεστάλησαν μὲν αἱ ταραχαὶ ὀλίγον, ἀλλὰ εἰς τὰς παραλίους πόλεις τῆς Συρίας καὶ εἰς αὐτὸ τὸ Λιβάνιον ὄρος μάλιστα φαυλόβιοί τινες ἱερομόναχοι διὰ μοιχείαν καὶ πορνείαν καθαιρεθέντες κατόλικοι ἐγένοντο καὶ ἐλειτούργουν, κανόνα μικρὸν δεχόμενοι παρὰ τοῦ ἐκεῖσε ἐμφωλεύοντος κατολικοπατριάρχου· οἵτινες τὰ αὐτὰ ῥάσα καὶ καμηλαύχια φοροῦντες περιήρχοντο τὰς κώμας ἀπατῶντες τοὺς ἁπλουστέρους· οὐδεμίαν γὰρ διαφορὰν εἰς τὴν θρησκείαν καὶ εἰς τὰ ἔθιμα ἔβλεπον, εἰ μὴ μόνον τὴν κατάλυσιν τῶν νηστειῶν εἰς ἰχθύας καὶ τὸ τοῦ πάπα μνημόσυνον, καὶ τοῦτο δὲ σπανίως γενόμενον.

Τῷ δὲ 1759 οἱ ἐν Παλαιστίνῃ καὶ Συρίᾳ περιερχόμενοι Ἰησουῖται συνενοηθέντες μετὰ τῶν ἐν Ἱερουσαλὴμ Φραγκισκάνων ἐδίδασκον τοὺς Ἀραβοκατολίκους, ὅτι ἐὰν μὴ ἕπωνται τῇ Ῥωμαϊκῇ ἐκκλησίᾳ κατὰ τὰ ἔθιμα, οὐκ εἰσὶ κατόλικοι, ἀλλὰ ἡμικατόλικοι καὶ ἐπομένως οὐδὲν διαφέρουσι τῶν Γραικῶν, μὴ συμφωνοῦντες αὐτοῖς κατὰ τὸ καλενδάριον, τὴν νηστείαν τοῦ Σαββάτου,

τὸ κλίνειν γόνυ καὶ ἄλλα. Ἐγένετο οὖν μερισμὸς καὶ σχίσμα (μέσον) αὐτῶν καὶ ἔγραψαν ἀμφότερα τὰ μέρη εἰς τὸν πάπαν· ὁ δὲ τότε πάπας ἔγραψε κοινῶς εἰς ὅλους αὐτοὺς τοὺς κατολίκους ταῦτα. «Ἀπ' ἀρχῆς ἡ ἀδελφὴ ἡμῶν ἀνατολικὴ ἐκκλησία διέφερε τῆς δυτικῆς κατὰ τὰ ἔθιμα· ἀλλ' οἱ μέχρις ἡμῶν ἄκροι ἀρχιερεῖς εὐέχοντο τὰ τοιαῦτα, ἀποβλέποντες εἰς μόνον τὰ δόγματα· ὅθεν δεχόμεθα καὶ ἡμεῖς ταῦτα. μηδόλως τὴν καθολικὴν βλάπτοντα πίστιν· οὐ γὰρ διαφέρει, ἐάν τις καθολικὸς ἱερεὺς λειτουργήσῃ δι' ἀζύμου ἢ ἐνζύμου ἄρτου, ἢ τὸ πάσχα καὶ ἄλλας ἑορτὰς κατὰ τὸ παλαιὸν ἢ νέον καλενδάριον· καὶ ἡ νηστεία δὲ τοῦ Σαββάτου ὑπὸ τῶν δυτικῶν καθολικῶν γινομένη ἔκπαλαι, οὐκ ἔστι δόγμα, ἀλλὰ συνήθεια φυλαττομένη. Ὅθεν, ἐπειδὴ ἡ ὑμετέρα χριστιανικὴ εὐσέβεια θέλει ἵνα φυλάττῃ τὰ πατραπαράδοτα τῆς ἀνατολικῆς ἐκκλησίας ἔθιμα, οὐδὲν κωλύει· ὅθεν δίδομεν ὑμῖν τὴν ἄδειαν ἔπεσθαι καὶ τοῦ λοιποῦ τοῖς ἀπ' ἀρχῆς εὑρεθεῖσιν ἐθίμοις ἀπροκριματίστως ἔχειν ἀγάπην καὶ ὁμόνοιαν ἐν ἀλλήλοις. Ἡμεῖς δὲ οὐδὲν ἄλλο παρ' ὑμῶν ζητοῦμεν, ἀλλ' ἢ τὸ ὑποτάσσεσθαι τῇ καθολικῇ ἐκκλησίᾳ τῆς Ῥώμης καὶ γνωρίζειν ἀναμάρτητον, γινώσκειν δὲ καὶ τὸν τοῦ ἀποστόλου Πέτρου διάδοχον βικάριον τοῦ Χριστοῦ καὶ κεφαλὴν τῆς ἐκκλησίας» κτλ. Τοιαύτην ἐπιστολὴν οἱ Ἀραβοκατόλικοι λαβόντες ἡσύχασαν καὶ πάλιν ἡνώθησαν· ἔγραψε δὲ καὶ τοῖς Ἰησουίταις τότε ὁ πάπας καὶ τοῖς ἐν τῇ Συρίᾳ καὶ Παλαιστίνῃ Φραγκισκάνοις μὴ ζητεῖν ἄλλο παρ' αὐτῶν, εἰ μὴ τὰ ὄπισθεν (σελὶ 466) 3: 5: κεφάλαια. Κατ' ὀλίγον οὖν πληθυνόμενοι οἱ Ἀραβοκατόλικοι οὗτοι ἐξεχύθησαν καὶ εἰς τὰς πόλεις Τύρον καὶ Σιδῶνα καὶ εἰς τὰ πέριξ· τὸ δὲ τοῦ πληθυσμοῦ αὐτῶν αἴτιον μόνον ἦν ἡ παρανομία, ὡς εἴρηται, περὶ τοὺς γάμους· πᾶς γὰρ ὁ θέλων λαβεῖν τετάρτην γυναῖκα πρὸς τοὺς κατολίκους φεύγων τούτου ἠξιοῦτο· ὁμοίως καὶ ὁ τὴν δευτέραν αὐτοῦ ἐξαδέλφην, ὅπερ ἀσυγχώρητον ὅλως εἰς τὴν ὀρθόδοξον ἐκκλησίαν.

Τῷ δὲ ᾳψοά', ἤτοι 1771, ἤρξαντο ἐμφωλεύειν καὶ εἰς τὸν θρόνον ἢ ἐπαρχίαν τοῦ Ἱεροσολύμων· καὶ πρῶτον ὡς ἔμποροι

καὶ γραμματικοὶ τοῦ σατράπου κατώκησαν εἰς τὴν Πτολεμαΐδα, ὑπερασπιζόμενοι ὑπὸ τῶν ἐκεῖσε κονσούλων, ὅπου πληθυνθέντες καὶ ναὸν ἴδιον ἴσχυσαν οἰκοδομῆσαι τῷ 1779· ὅτε καὶ εἰς τὴν πόλιν Ναζαρὲτ ἐνεφώλευσαν καὶ ἐκεῖθεν εἰς τὴν Τιβεριάδα, εἶτα δὲ καὶ εἰς τὰς κώμας ἀπὸ Πτολεμαΐδος ἕως τῆς θαλάσσης Τιβεριάδος κατὰ μῆκος, καὶ ἀπὸ τῆς Γονὶν ἕως τοῦ Σαφὰτ κατὰ πλάτος, ματαίως ἀγωνισθέντων τῶν τότε καὶ ὕστερον πατριαρχῶν τῆς Ἱερουσαλὴμ διὰ τὴν ἀναχαίτισιν τῆς λύμης· θέλοντες γὰρ φυλάξαι οὗτοι τὴν ἀκρίβειαν τῶν νόμων εἰς τὰ συνοικέσια, ἐποίησαν πληθύνεσθαι τοὺς κατολίκους καὶ περισσεύειν· διότι φέρ' εἰπεῖν ὁ δεῖνα ἐβούλετο λαβεῖν τετάρτην γυναῖκα, κωλυόμενος δὲ ὑπὸ τοῦ νόμου, ἀπήρχετο εἰς τοὺς κατολίκους καὶ ἐλάμβανε κατόλικος γενόμενος οὐ μόνον αὐτός, ἀλλὰ καὶ τὰ τέκνα αὐτοῦ καὶ ἴσως καὶ τῶν αὐτοῦ συγγενῶν ὀλίγοι ἢ ὅλοι. Τὸ αὐτὸ ἐγίνετο καὶ εἰς τοὺς κωλυομένους εἰς ἕβδομον καὶ ἕκτον, ναὶ μὴν καὶ πέμπτον βαθμόν, καθὼς συνέβη καὶ δὴ συμβαίνει καὶ εἰς τοὺς καιροὺς ἡμῶν. Κῶμαι ὁλόκληροι διὰ τὰ τοιαῦτα ἐκατολίκισαν, οἱ δὲ Τιβεριεῖς, δηλαδὴ οἱ κάτοικοι τῆς πόλεως Τιβεριάδος, διὰ μόνην τὴν κοιλίαν πρῶτοι πάντων ἐκείνων τῶν μερῶν κατόλικοι ἐγένοντο ἁπαξάπαντες μετὰ τῶν ψαρέων καὶ τοῦ ἐκεῖ ναοῦ τοῦ ἀποστόλου Πέτρου, ὡς ὁρᾶται μέχρι τῆς σήμερον.

Τῷ δὲ ,αωιη' (1818) κατὰ ζήτησιν τῶν Ἀρμενίων τῶν ἐν Κωνσταντινουπόλει ἐξεδόθη ὁρισμὸς τῆς Ὑψηλῆς Πόρτας ἐναντίον τῶν ἐξ Ἀρμενίων κατολίκων, ὁμοίως καὶ τῶν ἐκ τῶν Ἀράβων χριστιανῶν καὶ Σύρων καὶ Κόπτων, ὅπως μὴ ἔχωσιν ἰδίαν ἐκκλησίαν οὐδὲ ἱερεῖς, ἀπέρχωνται δὲ ἀφεύκτως εἰς τὴν ἐκκλησίαν τῶν προγόνων αὐτῶν, οἱ μὲν ἐξ Ἀρμενίων εἰς τοὺς Ἀρμενίους, οἱ δὲ ἐκ τῶν Ῥωμαίων Ἀράβων εἰς τοὺς Ῥωμαίους. Ἡ τοιαύτη προσταγὴ ἦν σφοδρὰ καὶ ἔντονος· διελάμβανε γὰρ πρὸς τοῖς ἄλλοις καὶ ἐξορίας τῶν μὴ πειθομένων καὶ ἁρπαγὴν ὑπαρχόντων. Ἦλθε δὲ ἡ τοιαύτη καὶ εἰς τὸν Ἀντιοχείας πατριάρχην καὶ εἰς τὸν μητροπολίτην Χαλεπίου Γεράσιμον ὀνόματι Χαλεπηνόν, ὃς ἔδειξε ταύτην τῷ ἐκεῖ κριτῇ καὶ τῷ πασᾷ· ὁ δὲ

πασᾶς ἔχων μῖσος ἄσπονδον κατὰ τῶν κατολίκων, τῇ ἐπαύριον συνεκάλεσε τοὺς ἄρχοντας αὐτῶν καὶ τοὺς ἱερεῖς καὶ ἀνέγνωσεν αὐτοῖς τὸν ὁρισμόν· ἀλλ' αὐτοὶ οὐδαμῶς συνῆκαν καὶ τὸ πρᾶγμα εἰς οὐδὲν ἐλογίσαντο. Ὅθεν ὁ πασᾶς μετὰ δύο ἡμέρας αἴφνης συλλαβὼν αὐτοὺς τοὺς ἱερεῖς ἀπέστειλεν εἰς τὴν ἐξορίαν. Οἱ οὖν κατόλικοι πρὸς τοῦτο ἀγανακτήσαντες ὥρμησαν εἰς τὴν μητρόπολιν θανατῶσαι τὸν μητροπολίτην, λέγοντες ὅτι αὐτὸς ἦν ὁ αἴτιος. Αὐτὸς δὲ τὴν ὁρμὴν αὐτῶν ἀκούσας, ἐξελθὼν εὐθέως ἀπὸ μιᾶς πλαγίου θύρας, κατέφυγεν εἰς τὸν οἶκον τοῦ ἐκεῖ μουλλᾶ. Μαθόντες δὲ οἱ κατόλικοι (τοῦτο), ὥρμησαν κἀκεῖ μετὰ κραυγῶν μεγάλων ὑβρίζοντες καὶ βλασφημοῦντες τὸν ἀρχιερέα καὶ τὸν πατριάρχην. Ὁ δὲ μουλλᾶς φοβηθεὶς διὰ τὸ πλῆθος ἔφυγε μετὰ τοῦ μητροπολίτου ἔντρομος καὶ ἀπῆλθεν εἰς τὸν πασᾶν, κράζων "οἱ γκιαούριδες ἦλθον, ἵνα θανατώσωσιν ἡμᾶς"· ἐρωτῶντος δὲ τοῦ πασᾶ πῶς τοῦτο καὶ διατί, ἰδοὺ ἔφθασαν κἀκεῖ οἱ κατόλικοι κράζοντες. Τότε ὁ πασᾶς θυμωθεὶς προσέταξε τοῖς στρατιώταις συλλαβεῖν τοὺς ἀρχηγοὺς αὐτῶν· οὗ γενομένου, αὐτῇ τῇ ὥρα ἀπεκεφάλισεν αὐτούς· ἦσαν δὲ τὸν ἀριθμὸν 13. Τότε οἱ λοιποὶ διεσκορπίσθησαν οἴκαδε ἔντρομοι· τῇ ἐπιούσῃ δὲ συναχθέντες εἰς ἓν συνεβουλεύθησαν καὶ ὤμοσαν ἅπαντες, ὅπως πρῶτον μὲν εὑρόντες καιρὸν θανατώσωσι τὸν μητροπολίτην ἐκεῖνον, δεύτερον δὲ ἵνα μὴ εἰσέλθῃ τις εἰς τὴν ἐκκλησίαν τῶν ὀρθοδόξων, κἂν καὶ θανάτου ἀπειλὴ γένηται. Ταῦτα φυλάξαι ὀμώσαντες ἔμειναν εἰς τοὺς αὐτῶν οἴκους καὶ ἐδίδασκον τοὺς παῖδας αὐτῶν, λέγοντες οὕτω· "Τέκνον, Ῥωμαῖόν τινα μέγαν ἢ μικρὸν μὴ χαιρετίσῃς· καὶ ἂν, διαπερῶντός σου ἔμπροσθεν τῆς ἐκκλησίας αὐτῶν, παιδίον τι ἁρπάσῃ τὴν τῆς κεφαλῆς σου καλύπτραν καὶ ῥίψῃ αὐτὴν ἔνδον τῆς ἐκκλησίας, οὐ μὴ εἰσέλθῃς λαβεῖν αὐτήν, ἵνα μὴ μολυνθῇς εἰσελθών. Βέλτιόν σοι ἀσκεπῆ καὶ γυμνὸν τὴν κεφαλὴν περιπατῆσαι, ἢ εἰσελθεῖν εἰς τὴν τῶν Ῥωμαίων ἐκκλησίαν. Μηδεμίαν φιλίαν ποιήσατε μετ' αὐτῶν· ἐπίβουλοι γὰρ εἰσὶ καὶ ἐχθροὶ ἡμῶν". Τοιαῦτα καὶ ἄλλα πολλὰ ἐδίδασκον τοὺς υἱοὺς αὐτῶν καὶ θυγατέρας, καὶ οὐδεὶς εἰσῆλθεν

εἰς τὴν τῶν ὀρθοδόξων ἐκκλησίαν, οὐδὲ κἂν τῇ ἑορτῇ τοῦ πάσχα. Καὶ ταῦτα μὲν οὗτοι.

Ὁ δὲ μητροπολίτης Γεράσιμος μαθὼν τὸν ὅρκον αὐτῶν, ἀλλὰ καὶ δὶς ἐπιβουλευθεὶς πρὸς δολοφονίαν, ἀναχωρήσας ἐκ τοῦ Χαλεπίου παραίτησιν τοῦ θρόνου ἐποιήσατο. Ἀποσταλεὶς δὲ ἐκ τῆς Μεγάλης Ἐκκλησίας ἄλλος ᾠκονόμησε τὰ πράγματα, φιλιωθεὶς μετὰ τῶν κατολίκων. Τὸ αὐτὸ ἐποίησε καὶ ὁ Ἀντιοχείας Σεραφείμ. Ἐπαναστάντων τῶν Ἑλλήνων τῷ αωκα' (1821) καὶ πάντων τῶν τῇ Ὀθωμανικῇ βασιλείᾳ ὀρθοδόξων ὑπηκόων ἐκπεσόντων τῆς πρώην εὐνοίας, εὗρον καιρὸν ἁρμόδιον οἱ κατόλικοι καὶ ἔφερον πάλιν ἱερεῖς καὶ ἐλειτούργουν αὐτοῖς κρυφίως· ὁ δὲ πατριάρχης ἐγίνωσκε μὲν τοῦτο, οὐκ ἐτόλμα δὲ οὐδὲ λόγον λαλῆσαι τότε, ὡς μὴ ἔχων τὸ εὐπρόσωπον. Οἱ οὖν κατόλικοι καὶ πάλιν πολιτικῶς φερόμενοι εἰς τὴν Δαμασκὸν ἐβάπτιζον τὰ ἑαυτῶν τέκνα διὰ τῶν ὀρθοδόξων ἱερέων καὶ δι' αὐτῶν ηὐλόγουν τὰ συνοικέσια καὶ ἐνεταφιάζοντο, ἀλλ' εἰς τὴν ἐκκλησίαν ὀλιγότατοι ἀπήρχοντο. Ἀποθανόντος δὲ τοῦ Σεραφεὶμ ἐψηφίσθη πατριάρχης Μεθόδιος ὁ ἀπὸ τῆς Πάρου καταγόμενος, ὃς μάλα καλῶς ποιήσας παρῃτήσατο βαπτίζειν στεφανοῦν εἰς γάμον καὶ θάπτειν τοὺς κατολίκους· διελογίσατο γὰρ εἰς ἑαυτὸν καὶ ἔκρινεν ὡς ἐχέφρων ἀσφαλέστατα, εἰπών· " Κακῶς ποιοῦμεν δίδοντες τὰ ἅγια τοῖς κυσὶ καὶ τοὺς μαργαρίτας βάλλοντες ἔμπροσθεν τῶν χοίρων· βαπτίζοντες γὰρ καὶ εὐλογοῦντες τοὺς κατολίκους, ἔτι δὲ καὶ θάπτοντες, παριστῶμεν αὐτοὺς τέκνα τῆς ὀρθοδόξου ἐκκλησίας. Ἀλλὰ δῆλον ὅτι αὐτοὶ μητέρα ἑαυτῶν μόνην τὴν Ῥώμην γνωρίζουσι, τὴν δὲ ὀρθόδοξον καταδιώκουσιν. Ἆρα οὐκ εἰσὶ τέκνα, ἀλλ' ἐχθροὶ καὶ ἐπίβουλοι, ὡς ἀποστάται ἄσπονδοι, καὶ κατὰ ἀλήθειαν, κατ' ἐμὴν γνώμην, κακῶς ἐποίει ἡ ἀνατολικὴ ἐκκλησία διδοῦσα τοῖς τοιούτοις τὰ μυστήρια, βάπτισμα χρίσμα γάμον καὶ πολλάκις εὐχέλαιον, ἐκτὸς μόνον ἐὰν εἴπωμεν, ὅτι οἰκονομικῶς ἐποίει ταῦτα, ἀπεκδεχομένη τὴν ἐπιστροφὴν αὐτῶν, ἥτις οὐκ ἐγένετο μέχρι τοῦδε, οὐδὲ γενήσεται. Γενοίμην, Κύριε, ψεύστης κατὰ τοῦτο ".

Ἦλθεν ὅμως καιρὸς καὶ σινιασθέντος τοῦ σίτου ἐχωρίσθησαν

τὰ ἄχυρα ἀπὸ τούτου καὶ τὰ ζιζάνια· διότι τῷ 1829 ἐξεδόθη ὁρισμὸς τῆς Πόρτας συγχωρῶν τὸ ἐλεύθερον τῆς θρησκείας τῶν κατολίκων, τόσον τῶν ἐξ Ἀρμενίων, ὅσον καὶ τῶν ἐκ τῶν ὀρθοδόξων, καὶ οὕτως ἤρξαντο παρρησιάζεσθαι οἱ τούτων ἱερεῖς. Περὶ δὲ τὸ 1832 δι' ἀδείας τοῦ Ἰμβραΐμ-πασᾶ Αἰγυπτίου καὶ ναὸν μέγαν εἰς τὴν Δαμασκὸν ᾠκοδόμησαν, ἀλλὰ δὴ καὶ εἰς τὸ Χαλέπιον καὶ ἀλλαχοῦ, καὶ τοιουτοτρόπως ἔμειναν ἔπειτα ἐξιδιασμένα εἰς ἰδίαν ἣν ἐξελέξαντο μάνδραν τὰ ψωριῶντα ταῦτα πρόβατα. Τῷ δὲ 1834 καὶ οἱ ἐν Ἰόππῃ γραμματεῖς καὶ ἔμποροι κατόλικοι, πλούσιοι ὄντες, εἰ καὶ ὀλίγοι, ἀλλ' οὖν ἴσχυσαν οἰκοδομῆσαι κἀκεῖ ναόν, ὃν καὶ τέμπλοις καὶ εἰκόσι κατεκόσμησαν. Τῷ δὲ 1839 ὁ ἐν Ἱερουσαλὴμ γραμματεὺς τοῦ πασᾶ μετὰ τοῦ αὐταδέλφου αὐτοῦ, πλουσιώτατοι ὄντες, ὑπερασπιζόμενοι ὑπὸ τοῦ ἐνταῦθα Γαλλικοῦ προξένου ἠγόρασαν ἕνα κῆπον, πλησίον ὄντα τῆς μονῆς τοῦ Ἁγίου Δημητρίου καὶ ἠβουλήθησαν οἰκοδομῆσαι αὐτόθι ναὸν καὶ μοναστήριον τῶν κατολίκων, ὄντες καὶ αὐτοὶ τοιοῦτοι. Ἀλλὰ τῆς Παλαιστίνης καὶ πάσης Συρίας ἀφαιρεθείσης ἀπὸ τῆς Αἰγυπτιακῆς ἐξουσίας, ἐκωλύθησαν. Τῷ δὲ 1824 βουληθέντες πάλιν τοῦτο ποιῆσαι, ἐκωλύθησαν ὑπὸ τῶν ἐνταῦθα Φρατόρων, μὴ θελόντων εἶναι ἐν Ἱερουσαλὴμ ἄλλην ἐκκλησίαν κατολίκων, ἅτε δὴ πολλὰ ὑποτοπαζόντων. Ἀλλ' ὁ ἐν Ἱερουσαλὴμ νῦν Γαλλικὸς πρόξενος, αὐτῶν ὑπερασπιζόμενος ὅλαις δυνάμεσιν, ἔγραψε τῷ παπα, ἔγραψαν δὲ καὶ οἱ κατόλικοι· ἀπεκρίθη δὲ ὁ πάπας αὐτοῖς τε καὶ τῷ προξένῳ λόγοις χρηστοῖς· ἔγραψε καὶ τοῖς Φράτορσι μὴ ἐναντιοῦσθαι ὅλως τοῖς τοιούτοις κατολίκοις, ἀλλ' ἐᾶν αὐτοὺς ἔχειν ἴδιον ναὸν ὅπου θέλουσι, καὶ ψάλλειν τὰς ἀκολουθίας αὐτῶν εἰς τὴν ἰδίαν γλῶσσαν, δηλαδὴ ἀραβιστί, συνεορτάζειν δὲ μετὰ τῶν Γραικῶν τὸ πάσχα καὶ τὰς λοιπὰς ἑορτάς, δεσποτικάς τε καὶ θεομητορικάς, ὡς εὑρέθη ἔκπαλαι, καὶ ἄλλα πολλά· ἐφ' οἷς ἐνδοσάντων τῶν Φρατόρων ἤρξατο οἰκοδομεῖσθαι βασιλικῶς ὁ περίβολος τοῦ μοναστηρίου κατὰ τὸν παρελθόντα μάιον τοῦ ἐνεστῶτος ἔτους 1844, καὶ οἰκοδομεῖται τανῦν, ἐπὶ προσχήματι ὅμως καὶ λόγῳ, οὐχὶ μοναστηρίου, ἀλλ' οἴκου.

XIV.

ΑΝΘΙΜΟΥ ΜΟΝΑΧΟΥ ΤΟΥ ΕΞ ΑΓΧΙΑΛΟΥ,

γραμματέως τοῦ Κοινοῦ τοῦ Παναγίου Τάφου [1].

Περὶ τῶν τριῶν ἱερῶν λίθων τῶν προκειμένων εἰς ἀσπασμὸν ἔνδον τοῦ ἱεροῦ ναοῦ τῆς ἁγίας Θέκλας [2], ὁποῖοί εἰσι καὶ πότε ἐτέθησαν ἐκεῖ ἐμβαίνοντι δεξιόθεν.

Ὁ μὲν πρῶτος, ἐν ᾧ ἐπιφαίνονται τυπωμένα ὡς εἰς κηρὸν δύο βήματα, ἀφῃρέθη ἀπὸ τὰ Ἅγια τῶν Ἁγίων ὑπὸ τῶν ἐκεῖσε εἰς ἀνακαινισμὸν πεπτωκότος μέρους συναχθέντων ὑπὸ τῆς ἐξουσίας μαϊστόρων χριστιανῶν, οἵτινες ἔκπαλαι κατὰ διαδοχὴν εἶχον τὴν γνῶσιν ταύτης τῆς πέτρας ὑπὸ τῶν προπατόρων αὐτῶν, υἱὸς ἀπὸ πατρός, ὅτι εἰσὶ βήματα τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· ἀφῃρέθη δὲ τῷ ,ᾳωλγ′ μαΐου η′, καὶ οὕτω μετ' εὐλαβείας ἐφέρθη καὶ ἐναπετέθη ἐκεῖσε εἰς προσκύνησιν καὶ ἁγιασμὸν τῶν ἀσπαζομένων, ἐπιτροπευόντων τοῦ ἁγίου Πέτρας κυρίου Μισαήλ, τοῦ ἁγίου Ναζαρὲτ κυρίου Δανιὴλ καὶ τοῦ ἁγίου Λύδδης κυρίου Δοσιθέου.

Ἡ δὲ ἄλλη, ἡ δευτέρα, ἡ καὶ μεγίστη (πέτρα), ἦτον κειμένη ἔκπαλαι ἔνδον τοῦ Πραιτωρίου, ὅ ἐστι τοῦ Σεραγίου· ἦτον

[1] Ἀντεγράφη ἐκ τοῦ πρωτοτύπου. Κῶδιξ τῶν πρωτοσυγκέλλων τοῦ Παναγίου Τάφου, φυλαττόμενος ἐν τῷ ἀρχείῳ τοῦ Πατριαρχείου τῶν Ἱεροσολύμων, φ. 116β.— [2] Ναὸς ἐν τῷ μεγάλῳ μοναστηρίῳ τῆς ἐν Ἱεροσολύμοις Ἀδελφότητος τῶν Ἁγιοταφιτῶν Πατέρων.

δὲ καὶ γλυμμένη, ὡς νῦν ἔχει καὶ ὁρᾶται· ἦν δὲ καὶ εἰς τιμὴν παρ' αὐτοῖς τοῖς Ὀθωμανοῖς καὶ κανδήλα ἦν ἁπτομένη ἐπ' αὐτῆς· ἀλλὰ καὶ οἱ Φράγκοι εἶχον ἔθος ἅπαξ τοῦ ἐνιαυτοῦ διὰ δόσεως χρημάτων εἰσέρχεσθαι ἐκεῖσε καὶ ἐπιτελεῖν τὴν σφῶν λειτουργίαν ἢ λιμουργίαν ἐπ' αὐτῆς τῆς ἱερᾶς πέτρας, ἥν τινα λόγος ἔχει εἶναι αὐτὴν ταύτην τὴν πέτραν, ἐφ' ἧς καθεζόμενος ὁ Κύριος ἡμῶν ἐκρίνετο ὑπὸ τοῦ Πιλάτου. Καὶ ἀληθῶς (οὕτως) ἔχει. Κατὰ τὸ ,ᾠπη' (1788) ἔτος σωτήριον, εἰς μουσελήμης φιλίαν ἔχων εἰλικρινῆ μετὰ τοῦ ἡμετέρου δραγουμάνου, τοῦ μακαρίτου Ἀβερκίου, ἀφείλετο ἐκεῖθεν καὶ ἐν βαθυτάτῃ νυκτί, ἐν ἀωρίᾳ, ἀπέστειλεν αὐτῷ, εἰς τὸ μοναστήριον, πρὸς ἔνδειξιν τῆς αὐτοῦ φιλίας. Ὁ αὐτὸς ἱερὸς λίθος, ὃν τινα κυρίως θρόνον καλῶ τοῦ Κυρίου μου, καὶ θαῦμα ἐπεδείξατο φρικτὸν μετὰ τὴν τριήμερον αὐτοῦ εἰσκομιδήν, ὡς πάνυ εὐλαβῶς καὶ φιλαλήθως διηγήσατό μοι ὁ αὐτόπτης καὶ αὐτήκοος εὐλαβέστατος καὶ πανοσιώτατος ἐν ἱεροδιακόνοις κῦρ Καλλίνικος, παρὰ τῷ μακαρίτῃ ἐκείνῳ τότε διατελῶν ἐν σχήματι ὑποτακτικοῦ· ἐξιστορήσατο δέ μοι μετὰ μέ' χρόνους, ὁ ἐστιν ἤδη, ὅτε καὶ γράφω.

Ἡ δὲ τρίτη, ἡ καὶ τῶν δύο μικροτέρα, ἔστι μέρος ἐκ τοῦ ἀποκυλισθέντος λίθου ἐκ τῆς θύρας τοῦ Μνημείου ὑπὸ τοῦ ἀγγέλου, ὅπερ ἐν τῇ ἀνοικοδομῇ τοῦ ἱερωτάτου ναοῦ ἀπέσπασεν ὁ τότε πρωτομαΐστωρ Κομνηνὸς κάλφας, ὁ δὲ ἅγιος Πέτρας κύριος Μισαὴλ λαβὼν ἐναπέθετο ἐκεῖσε εἰς προσκύνησιν καὶ εἰς ἁγιασμὸν τῶν μετὰ πίστεως καὶ εὐλαβείας προσιόντων καὶ ἀσπαζομένων. ,αωλγ' ἰουνίου ὀ'.

Ὁ γραμματικὸς Ἄνθιμος.

(Τοῦ αὐτοῦ) [1].

Τῷ ,αωιθ' ἔτει, μαρτίου κζ', ἔκαμεν εἰς Ἱερουσαλὴμ τὴν θριαμβευτικήν του εἴσοδον ὁ Σὰμ - βαλησὶ Σαλὶχ - πασᾶς, πατριαρχοῦντος τοῦ κυρίου Πολυκάρπου, ἐπιτροπευόντων δὲ τοῦ τε ἁγίου

[1] Ἐκ τοῦ αὐτοῦ κώδικος, φ. 65.

Πέτρας κυρίου Μισαὴλ καὶ τοῦ κυρίου Προκοπίου (Ἀράμπογλου). Κατεφέρθη τότε ἡμῶν πάνυ σκληρῶς, ἀλλὰ τῇ θεία ἀντιλήψει καὶ τῇ βαθεία φρονήσει τῶν προϊσταμένων ἐματαιώθησαν αἱ κακοβουλίαι αὐτοῦ· ὅθεν καὶ τὰ σκολιὰ μετεβλήθησαν εἰς εὐθείας ὁδοὺς καὶ τότε ἐλάβομεν τὴν ἄδειαν καὶ ἐκτίσαμεν τὴν Καμάραν παρὰ τῇ ἀρχαίᾳ. Τῆς δὲ κατὰ τὴν Ἁγίαν Βηθλεὲμ οἰκοδομῆς τὸν θεμέλιον κατεθέμεθα τῇ ζ' τοῦ ἰουνίου, ἐν ἡμέρᾳ αἰσίως Παρασκευῇ, εἰς τὸν ἔξωθεν τοῦ μοναστηρίου ἀνεγερθέντα Ξενῶνα· ἔλαβε δὲ καὶ αὐτὸς τὸ αἴσιον πέρας περὶ τὰ μέσα τοῦ δεκεμβρίου· ἐν ταὐτῷ καὶ πάντα τὰ πέριξ ἐκαλλωπίσθησαν, ἐλιθοστρώθησαν καὶ τὰ πάντα ἀνεκαινίσθησαν. Συγχρόνως ἐγένετο καὶ ἡ τῶν ἐν τῷ πανσέπτῳ ναῷ τέμπλων ἀναστήλωσις καὶ περιχρύσωσις, ἔτι καὶ ὁ ἀνακαινισμὸς καὶ καλλωπισμὸς ὅλου τοῦ πατριαρχείου, οἷον πλακόστρωσις, οἰκίσκων προσθήκη καὶ ἁπάντων τῶν ὀνδάδων ἐπὶ τὸ κρεῖττον μεταβολή, ἐπὶ ὑγείᾳ καὶ ἀναπαύσει τῆς ἱερᾶς Ἀδελφότητος, ὡς νῦν ὁρᾶται.

ΤΕΛΟΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΤΟΜΟΥ.

ΔΙΟΡΘΩΣΕΙΣ ΕΝ ΤΩΙ ΠΡΩΤΩΙ ΤΟΜΩΙ.

α') Π ρ ο σ θ ῆ κ α ι. Σελ. γ'. Τον βίον, ὃν ἔγραψεν Ἀνδρέας ὁ Κρήτης, ὡς ὁμολογεῖ τοῦτο τοῦ κωδικος ἡ ἐπιγραφή, εὗρον καὶ ἐν ἑτέρῳ κώδικι (Coislin. 108, f. 116. Montfaucon σ. 185). Ἐν τούτῳ μέντοι λείπει τὸ ὄνομα τοῦ συγγραφέως.—Σελ. δ'. Τῆς ἑλληνικῆς ἑρμηνείας τοῦ βίου Ἀμβροσίου τοῦ Μεδιολάνων, ὃν ἔγραψε λατινιστὶ Παυλῖνος, ἕτερον ἀπόγραφον εὗρον ἐν κώδικι Παρισιακῷ (cod. 1461, fol. 63)· δηλοῖ δὲ τοῦτο Miller ἐν ὑποσημειώσει τινί (Catalogue des MSS grecs de l'Escurial, σ. 268).—Σελ. ιγ'. Πρὸς τον Λουκίτην ἔγραφεν ἐπιστολὰς καὶ Θεόδωρος ὁ Ὑρτακηνός, ὧν ἓξ ἐδημοσίευσεν ἤδη La Porte du Theil (Notices et extraits des manuscrits κτλ. Paris 1800, τ. VI, σ. 7, 10, 11, 21, 34, 37, 41). — Σελ. 245, 6. Ἐν ἐγγράφῳ τινὶ (1337?) ἀναγινώσκω· «Ἐγὼ ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως σεβαστὸς Ἰωάννης ὁ Τριχᾶς ὁμνύω» κτλ. (Acta Patriarchatus I, σ. 170). Ὅρα καὶ σελ. 257 τούτου τοῦ τόμου τῶν Ἀναλέκτων.

β') Π α ρ ο ρ ά μ α τ α καὶ δ ι ο ρ θ ώ σ ε ι ς. Σελ. ια', 26 γράφε ἔστι— ιγ', 19 γρ. ἐκολόβωσε — Σελ. 1, 4 γράφε κατὰ τὸν κώδικα «μᾶλλον, οὐ» || 11 γρ. ἀνιστόρητα τῷ — 2, 2 εὐκ] γρ. οὐκ — 3, 1 γρ. προστήσομαι τὸν || 14 γρ. θαρρήσαντα. Ἔνθεν — 4, 20 γρ. ἐντυγχάνοντα || 26/27 γρ. ἐνεφάνισε, τούτῳ δὴ - - - παρέχων (ὡς ὁ κῶδις ἔχει καλῶς) — 6, 25 γρ. αὐτῶν || 29 γρ. ἀρρύπαρον — 7, 17 γρ. προσενέγκαντας (κατὰ τὸν κώδικα) — 8, 26 γρ. ἀλισγημάτων — 19, 24 γρ. εἴπωμεν || 26 γρ. ἀγνοεῖτε (κατὰ τὸν κώδικα) — 21, 14 γρ. ἐκζητήσουσιν || 23 γρ. Τί θέλεις || 25 γρ. ὑποβεβλημένης, οἱ || 27 γρ. κληρουχία, οὕτως || 30 γρ. προστρεχόντων ὅριον — 22, 21 γρ. ἀναστήσω — 23, 23 γρ. δικαιοσύνην — 26, 4 γρ. παρήγγειλεν — 29, 30 ἐξιόντων] γρ. ἐξόντων — 30, 7 γρ. ὑφέξομεν — 32, 1 γρ. μητρὸς (καὶ τῆς ἀδελφῆς), ἢ τὸ τῆς || 6 γρ. ἐπάγγελμα, λοιπὸν || 25 γρ. ἐρρητόρευσεν — 33, 13 γρ. ἔμελέν τε || 30 γρ. ἐφίεντο—36, 3 γρ. ἀναφορὰ — 38, 16 γρ. ὡς «καὶ || 27 γρ. ἐξώρμησεν || 28 γρ. καταστῆσαι — 40, 27 γρ. αὐτοῦ—41, 6 γρ. ὦ (κατὰ τὸν κώδικα) —44, 22 γρ. μάρτυρας—45, 18 γρ. κιστέρνῃ — 50, 25 γρ. ἐν αὐτῷ — 55, 8 γρ. ἐξείργασμαι; — 64, 24 γρ. ἐκεῖνον (ὡς ἐν τῷ κώδικι) τον τόπον κτλ.—65, 20 γρ. ζηλοτυπία—66, 25 γρ. ἀφείθησαν—67,

